This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

## Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

## About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

3 3433 08160829 5

# PLUTARCHI
## CHAERONENSIS
# VARIA SCRIPTA
## QUAE
## MORALIA VULGO VOCANTUR.

---

AD

OPTIMORUM LIBRORUM FIDEM

ACCURATE EDITA.

---

EDITIO STEREOTYPA.

---

*TOMUS I*

---

LIPSIAE

SUMTIBUS ET TYPIS CAROLI TAUCHNITII.

1829.

PUBLIC LIBRARY
474550
ASTOR, LENOX AND
TILDEN FOUNDATIONS

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΠΕΡΙ

## ΙΣΙΔΟΣ ΚΑΙ ΟΣΙΡΙΔΟΣ.

Πάντα μὲν, ὦ Κλέα, δεῖ τἀγαθὰ τοὺς νοῦν ἔχοντας αἰτεῖσθαι παρὰ τῶν θεῶν, μάλιστα δὲ τῆς περὶ αὐτῶν ἐπιστήμης, ὅσον ἐφικτόν ἐστιν ἀνθρώποις, μετιόντες, εὐχόμεθα τυγχάνειν παρ' αὐτῶν ἐκείνων· ὡς οὐθὲν ἀνθρώπῳ λαβεῖν μεῖζον, οὐ χαρίσασθαι θεῷ σεμνότερον ἀληθείας. τὰ ἄλλα μὲν γὰρ ἀνθρώποις ὁ θεὸς, ὧν δέονται, δίδωσιν, οἰκεῖα κεκτημένος ταῦτα καὶ χρώμενος. οὐ γὰρ ἀργύρῳ καὶ χρυσῷ μακάριον τὸ θεῖον, οὐδὲ βρονταῖς καὶ κεραυνοῖς ἰσχυρὸν, ἀλλ' ἐπιστήμῃ καὶ φρονήσει. καὶ τοῦτο κάλλιστα πάντων Ὅμηρος, ὧν εἴρηκε περὶ θεῶν, ἀναφθεγξάμενος,

Ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος ἠδ' ἴα πάτρη,
Ἀλλὰ Ζεὺς πρότερος γεγόνει, καὶ πλείονα ᾔδει,

σεμνοτέραν ἀπέφηνε τὴν τοῦ Διὸς ἡγεμονίαν, ἐπιστήμῃ καὶ σοφίᾳ πρεσβυτέραν οὖσαν. οἶμαι δὲ καὶ τῆς αἰωνίου ζωῆς, ἣν ὁ θεὸς εἴληχεν, εὔδαιμον εἶναι τὸ τῇ γνώσει μὴ προαπολιπεῖν τὰ γινόμενα· τοῦ δὲ

γινώσκειν τὰ ὄντα, καὶ φρονεῖν ἀφαιρεθέντος, οὐ βίον, ἀλλὰ χρόνον εἶναι τὴν ἀθανασίαν.

II. Διὸ θειότητος ὄρεξίς ἐστιν ἡ τῆς ἀληθείας, μάλιστα δὲ τῆς περὶ θεῶν, ἔφεσις, ὥσπερ ἀνάληψις ἱερῶν τὴν μάθησιν ἔχουσα καὶ τὴν ζήτησιν, ἁγνείας τε πάσης καὶ νεωκορίας ἔργον ὁσιώτερον, οὐχ ἥκιστα δὲ τῇ θεῷ ταύτῃ κεχαρισμένον, ἣν σὺ θεραπεύεις ἐξαιρέτως σοφὴν καὶ φιλόσοφον οὖσαν, ὡς τοὔνομά τε φράζειν ἔοικε παντὸς μᾶλλον αὐτῇ τὸ εἰδέναι καὶ τὴν ἐπιστήμην προσήκουσαν. Ἑλληνικὸν γὰρ ἡ Ἶσίς ἐστι, καὶ ὁ Τυφὼν, πολέμιος τῇ θεῷ, καὶ δι' ἄγνοιαν καὶ ἀπάτην τετυφωμένος, καὶ διασπῶν καὶ ἀφανίζων τὸν ἱερὸν λόγον, ὃν ἡ θεὸς συνάγει καὶ συντίθησι, καὶ παραδίδωσι τοῖς τελουμένοις θειώσεως, σώφρονι μὲν ἐνδελεχῶς διαίτῃ, καὶ βρωμάτων πολλῶν καὶ ἀφροδισίων ἀποχαῖς κολουούσαις τὸ ἀκόλαστον καὶ φιλήδονον, ἀθρύπτους δὲ καὶ στεῤῥὰς ἐν ἱεροῖς λατρείας ἐθιζούσαις ὑπομένειν, ὧν τέλος ἐστὶν ἡ τοῦ πρώτου καὶ κυρίου καὶ νοητοῦ γνῶσις, ὃν ἡ θεὸς παρακαλεῖ ζητεῖν παρ' αὐτῇ καὶ μετ' αὐτῆς ὄντα καὶ συνόντα. τοῦ δ' ἱεροῦ τοὔνομα καὶ σαφῶς ἐπαγγέλλεται καὶ γνῶσιν καὶ εἴδησιν τοῦ ὄντος. ὀνομάζεται γὰρ Ἴσειον ὡς εἰσομένων τὸ ὂν, ἂν μετὰ λόγου καὶ ὁσίως εἰς τὰ ἱερὰ παρέλθωμεν τῆς θεοῦ.

III. Ἔτι πολλοὶ μὲν Ἑρμοῦ, πολλοὶ δὲ Προμηθέως ἱστορήκασιν αὐτὴν θυγατέρα· ὧν τὸν μὲν ἕτερον, σοφίας καὶ προνοίας, Ἑρμῆν δὲ γραμματικῆς καὶ μουσικῆς εὑρετὴν νομίζοντες. διὸ καὶ τῶν ἐν Ἑρμουπόλει Μουσῶν τὴν προτέραν Ἶσιν ἅμα καὶ

Δικαιοσύνην καλοῦσι σοφίαν, ὥσπερ εἴρηται, καὶ δεικνύουσαν τὰ θεῖα τοῖς ἀληθῶς καὶ δικαίως ἱεραφόροις καὶ ἱεροστόλοις προσαγορευομένοις. οὗτοι δέ εἰσιν οἱ τὸν ἱερὸν λόγον περὶ θεῶν πάσης καθαρεύοντα δεισιδαιμονίας καὶ περιεργίας ἐν τῇ ψυχῇ φέροντες, ὥσπερ ἐν κίστῃ, καὶ περιστέλλοντες τὰ μὲν μέλανα καὶ σκιώδη, τὰ δὲ φανερὰ καὶ λαμπρὰ τῆς περὶ θεῶν ὑποδηλοῦντες οἰήσεως, οἷα καὶ περὶ τὴν ἐσθῆτα τὴν ἱερὰν ἀποφαίνεται. διὸ καὶ τὸ κοσμεῖσθαι τούτοις τοὺς ἀποθανόντας Ἰσιακοὺς, σύμβολόν ἐστι τοῦτον τὸν λόγον εἶναι μετ' αὐτῶν, καὶ τοῦτον ἔχοντας, ἄλλο δὲ μηδὲν, ἐκεῖ βαδίζειν. οὔτε γὰρ φιλοσόφους πωγωνοτροφίαι, ὦ Κλέα, καὶ τριβωνοφορίαι ποιοῦσιν, οὔτ' Ἰσιακοὺς αἱ λινοστολίαι καὶ ξύρησις· ἀλλὰ Ἰσιακός ἐστιν ὡς ἀληθῶς, ὁ τὰ δεικνύμενα καὶ δρώμενα περὶ τοὺς θεοὺς τούτους, ὅταν νόμῳ παραλάβῃ, λόγῳ ζητῶν, καὶ φιλοσοφῶν περὶ τῆς ἐν αὐτοῖς ἀληθείας.

IV. Ἐπεὶ τούς γε πολλοὺς καὶ τὸ κοινότατον τοῦτο καὶ τὸ σμικρότατον λέληθεν, ἐφ' ὅτῳ τὰς τρίχας οἱ ἱερεῖς ἀποτίθενται καὶ λινᾶς ἐσθῆτας φοροῦσιν· οἱ μὲν οὐδ' ὅλως φροντίζουσιν εἰδέναι περὶ τούτων· οἱ δὲ τῶν μὲν ἐρίων ὥσπερ τῶν κρεῶν, σεβομένους τὸ πρόβατον, ἀπέχεσθαι λέγουσι, ξύρεσθαι δὲ τὰς κεφαλὰς διὰ τὸ πένθος, φορεῖν δὲ τὰ λινᾶ διὰ τὴν χρόαν, ἣν τὸ λίνον ἀνθοῦν ἀνίησι τῇ περιεχούσῃ τὸν κόσμον αἰθερίῳ χαροπότητι προσεοικυῖαν. ἡ δ' ἀληθὴς αἰτία μία πάντων ἐστί· καθαροῦ γὰρ (ἧ φησιν ὁ Πλάτων) οὐ θεμιτὸν ἅπτε-

σθαι μὴ καθαρῷ. περίσσωμα δὲ τροφῆς καὶ σκύβαλον οὐδὲν ἁγνὸν, οὐδὲ καθαρόν ἐστιν· ἐκ δὲ περιττωμάτων ἔρια καὶ λάχναι, καὶ τρίχες καὶ ὄνυχες ἀναφύονται καὶ βλαστάνουσι. γελοῖον οὖν ἦν, τὰς μὲν αὑτῶν τρίχας ἐν ταῖς ἁγνείαις ἀποτίθεσθαι ξυρωμένους καὶ λεαινομένους πᾶν ὁμαλῶς τὸ σῶμα, τὰς δὲ τῶν θρεμμάτων ἀμπέχεσθαι καὶ φορεῖν· καὶ γὰρ τὸν Ἡσίοδον οἴεσθαι δεῖ, λέγοντα

Μηδ' ἀπὸ πεντόζοιο θεῶν ἐν δαιτὶ θαλείῃ
Αὖον ἀπὸ χλωροῦ τάμνειν αἴθωνι σιδήρῳ·

διδάσκειν, ὅτι δεῖ καθαροὺς τῶν τοιούτων γενομένους ἑορτάζειν, οὐκ ἐν αὐταῖς ταῖς ἱερουργίαις χρῆσθαι καθάρσει καὶ ἀφαιρέσει τῶν περιττωμάτων. τὸ δὲ λίνον φύεται μὲν ἐξ ἀθανάτου τῆς γῆς, καὶ καρπὸν ἐδώδιμον ἀναδίδωσι, λιτὴν δὲ παρέχει καὶ καθαρὰν ἐσθῆτα, καὶ τῷ σκέποντι μὴ βαρύνουσαν, εὐάρμοστον δὲ πρὸς πᾶσαν ὥραν· ἥκιστα δὲ φθειροποιὸν, ὡς λέγουσι· περὶ ὧν ἕτερος λόγος.

V. Οἱ δὲ ἱερεῖς οὕτω δυσχεραίνουσι τὴν τῶν περιττωμάτων φύσιν, ὥστε μὴ μόνον παραιτεῖσθαι τῶν ὀσπρίων τὰ πολλὰ, καὶ τῶν κρεῶν τὰ μήλεια καὶ ὕεια, πολλὴν ποιοῦντα περίττωσιν, ἀλλὰ καὶ τοὺς ἅλας τῶν σιτίων ἐν ταῖς ἁγνείαις ἀφαιρεῖν· ἄλλας τε πλείονας αἰτίας ἔχοντας, καὶ ποτικωτέρους καὶ βρωτικωτέρους ποιεῖν ἐπιθήγοντας τὴν ὄρεξιν. τὸ γὰρ (ὡς Ἀρισταγόρας ἔλεγε) διὰ τὸ πηγνυμένοις πολλὰ τῶν μικρῶν ζώων ἐναποθνήσκειν ἁλισκόμενα μὴ καθαροὺς λογίζεσθαι τοὺς ἅλας, εὔηθές ἐστι. λέγονται δὲ καὶ τὸν Ἆπιν ἐκ φρέατος ἰδίου ποτίζειν,

τοῦ δὲ Νείλου παντάπασιν ἀπείργειν, οὐ μιαρὸν ἡγούμενοι τὸ ὕδωρ διὰ τὸν κροκόδειλον, ὡς ἔνιοι νομίζουσιν· (οὐδὲν γὰρ οὕτω τιμὴ Αἰγυπτίοις, ὡς ὁ Νεῖλος) ἀλλὰ πιαίνειν δοκεῖ καὶ μάλιστα πολυσαρκίαν ποιεῖν τὸ Νειλῷον ὕδωρ πινόμενον. οὐ βούλονται δὲ τὸν Ἄπιν οὕτως ἔχειν, οὐδὲ ἑαυτοὺς, ἀλλ' εὐσταλῆ καὶ κοῦφα ταῖς ψυχαῖς περικεῖσθαι τὰ σώματα, καὶ μὴ πιέζειν, μηδὲ καταθλίβειν ἰσχύοντι τῷ θνητῷ καὶ βαρύνοντι τὸ θεῖον.

VI. Οἶνον δὲ οἱ μὲν ἐν Ἡλίου πόλει θεραπεύοντες τὸν θεὸν, οὐκ εἰσφέρουσι τοπαράπαν εἰς τὸ ἱερὸν, ὡς οὐ προσῆκον ἡμέρας πίνειν, τοῦ κυρίου καὶ βασιλέως ἐφορῶντος· οἱ δ' ἄλλοι χρῶνται μὲν, ὀλίγῳ δέ· πολλὰς δ' ἀοίνους ἁγνείας ἔχουσιν, ἐν αἷς φιλοσοφοῦντες καὶ μανθάνοντες καὶ διδάσκοντες τὰ θεῖα διατελοῦσιν. οἱ δὲ βασιλεῖς καὶ μετρητὸν ἔπινον ἐκ τῶν ἱερῶν γραμμάτων (ὡς Ἑκαταῖος ἱστόρηκεν) ἱερεῖς ὄντες· ἤρξαντο δὲ πίνειν ἀπὸ Ψαμμητίχου, πρότερον δ' οὐκ ἔπινον οἶνον, οὐδὲ ἔσπενδον, ὡς φίλιον θεοῖς, ἀλλ' ὡς αἷμα τῶν πολεμησάντων ποτὲ τοῖς θεοῖς, ἐξ ὧν οἴονται πεσόντων καὶ τῇ γῇ συμμιγέντων ἀμπέλους γενέσθαι· διὸ καὶ τὸ μεθύειν ἔκφρονας ποιεῖ καὶ παραπλῆγας, ἅτε δὴ τῶν προγόνων τοῦ αἵματος ἐμπιπλαμένους. ταῦτα μὲν οὖν Εὔδοξος ἐν τῇ δευτέρᾳ τῆς περιόδου λέγεσθαί φησιν οὕτως ὑπὸ τῶν ἱερέων.

VII. Ἰχθύων δὲ θαλαττίων, πάντες μὲν οὐ πάντων, ἀλλ' ἐνίων ἀπέχονται. καθάπερ Ὀξυρυγχῖται τῶν ἀπ' ἀγκίστρου. σεβόμενοι γὰρ τὸν ὀξύρυγχον

ἰχθὺν, δεδίασι, μή ποτε τὸ ἄγκιστρον οὐ καθαρὸν ἐστὶν ὀξυρύγχου περιπεσόντος αὐτῷ. Συηνῖται δὲ φάγρου· δοκεῖ γὰρ ἐπιόντι τῷ Νείλῳ συνεπιφαίνεσθαι, καὶ τὴν αὔξησιν ἀσμένοις φράζειν αὐτάγγελος ὁρώμενος. οἱ δ' ἱερεῖς ἀπέχονται πάντων· πρώτου δὲ μηνὸς ἐνάτῃ τῶν ἄλλων Αἰγυπτίων ἑκάστου πρὸ τῆς αὐλείου θύρας ὀπτὸν ἰχθὺν κατεσθίοντος, οἱ ἱερεῖς οὐ γεύονται μὲν, κατακαίουσι δὲ πρὸ τῶν θυρῶν τοὺς ἰχθῦς· δύο λόγους ἔχοντες, ὧν τὸν μὲν ἱερὸν καὶ περιττὸν αὖθις ἀναλήψομαι, συνᾴδοντα τοῖς περὶ Ὀσίριδος καὶ Τυφῶνος ὁσίως φιλοσοφουμένοις· ὁ δ' ἐμφανὴς καὶ πρόχειρος, οὐκ ἀναγκαῖον, οὐδ' ἀπερίεργον ὄψον ἀποφαίνων τὸν ἰχθὺν, Ὁμήρῳ μαρτυρεῖ, μήτε Φαίακας τοὺς ἁβροβίους, μήτε τοὺς Ἰθακησίους ἀνθρώπους νησιώτας, ἰχθύσι χρωμένους ποιοῦντι, μήτε τοὺς Ὀδυσσέως ἑταίρους ἐν πλῷ τοσούτῳ καὶ ἐν θαλάττῃ, πρὶν εἰς ἐσχάτην ἐλθεῖν ἀπορίαν. ὅλως δὲ καὶ τὴν θάλατταν ἐκ πυρὸς ἡγοῦνται καὶ παρωρισμένην, οὐδὲ μέρος, οὐδὲ στοιχεῖον, ἀλλὰ ἀλλοῖον περίττωμα διεφθορὸς καὶ νοσῶδες.

VIII. Οὐδὲν γὰρ ἄλογον, οὐδὲ μυθῶδες, οὐδὲ ὑπὸ δεισιδαιμονίας (ὥσπερ ἔνιοι νομίζουσιν) ἐγκατεστοιχειοῦτο ἱερουργίαις, ἀλλὰ τὰ μὲν, ἠθικὰς ἔχοντα καὶ χρειώδεις αἰτίας, τὰ δὲ οὐκ ἄμοιρα κομψότητος ἱστορικῆς ἢ φυσικῆς ἐστιν· οἷον τὸ περὶ κρομμύου. τὸ γὰρ ἐμπεσεῖν εἰς τὸν ποταμὸν, καὶ ἀπολέσθαι τὸν τῆς Ἴσιδος τρόφιμον Δίκτυν τῶν κρομμύων ἐπιδρασσόμενον, ἐσχάτως ἀπίθανον· οἱ δὲ ἱερεῖς ἀφοσιοῦνται καὶ δυσχεραίνουσι τὸ κρόμμυον

παραφυλάττοντες, ὅτι τῆς σελήνης φθινούσης μόνον, ἐντροφεῖν τοῦτο καὶ τεθηλέναι πέφυκεν. ἔστι δὲ πρόσφορον οὔτε ἁγνεύουσιν οὔτε ἑορτάζουσι, τοῖς μὲν, ὅτι διψῆν, τοῖς δὲ, ὅτι δακρύειν ποιεῖ τοὺς προςφερομένους. ὁμοίως δὲ καὶ τὴν ὗν ἀνίερον ζῶον ἡγοῦνται, ὡς μάλιστα γὰρ ὀχεύεσθαι δοκεῖ τῆς σελήνης φθινούσης· καὶ τῶν τὸ γάλα πινόντων ἐξανθεῖ τὰ σώματα λέπραν καὶ ψωρικὰς τραχύτητας. τὸν δὲ λόγον, ὃν θύοντες ἅπαξ ὗν ἐν πανσελήνῳ, καὶ ἐσθίοντες ἐπιλέγουσιν, ὡς ὁ Τυφὼν ὗν διώκων πρὸς τὴν πανσέληνον, εὗρε τὴν ξυλίνην σορὸν, ἐν ᾗ τὸ σῶμα τοῦ Ὀσίριδος ἔκειτο, καὶ διέῤῥιψεν, οὐ πάντες ἀποδέχονται παρακουσμάτιον ὥςπερ ἄλλα πολλὰ νομίζοντες· ἀλλὰ τρυφήν γε καὶ πολυτέλειαν καὶ ἡδυπάθειαν οὕτω προβάλλεσθαι τοὺς παλαιοὺς λέγουσιν, ὥστε καὶ στήλην ἔφασαν ἐν Θήβαις ἐν τῷ ἱερῷ κεῖσθαι κατάρας ἐγγεγραμμένας ἔχουσαν κατὰ Μείνιος τοῦ βασιλέως, ὃς πρῶτος Αἰγυπτίους τῆς ἀπλούτου καὶ ἀχρημάτου καὶ λιτῆς ἀπήλλαξε διαίτης. λέγεται δὲ καὶ Τέχνατις, ὁ Βοκχόρεως πατὴρ, στρατεύων ἐπ' Ἄραβας, τῆς ἀποσκευῆς βραδυνούσης, ἡδέως τῷ προστυχόντι σιτίῳ χρησάμενος, εἶτα κοιμηθεὶς βαθὺν ὕπνον ἐπὶ στιβάδος, ἀσπάσασθαι τὴν εὐτέλειαν· ἐκ δὲ τούτου καταράσασθαι τῷ Μεινίῳ, καὶ τῶν ἱερέων ἐπαινεσάντων, στηλιτεῦσαι τὴν κατάραν.

IX. Οἱ δὲ βασιλεῖς ἀπεδείκνυντο μὲν ἐκ τῶν ἱερέων ἢ τῶν μαχίμων, τοῦ μὲν δι' ἀνδρίαν, τοῦ δὲ διὰ σοφίαν, γένους ἀξίωμα καὶ τιμὴν ἔχοντος. ὁ δὲ

ἐκ μαχίμων ἀποδεδειγμένος, εὐθὺς ἐγίνετο τῶν ἱερέων, καὶ μετεῖχε τῆς φιλοσοφίας ἐπικεκρυμμένης τὰ πολλὰ μύθοις καὶ λόγοις ἀμυδρὰς ἐμφάσεις τῆς ἀληθείας καὶ διαφάσεις ἔχουσιν, ὥσπερ ἀμέλει καὶ παραδηλοῦσιν αὐτοὶ, πρὸ τῶν ἱερῶν τὰς σφίγγας ἐπιεικῶς ἱστάντες, ὡς αἰνιγματώδη σοφίαν τῆς θεολογίας αὐτῶν ἐχούσης. τὸ δ᾽ ἐν *Σάϊ* τῆς *Ἀθηνᾶς* (ἣν καὶ *Ἶσιν* νομίζουσιν) ἕδος ἐπιγραφὴν εἶχε τοιαύτην, *Ἐγώ εἰμι πᾶν τὸ γεγονὸς, καὶ ὂν, καὶ ἐσόμενον· καὶ τὸν ἐμὸν πέπλον οὐδείς πω θνητὸς ἀπεκάλυψεν.* Ἔτι δὲ τῶν πολλῶν νομιζόντων ἴδιον παρ᾽ *Αἰγυπτίοις* ὄνομα τοῦ *Διὸς* εἶναι τὸν *Ἀμοῦν*, (ὃ παράγοντες ἡμεῖς *Ἄμμωνα* λέγομεν) *Μανεθὼς* μὲν ὁ *Σεβεννύτης* τὸ κεκρυμμένον οἴεται καὶ τὴν κρύψιν ὑπὸ ταύτης δηλοῦσθαι τῆς φωνῆς· *Ἑκαταῖος* δὲ ὁ *Ἀβδηρίτης* φησὶ τούτῳ καὶ πρὸς ἀλλήλους τῷ ῥήματι χρῆσθαι τοὺς *Αἰγυπτίους*, ὅταν τινὰ προσκαλῶνται. προσκλητικὴν γὰρ εἶναι τὴν φωνήν. διὸ τὸν πρῶτον θεὸν, ὃν τῷ παντὶ τὸν αὐτὸν νομίζουσιν, ὡς ἀφανῆ καὶ κεκρυμμένον ὄντα, προσκαλούμενοι καὶ παρακαλοῦντες ἐμφανῆ γενέσθαι καὶ δῆλον αὐτοῖς, *Ἀμοῦν* λέγουσιν. ἡ μὲν οὖν εὐλάβεια τῆς περὶ τὰ θεῖα σοφίας *Αἰγυπτίων*, τοσαύτη ἦν.

X. Μαρτυροῦσι δὲ καὶ τῶν *Ἑλλήνων* οἱ σοφώτατοι, *Σόλων*, *Θαλῆς*, *Πλάτων*, *Εὔδοξος*, *Πυθαγόρας* (ὡς δ᾽ ἔνιοι φασὶ, καὶ *Λυκοῦργος*) εἰς *Αἴγυπτον* ἀφικόμενοι, καὶ συγγενόμενοι τοῖς ἱερεῦσιν. *Εὔδοξον* μὲν οὖν *Χονούφεώς* φασι *Μεμφίτου* διακοῦσαι· *Σόλωνα* δὲ, *Σόγχιτος Σαΐτου*· *Πυθαγόραν* δὲ, *Οἰ-*

νούφεως Ἡλιουπολίτου. μάλιστα δὲ οὗτος, ὡς ἔοικε, θαυμασθεὶς καὶ θαυμάσας τοὺς ἄνδρας, ἀπεμιμήσατο τὸ συμβολικὸν αὐτῶν καὶ μυστηριῶδες, ἀναμίξας αἰνίγμασι τὰ δόγματα· τῶν γὰρ καλουμένων ἱερογλυφικῶν γραμμάτων οὐθὲν ἀπολείπει τὰ πολλὰ τῶν Πυθαγορικῶν παραγγελμάτων, οἷόν ἐστι τὸ Μὴ ἐσθίειν ἐπὶ δίφρου, μηδ' ἐπὶ χοίνικος καθῆσθαι, μηδὲ φοίνικα φυτεύειν, μηδὲ πῦρ μαχαίρῃ σκαλεύειν ἐν οἰκίᾳ. δοκῶ δ' ἔγωγε καὶ τὸ τὴν μονάδα τοὺς ἄνδρας ὀνομάζειν Ἀπόλλωνα, καὶ τὴν δυάδα Ἄρτεμιν, Ἀθηνᾶν δὲ τὴν ἑβδομάδα, Ποσειδῶνα δὲ τὸν πρῶτον κύβον, ἐοικέναι τοῖς ἐπὶ τῶν ἱερῶν ἱδρυμένοις, καὶ δρωμένοις νὴ Δία καὶ γραφομένοις. τὸν γὰρ βασιλέα καὶ κύριον Ὄσιριν ὀφθαλμῷ καὶ σκήπτρῳ γράφουσιν. ἔνιοι δὲ καὶ τοὔνομα διερμηνεύουσι πολυόφθαλμον, ὡς τοῦ μὲν ος, τὸ πολὺ, τοῦ δὲ ἶρι τὸν ὀφθαλμὸν Αἰγυπτίᾳ γλώττῃ φράζοντος· τὸν δ' οὐρανὸν, ὡς ἀγήρω διὰ ἀϊδιότητα, καρδίᾳ θυμὸν ἐσχάρας ὑποκειμένης. ἐν δὲ Θήβαις εἰκόνες ἦσαν ἀνακείμεναι δικαστῶν ἄχειρες· ἡ δὲ τοῦ ἀρχιδικαστοῦ, καταμύουσα τοῖς ὄμμασιν, ὡς ἄδωρον ἅμα τὴν δικαιοσύνην καὶ ἀνέντευκτον οὖσαν. τοῖς δὲ μαχίμοις κάνθαρος ἦν γλυφὴ σφραγῖδος· οὐ γάρ ἐστι κάνθαρος θῆλυς, ἀλλὰ πάντες ἄρσενες. τίκτουσι δὲ τὸν γόνον, ὡς σφαιροποιοῦσιν, οὐ τροφῆς μᾶλλον ὕλην, ἢ γενέσεως χώραν, παρασκευάζοντες.

XI. Ὅταν οὖν, ἃ μυθολογοῦσιν Αἰγύπτιοι περὶ τῶν θεῶν, ἀκούσῃς, πλάνας καὶ διαμελισμοὺς, καὶ πολλὰ τοιαῦτα παθήματα, δεῖ τῶν προειρημένων

μνημονεύειν, καὶ μηδὲν οἴεσθαι τούτων λέγεσθαι γεγονὸς οὕτω καὶ πεπραγμένον. οὐ γὰρ τὸν κύνα κυρίως Ἑρμῆν λέγουσιν, ἀλλὰ τοῦ ζώου τὸ φυλακτικὸν καὶ τὸ ἄγρυπνον, καὶ τὸ φιλόσοφον, γνώσει καὶ ἀγνοίᾳ τὸ φίλον καὶ τὸ ἐχθρὸν ὁρίζοντος, ἥ φησιν ὁ Πλάτων, τῷ λογιωτάτῳ τῶν θεῶν συνοικειοῦσιν. οὐδὲ τὸν ἥλιον ἐκ λωτοῦ νομίζουσι βρέφος ἀνίσχειν νεογιλὸν, ἀλλ' οὕτως ἀνατολὴν ἡλίου γράφουσι, τὴν ἐξ ὑγρῶν ἡλίου γινομένην ἄναψιν αἰνιττόμενοι. καὶ γὰρ τὸν ὠμότατον Περσῶν βασιλέα καὶ φοβερώτατον Ὦχον ἀποκτείναντα πολλοὺς, τέλος δὲ καὶ τὸν Ἆπιν ἀποσφάξαντα καὶ καταδειπνήσαντα μετὰ τῶν φίλων, ἐκάλεσαν μάχαιραν, καὶ καλοῦσι μέχρι νῦν οὕτως ἐν τῷ καταλόγῳ τῶν βασιλέων, οὐ κυρίως δήπου τὴν οὐσίαν αὐτοῦ σημαίνοντες, ἀλλὰ τοῦ τρόπου τὴν σκληρότητα καὶ κακίαν ὀργάνῳ φονικῷ παρεικάζοντες. οὕτω δὴ τὰ περὶ θεῶν ἀκούσασα καὶ δεχομένη παρὰ τῶν ἐξηγουμένων τὸν μῦθον ὁσίως καὶ φιλοσόφως, καὶ δρῶσα μὲν ἀεὶ καὶ διαφυλάττουσα τῶν ἱερῶν τὰ νενομισμένα, τοῦ δ' ἀληθῆ δόξαν ἔχειν περὶ θεῶν μηδὲν οἰομένη μᾶλλον μήτε θύσειν, μήτε ποιήσειν αὐτοῖς κεχαρισμένον, οὐδὲν ἔλαττον ἀποφεύξοιο κακὸν ἀθεότητος, δεισιδαιμονίαν.

XII. Λέγεται δὲ ὁ μῦθος οὗτος ἐν βραχυτάτοις ὡς ἔνεστι μάλιστα· τῶν ἀχρήστων σφόδρα καὶ περιττῶν ἀφαιρεθέντων. Τῆς Ῥέας φασὶ κρύφα τῷ Κρόνῳ συγγενομένης, αἰσθόμενον ἐπαράσασθαι τὸν ἥλιον αὐτῇ μήτε μηνὶ, μήτε ἐνιαυτῷ τεκεῖν· ἐρῶντα δὲ τὸν Ἑρμῆν τῆς θεοῦ συνελθεῖν, εἶτα παίξαντα

*πέττια πρὸς τὴν σελήνην, καὶ ἀφελόντα τῶν φώτων ἑκάστου τὸ ἑβδομηκοστὸν, ἐκ πάντων ἡμέρας πέντε συνελεῖν, καὶ ταῖς ἑξήκοντα καὶ τριακοσίαις ἐπάγειν, ἃς νῦν ἐπαγομένας Αἰγύπτιοι καλοῦσι, καὶ τῶν θεῶν γενεθλίους ἄγουσι· τῇ μὲν πρώτῃ τὸν Ὄσιριν γενέσθαι, καὶ φωνὴν αὐτῷ τεχθέντι συνεκπεσεῖν, ὡς ἁπάντων κύριος εἰς φῶς πρόεισιν. ἔνιοι δὲ Παμύλην τινὰ λέγουσιν ἐν Θήβαις ὑδρευόμενον ἐκ τοῦ ἱεροῦ τοῦ Διὸς φωνὴν ἀκοῦσαί, διακελευομένην ἀνειπεῖν μετὰ βοῆς, ὅτι μέγας βασιλεὺς εὐεργέτης Ὄσιρις γέγονε· καὶ διὰ τοῦτο θρέψαι τὸν Ὄσιριν, ἐγχειρίσαντος αὐτῷ τοῦ Κρόνου, καὶ τὴν τῶν Παμυλίων ἑορτὴν αὐτῷ τελεῖσθαι, Φαλληφορίοις ἐοικυῖαν. τῇ δὲ δευτέρᾳ τὸν Ἀρούηριν, ὃν Ἀπόλλωνα, ὃν καὶ πρεσβύτερον Ὧρον ἔνιοι καλοῦσι· τῇ τρίτῃ δὲ Τυφῶνα, μὴ καιρῷ, μηδὲ κατὰ χώραν, ἀλλ' ἀναῤῥήξαντα πληγῇ διὰ τῆς πλευρᾶς ἐξαλέσθαι· τετάρτῃ δὲ τὴν Ἶσιν ἐν πανύγροις γενέσθαι· τῇ δὲ πέμπτῃ Νέφθυν, ἣν καὶ Τελευτὴν καὶ Ἀφροδίτην, ἔνιοι δὲ καὶ Νίκην ὀνομάζουσιν. εἶναι δὲ τὸν μὲν Ὄσιριν ἐξ Ἡλίου καὶ τὸν Ἀρούηριν, ἐκ δὲ Ἑρμοῦ τὴν Ἶσιν, ἐκ δὲ τοῦ Κρόνου τὸν Τυφῶνα καὶ τὴν Νέφθυν. διὸ καὶ τὴν τρίτην τῶν ἐπαγομένων, ἀποφράδα νομίζοντες οἱ βασιλεῖς, οὐκ ἐχρημάτιζον, οὐδ' ἐθεράπευον αὑτοὺς, μέχρι νυκτός. γήμασθαι δὲ τῷ Τυφῶνι τὴν Νέφθυν. Ἶσιν δὲ καὶ Ὄσιριν ἐρῶντας ἀλλήλων, καὶ πρινὴ γενέσθαι κατὰ γαστρὸς ὑπὸ σκότῳ συνεῖναι. ἔνιοι δέ φασι καὶ τὸν Ἀρούηριν οὕτω γεγονέναι, καὶ καλεῖ-*

σθαι πρεσβύτερον Ὧρον ὑπ' Αἰγυπτίων, Ἀπόλλωνα δὲ ὑπὸ Ἑλλήνων.

XIII. Βασιλεύοντα δ' Ὄσιριν Αἰγυπτίους μὲν εὐθὺς ἀπόρου βίου καὶ θηριώδους ἀπαλλάξαι, καρπούς τε δείξαντα, καὶ νόμους θέμενον αὐτοῖς, καὶ θεοὺς διδάξαντα τιμᾷν· ὕστερον δὲ γῆν πᾶσαν ἡμερούμενον ἐπελθεῖν, ἐλάχιστα μὲν ὅπλων δεηθέντα, πειθοῖ δὲ τοὺς πλείστους καὶ λόγῳ μετ' ᾠδῆς πάσης καὶ μουσικῆς θελγομένους προσαγόμενον. ὅθεν Ἕλλησι δόξαι Διονύσῳ τὸν αὐτὸν εἶναι· Τυφῶνα δὲ, ἀπόντος μὲν οὐθὲν νεωτερίζειν, διὰ τὸ τὴν Ἶσιν εὖ μάλα φυλάττεσθαι καὶ προσέχειν ἐγκρατῶς ἔχουσιν, ἐπανελθόντι δὲ δόλον μηχανᾶσθαι, συνωμότας ἄνδρας ἑβδομήκοντα καὶ δύο πεποιημένον, καὶ συνεργὸν ἔχοντα βασίλισσαν ἐξ Αἰθιοπίας παροῦσαν, ἣν ὀνομάζουσιν Ἀσώ· τοῦ δὲ Ὀσίριδος ἐκμετρησάμενον λάθρα τὸ σῶμα, καὶ κατασκευάσαντα πρὸς τὸ μέγεθος λάρνακα καλὴν καὶ κεκοσμημένην περιττῶς, εἰσενεγκεῖν εἰς τὸ συμπόσιον. ἡσθέντων δὲ τῇ ὄψει καὶ θαυμασάντων, ὑποσχέσθαι τὸν Τυφῶνα μετὰ παιδιᾶς, ὃς ἂν ἐγκατακλιθεὶς ἐξισωθείη διδόναι δῶρον αὐτῷ τὴν λάρνακα. πειρωμένων δὲ πάντων καθ' ἕκαστον, ὡς οὐδεὶς ἐνήρμοττεν, ἐμβάντα τὸν Ὄσιριν κατακλιθῆναι. τοὺς δὲ συνόντας ἐπιδραμόντας ἐπιῤῥίψαι τὸ πῶμα, καὶ τὰ μὲν γόμφοις καταλαβόντας ἔξωθεν, τῶν δὲ θερμὸν μόλιβδον καταχεαμένους ἐπὶ τὸν ποταμὸν ἐξενεγκεῖν, καὶ μεθεῖναι διὰ τοῦ Ταναϊτικοῦ στόματος εἰς τὴν θάλασσαν, ὃ διὰ τοῦτο μισητὸν ἔτι νῦν, καὶ κατάπτυστον ὀνομάζειν Αἰγυ-

πτίοις. ταῦτα δὲ πραχθῆναι λέγουσιν ἑβδόμῃ ἐπὶ δέκα μηνὸς Ἀθὺρ, ἐν ᾧ τὸν σκορπίον ὁ ἥλιος διέξεισιν, ὄγδοον ἔτος καὶ εἰκοστὸν ἐκεῖνο βασιλεύοντος Ὀσίριδος. ἔνιοι δὲ βεβιωκέναι φασὶν αὐτόν, οὐ βεβασιλευκέναι χρόνον τοσοῦτον.

XIV. Πρώτων δὲ τῶν τὸν περὶ Χέμμιν οἰκούντων τόπον Πανῶν καὶ Σατύρων τὸ πάθος αἰσθομένων, καὶ λόγον ἐμβαλόντων περὶ τοῦ γεγονότος, τὰς μὲν αἰφνιδίους τῶν ὄχλων ταραχὰς καὶ πτοήσεις ἔτι νῦν διὰ τοῦτο πανικὰς προσαγορεύεσθαι· τὴν δ᾽ Ἶσιν αἰσθομένην, κείρασθαι μὲν ἐνταῦθα τῶν πλοκάμων ἕνα, καὶ πένθιμον στολὴν ἀναλαβεῖν, ὅπου τῇ πόλει μέχρι νῦν ὄνομα Κοπτώ. ἕτεροι δὲ τοὔνομα σημαίνειν οἴονται στέρησιν· τὸ γὰρ ἀποστερεῖν, κόπτειν λέγουσι. πλανωμένην δὲ πάντῃ καὶ ἀποροῦσαν, οὐδένα προσελθεῖν ἀπροσαύδητον, ἀλλὰ καὶ παιδαρίοις συντυχοῦσαν, ἐρωτᾷν περὶ τῆς λάρνακος. τὰ δὲ τυχεῖν ἑωρακότα, καὶ φράσαι τὸ στόμα, δι᾽ οὗ τὸ ἀγγεῖον οἱ φίλοι τοῦ Τυφῶνος εἰς τὴν θάλασσαν ἔωσαν. ἐκ τούτου τὰ παιδάρια μαντικὴν δύναμιν ἔχειν οἴεσθαι τοὺς Αἰγυπτίους, καὶ μάλιστα ταῖς τούτων ὀττεύεσθαι κληδόσι παιζόντων ἐν ἱεροῖς καὶ φθεγγομένων, ὅ τι ἂν τύχωσι. αἰσθομένην δὲ τῇ ἀδελφῇ ἐρῶντα συγγεγονέναι δι᾽ ἄγνοιαν, ὡς ἑαυτῇ, τὸν Ὄσιριν, καὶ τεκμήριον ἰδοῦσαν τὸν μελιλώτινον στέφανον, ὃν ἐκεῖνος παρὰ τὴν Νέφθυν κατέλιπε, τὸ παιδίον ζητεῖν (ἐκθεῖναι γὰρ εὐθὺς τεκοῦσαν διὰ φόβον τοῦ Τυφῶνος)· εὑρεθὲν χαλεπῶς καὶ μόγις κυνῶν ἐπαγόντων τὴν Ἶσιν, ἐκτραφῆναι καὶ γενέσθαι

φύλακα καὶ ὀπαδὸν αὐτῆς, Ἄνουβιν προςαγορευθέντα, καὶ λεγόμενον τοὺς θεοὺς φρουρεῖν, ὥσπερ οἱ κύνες τοὺς ἀνθρώπους.

XV. Ἐκ δὲ τούτου πυθέσθαι περὶ τῆς λάρνακος, ὡς πρὸς τὴν Βύβλον χώραν ὑπὸ τῆς θαλάττης ἐκκυμανθεῖσαν αὐτὴν ἐρίκῃ τινὶ μαλθακῶς ὁ κλύδων προςέμιξεν· ἡ δ' ἐρίκη κάλλιστον ἔρνος ὀλίγῳ χρόνῳ καὶ μέγιστον ἀναδραμοῦσα, περιέπτυξε καὶ περιέφυ καὶ ἀπέκρυψεν ἐντὸς ἑαυτῆς· θαυμάσας δὲ ὁ βασιλεὺς τοῦ φυτοῦ τὸ μέγεθος καὶ περιτεμὼν τὸν περιέχοντα τὴν σορὸν οὐχ ὁρωμένην κόλπον, ἔρεισμα τῆς στέγης ὑπέστησε. ταῦτά τε πνεύματί φασι δαιμονίῳ φήμης πυθομένην τὴν Ἶσιν εἰς Βύβλον ἀφικέσθαι, καὶ καθίσασαν ἐπὶ κρήνης ταπεινὴν καὶ δεδακρυμένην, ἄλλῳ μὲν μηδενὶ προςδιαλέγεσθαι, τῆς δὲ βασιλίδος τὰς θεραπαινίδας ἀσπάζεσθαι καὶ φιλοφρονεῖσθαι, τήν τε κόμην παραπλέκουσαν αὐτῶν, καὶ τῷ χρωτὶ θαυμαστὴν εὐωδίαν ἐπιπνέουσαν ἀφ' ἑαυτῆς. ἰδούσης δὲ τῆς βασιλίδος τὰς θεραπαινίδας, ἵμερον ἐμπεσεῖν τῆς ξένης τῶν τε τριχῶν τοῦ τε χρωτὸς ἀμβροσίαν πνέοντος· οὕτω δὲ μεταπεμφθεῖσαν καὶ γενομένην συνήθη, ποιήσασθαι τοῦ παιδίου τὴν τίτθην. ὄνομα δὲ τῷ μὲν βασιλεῖ Μάλκανδρον εἶναί φασιν· αὐτῇ δὲ οἱ μὲν Ἀστάρτην, οἱ δὲ Σάωσιν, οἱ δὲ Νεμανοῦν· ὅπερ ἂν Ἕλληνες Ἀθηναΐδα προςείποιεν.

XVI. Τρέφειν δὲ τὴν Ἶσιν, ἀντὶ μαστοῦ τὸν δάκτυλον εἰς τὸ στόμα τοῦ παιδίου διδοῦσαν, νύκτωρ δὲ περικαίειν τὰ θνητὰ τοῦ σώματος. αὐτὴν

δὲ γενομένην χελιδόνα τῇ κίονι περιπέτεσθαι καὶ θρηνεῖν, ἄχρις οὗ τὴν βασίλισσαν παραφυλάξασαν καὶ ἐκκραγοῦσαν ὡς εἶδε περικαιόμενον τὸ βρέφος, ἀφελέσθαι τὴν ἀθανασίαν αὐτοῦ. τὴν δὲ θεὰν φανερὰν γενομένην αἰτήσασθαι τὴν κίονα τῆς στέγης· ὑφελοῦσαν δὲ ῥᾷστα περικόψαι τὴν ἐρίκην, εἶτα ταύτην μὲν ὀθόνῃ περικαλύψασαν, καὶ μύρον καταχεαμένην, ἐγχειρίσαι τοῖς βασιλεῦσι, καὶ νῦν ἔτι σέβεσθαι Βυβλίους τὸ ξύλον ἐν ἱερῷ κείμενον Ἴσιδος. τῇ δὲ σορῷ περιπεσεῖν, καὶ κωκῦσαι τηλικοῦτον, ὥστε τῶν παίδων τοῦ βασιλέως τὸν νεώτερον ἐνθανεῖν, τὸν δὲ πρεσβύτερον μεθ᾽ ἑαυτῆς ἔχουσαν, καὶ τὴν σορὸν εἰς πλοῖον ἐνθεμένην ἀναχθῆναι. τοῦ δὲ Φαίδρου ποταμοῦ πνεῦμα τραχύτερον ἐκθρέψαντος ὑπὸ τὴν ἕω, θυμωθεῖσαν ἀναξηρᾶναι τὸ ῥεῖθρον.

XVII. Ὅπου δὲ πρῶτον ἐρημίας ἔτυχεν, αὐτὴν καθ᾽ ἑαυτὴν γενομένην, ἀνοῖξαι τὴν λάρνακα, καὶ τῷ προσώπῳ τὸ πρόσωπον ἐπιθεῖσαν, ἀσπάσασθαι καὶ δακρύειν· τοῦ δὲ παιδίου σιωπῇ προσελθόντος ἐκ τῶν ὄπισθεν καὶ καταμανθάνοντος, αἰσθομένην μεταστραφῆναι καὶ δεινὸν ὑπὸ ὀργῆς ἐμβλέψαι. τὸ δὲ παιδίον οὐκ ἀνασχέσθαι τὸ τάρβος, ἀλλὰ ἀποθανεῖν. οἱ δέ φασιν οὐχ οὕτως, ἀλλ᾽ ὃν εἴρηται τρόπον ἐκπεσεῖν εἰς τὴν θάλασσαν. ἔχει δὲ τιμὰς διὰ τὴν θεόν· ὃν γὰρ ᾄδουσιν Αἰγύπτιοι παρὰ τὰ συμπόσια Μανέρωτα, τοῦτον εἶναι. τινὲς δὲ τὸν μὲν παῖδα καλεῖσθαι Παλαιστινὸν, ἢ Πηλούσιον, καὶ τὴν πόλιν ἐπώνυμον ἀπ᾽ αὐτοῦ γενέσθαι, κτισθεῖσαν ὑπὸ τῆς θεοῦ· τὸν δ᾽ ᾀδόμενον Μανέρωτα,

*πρῶτον εὑρεῖν μουσικὴν ἱστοροῦσιν. ἔνιοι δέ φασιν, ὄνομα μὲν οὐδενὸς εἶναι, διάλεκτον δὲ πίνουσιν ἀνθρώποις καὶ θαλειάζουσι πρέπουσαν, Αἴσιμα τὰ τοιαῦτα παρείη· τοῦτο γὰρ τῷ Μανέρωτι φραζόμενον, ἀναφωνεῖν ἑκάστοτε τοὺς Αἰγυπτίους· ὥσπερ ἀμέλει καὶ τὸ δεικνύμενον αὐτοῖς εἴδωλον ἀνθρώπου τεθνηκότος ἐν κιβωτίῳ περιφερόμενον, οὐκ ἔστιν ὑπόμνημα τοῦ περὶ Ὀσίριδος πάθους, ἤ τινες ὑπολαμβάνουσιν, ἀλλ' οἰομένους παρακαλεῖν αὐτοὺς χρῆσθαι τοῖς παροῦσι καὶ ἀπολαύειν, ὡς πάντας αὐτίκα μάλα τοιούτους ἐσομένους, οὗ χάριν ἐπὶ κῶμον ἐπεισάγουσι.*

XVIII. *Τῆς δὲ Ἴσιδος πρὸς τὸν υἱὸν Ὧρον ἐν Βούτῳ τρεφόμενον πορευθείσης, τὸ δ' ἀγγεῖον ἐκποδὼν ἀποθεμένης, Τυφῶνα κυνηγετοῦντα νύκτωρ πρὸς τὴν σελήνην ἐντυχεῖν αὐτῷ, καὶ τὸ σῶμα γνωρίσαντα διελεῖν εἰς τεσσαρεσκαίδεκα μέρη, καὶ διαῤῥίψαι· τὴν δ' Ἶσιν πυθομένην ἀναζητεῖν ἐν βάριδι παπυρίνῃ, τὰ ἕλη διεκπλέουσαν. ὅθεν οὐκ ἀδικεῖσθαι τοὺς ἐν παπυρίναις σκάφεσι πλέοντας ὑπὸ τῶν κροκοδείλων, ἢ φοβουμένων, ἢ σεβομένων διὰ τὴν θεόν. ἐκ τούτου δὲ καὶ πολλοὺς τάφους Ὀσίριδος ἐν Αἰγύπτῳ λέγεσθαι διὰ τὸ προστυγχάνουσαν ἑκάστῳ μέρει ταφὰς ποιεῖν. οἱ δὲ οὔ φασιν· ἀλλὰ εἴδωλα ποιουμένην διδόναι καθ' ἑκάστην πόλιν, ὡς τὸ σῶμα διδοῦσαν· ὅπως παρὰ πλείοσιν ἔχῃ τιμάς, κἂν ὁ Τυφὼν ἐπικρατήσῃ τοῦ Ὥρου, τὸν ἀληθινὸν τάφον ζητῶν, πολλῶν λεγομένων καὶ δεικνυμένων ἀπαγορεύσῃ. μόνον δὲ τῶν μερῶν τοῦ Ὀσίριδος τὴν*

Ἶσιν οὐχ εὑρεῖν τὸ αἰδοῖον· εὐθὺς γὰρ εἰς τὸν ποταμὸν ῥιφθῆναι, καὶ γεύσασθαι τόν τε λεπιδωτὸν αὐτοῦ καὶ τὸν φάγρον καὶ τὸν ὀξύρυγχον, οὓς μάλιστα τῶν ἰχθύων ἀφοσιοῦσθαι. τὴν δ᾽ Ἶσιν ἀντ᾽ ἐκείνου μίμημα ποιησαμένην καθιερῶσαι τὸν φαλλὸν, ᾧ καὶ νῦν ἑορτάζειν τοὺς Αἰγυπτίους.

XIX. Ἔπειτα τῷ Ὥρῳ τὸν Ὄσιριν ἐξ ᾅδου παραγενόμενον διαπονεῖν ἐπὶ τὴν μάχην καὶ ἀσκεῖν. εἶτα διερωτῆσαι, τί κάλλιστον ἡγεῖται. τοῦ δὲ φήσαντος, τῷ πατρὶ καὶ τῇ μητρὶ τιμωρεῖν κακῶς παθοῦσιν, δεύτερον ἐρέσθαι, τί χρησιμώτερον οἴεται ζῶον εἰς μάχην ἐξιοῦσι. τοῦ δ᾽ Ὥρου ἵππον εἰπόντος, ἐπιθαυμάσαι καὶ διαπορῆσαι, πῶς οὐ λέοντα μᾶλλον, ἀλλ᾽ ἵππον. εἰπεῖν οὖν τὸν Ὧρον, ὡς λέων μὲν ὠφέλιμον ἐπιδεομένῳ βοηθείας, ἵππος δὲ φεύγοντα διασπάσαι καὶ καταναλῶσαι τὸν πολέμιον. ἀκούσαντα οὖν ἡσθῆναι τὸν Ὄσιριν, ὡς ἱκανῶς παρασκευασαμένου τοῦ Ὥρου. λέγεται δὲ, ὅτι πολλῶν μετατιθεμένων ἀεὶ πρὸς τὸν Ὧρον, καὶ ἡ παλλακὴ τοῦ Τυφῶνος ἀφίκετο Θούηρις. ὄφις δέ τις ἐπιδιώκων αὐτὴν ὑπὸ τῶν περὶ τὸν Ὧρον κατεκόπη, καὶ νῦν διὰ τοῦτο σχοινίον τι προβαλόντες εἰς μέσον κατακόπτουσι. τὴν μὲν οὖν μάχην ἐπὶ πολλὰς ἡμέρας γενέσθαι καὶ κρατῆσαι τὸν Ὧρον, τὸν Τυφῶνα δὲ τὴν Ἶσιν δεδεμένον παραλαβοῦσαν, οὐκ ἀνελεῖν, ἀλλὰ καὶ λῦσαι καὶ μεθεῖναι· τὸν δὲ Ὧρον οὐ μετρίως ἐνεγκεῖν, ἀλλ᾽ ἐπιβαλόντα τῇ μητρὶ τὰς χεῖρας ἀποσπάσαι τῆς κεφαλῆς τὸ βασίλειον· Ἑρμῆν δὲ περιθεῖναι βούκρανον αὐτῇ κράνος. τοῦ δὲ Τυ-

φῶνος δίκην τῷ Ὥρῳ νοθείας λαχόντος, βοηθήσαντος τοῦ Ἑρμοῦ τὸν Ὧρον ὑπὸ τῶν θεῶν γνήσιον κριθῆναι, τὸν δὲ Τυφῶνα δυσὶν ἄλλαις μάχαις καταπολεμωθῆναι. τὴν δ᾽ Ἶσιν μετὰ τὴν τελευτὴν ἐξ Ὀσίριδος συγγενομένου, τεκεῖν ἠλιτόμηνον καὶ ἀσθενῆ τοῖς κάτωθεν γυίοις τὸν Ἁρποκράτην.

XX. Ταῦτα σχεδόν ἐστι τοῦ μύθου τὰ κεφάλαια τῶν δυσφημοτάτων ἐξαιρεθέντων· οἷόν ἐστι τὸ περὶ τὸν Ὧρου διαμελισμὸν καὶ τὸν Ἴσιδος ἀποκεφαλισμόν. ὅτι μὲν οὖν εἰ ταῦτα περὶ τῆς μακαρίας καὶ ἀφθάρτου φύσεως, καθ᾽ ἣν μάλιστα νοεῖται τὸ θεῖον, ὡς ἀληθῶς πραχθέντα καὶ συμπεσόντα δοξάζουσι καὶ λέγουσιν, ἀποπτύσαι δεῖ καὶ καθήρασθαι τὸ στόμα κατ᾽ Αἰσχύλον, οὐδὲν δεῖ λέγειν πρὸς σε. καὶ γὰρ αὐτὴ δυσκολαίνεις τοῖς οὕτω παρανόμους καὶ βαρβάρους δόξας περὶ θεῶν ἔχουσιν. ὅτι δ᾽ οὐκ ἔοικε ταῦτα κομιδῇ μυθεύμασιν ἀραιοῖς καὶ διακένοις πλάσμασιν, οἷα ποιηταὶ καὶ λογογράφοι, καθάπερ οἱ ἀράχναι, γεννῶντες ἀφ᾽ ἑαυτῶν ἀπ᾽ ἀρχῆς ἀνυποθέτου ὑφαίνουσι καὶ ἀποτείνουσιν, ἀλλ᾽ ἔχει τινὰς ἀπορίας καὶ παθῶν διηγήσεις, αὐτὴ οἶσθα. καὶ καθάπερ οἱ μαθηματικοὶ την ἶριν ἔμφασιν εἶναι τοῦ ἡλίου λέγουσι ποικιλλομένην τῇ πρὸς τὸ νέφος ἀναχωρήσει τῆς ὄψεως, οὕτως ὁ μῦθος ἐνταῦθα λόγου τινὸς ἔμφασίς ἐστιν ἀνακλῶντος ἐπ᾽ ἄλλα τὴν διάνοιαν, ὡς ὑποδηλοῦσιν αἵ τε θυσίαι τὸ πένθιμον ἔχουσαι καὶ σκυθρωπὸν ἐμφαινόμενον, αἵ τε τῶν ναῶν διαθέσεις, πῇ μὲν ἀνειμένων εἰς πτερὰ καὶ δρόμους ὑπαιθρίους καὶ καθαρούς, πῇ δὲ

κρυπτὰ καὶ σκότια κατὰ γῆς ἐχόντων στολιστήρια Θηβαίοις ἐοικότα καὶ σηκοῖς· οὐχ ἥκιστα δὲ ἡ τῶν Ὀσιρείων δόξα. πολλαχοῦ γὰρ κεῖσθαι λεγομένου τοῦ σώματος, ὀνομάζεσθαί πολίχνην λέγουσιν, ὡς μόνην τὸ ἀληθινὸν ἔχουσαν, ἔν τε Ἀβύδῳ τοὺς εὐδαίμονας τῶν Αἰγυπτίων καὶ δυνατοὺς μάλιστα θάπτεσθαι φιλοτιμουμένους ὁμοτάφους εἶναι τοῦ σώματος Ὀσίριδος. ἐν δὲ Μέμφει τρέφεσθαι τὸν Ἆπιν, εἴδωλον ὄντα τῆς ἐκείνου ψυχῆς, ὅπου καὶ τὸ σῶμα κεῖσθαι· καὶ τὴν μὲν πόλιν οἱ μὲν Ὅρμον ἀγαθῶν ἑρμηνεύουσιν, οἱ δ' ἰδίως τάφον Ὀσίριδος. τὴν δὲ πρὸς Φίλαις νησίδα τὴν ἄλλως μὲν ἄβατον ἅπασι καὶ ἀπροσπέλαστον εἶναι, καὶ μηδ' ὄρνιθας ἐπ' αὐτὴν καταίρειν, μηδὲ ἰχθῦς προςπελάζειν, ἑνὶ δὲ καιρῷ τοὺς ἱερεῖς διαβαίνοντας ἐναγίζειν καὶ καταστέφειν τὸ σῆμα μηθίδης φυτῷ περισκιαζόμενον, ὑπεραίροντι πάσης ἐλαίας μέγεθος.

XXI. Εὔδοξος δὲ, πολλῶν τάφων ἐν Αἰγύπτῳ λεγομένων, ἐν Βουσίριδι τὸ σῶμα κεῖσθαι. καὶ γὰρ πατρίδα ταύτην γεγονέναι τοῦ Ὀσίριδος. οὐκέτι μέντοι λόγου δεῖσθαι τὴν Ταφόσιριν· αὐτὸ γὰρ φράζειν τοὔνομα ταφὴν Ὀσίριδος. αἰνῶ δὲ τομὴν ξύλου καὶ σχίσιν λίνου καὶ χοὰς χεομένας, διὰ τὸ πολλὰ τῶν μυστικῶν ἀναμεμίχθαι τούτοις. οὐ μόνον δὲ τούτου οἱ ἱερεῖς λέγουσιν, ἀλλὰ καὶ τῶν ἄλλων θεῶν, ὅσοι μὴ ἀγέννητοι, μηδ' ἄφθαρτοι, τὰ μὲν σώματα παρ' αὐτοῖς κεῖσθαι καμόντα καὶ θεραπεύεσθαι, τὰς δὲ ψυχὰς ἐν οὐρανῷ λάμπειν ἄστρα, καὶ καλεῖσθαι κύνα μὲν τὴν Ἴσιδος ὑφ' Ἑλλήνων,

ὑπ' Αἰγυπτίων δὲ Σῶθιν, Ὠρίωνα δὲ τὴν Ὥρου, τὴν δὲ Τυφῶνος, ἄρκτον. εἰς δὲ τὰς τροφὰς τῶν τιμωμένων ζώων, τοὺς μὲν ἄλλους συντεταγμένα τελεῖν, μόνους δὲ μὴ διδόναι τοὺς Θηβαΐδα κατοικοῦντας, ὡς θνητὸν θεὸν οὐδένα νομίζοντας, ἀλλὰ ὃν καλοῦσιν αὐτοὶ Κνὴφ, ἀγέννητον ὄντα καὶ ἀθάνατον.

XXII. Πολλῶν δὲ τοιούτων λεγομένων καὶ δεικνυμένων, οἱ μὲν οἰόμενοι βασιλέων ταῦτα καὶ τυράννων (δι' ἀρετὴν ὑπερφέρουσαν ἢ δύναμιν ἀξίωμα τῇ δόξῃ θεότητος ἐπιγραψαμένων, εἶτα χρησαμένων τύχαις) ἔργα καὶ πάθη δεινὰ καὶ μεγάλα διαμνημονεύεσθαι, ῥάστῃ μὲν ἀποδράσει τοῦ λόγου χρῶνται, καὶ τὸ δύσφημον οὐ φαύλως ἀπὸ τῶν θεῶν ἐπ' ἀνθρώπους μεταφέρουσι, καὶ ταύτας ἔχουσιν ἀπὸ τῶν ἱστορουμένων βοηθείας. ἱστοροῦσι γὰρ Αἰγύπτιοι τὸν μὲν Ἑρμῆν τῷ σώματι γενέσθαι γαλιάγκωνα, τὸν δὲ Τυφῶνα τῇ χρόᾳ πυῤῥὸν, λευκὸν δὲ τὸν Ὧρον, καὶ μελάγχρουν τὸν Ὄσιριν, ὡς τῇ φύσει γεγονότας ἀνθρώπους. ἔτι δὲ καὶ στρατηγὸν ὀνομάζουσιν Ὄσιριν, καὶ κυβερνήτην Κάνωβον, οὗ φασιν ἐπώνυμον γεγονέναι τὸν ἀστέρα· καὶ τὸ πλοῖον, ὃ καλοῦσιν Ἕλληνες Ἀργὼ, τῆς Ὀσίριδος νεὼς εἴδωλον ἐπὶ τιμῇ κατηστερισμένον, οὐ μακρὰν φέρεσθαι τοῦ Ὠρίωνος καὶ τοῦ Κυνὸς, ὧν τὸ μὲν Ὥρου, τὸ δὲ Ἴσιδος ἱερὸν, Αἰγύπτιοι νομίζουσιν.

XXIII. Ὀκνῶ δὲ, μὴ τοῦτο ᾖ τὰ ἀκίνητα κινεῖν, καὶ πολεμεῖν οὐ τῷ πολλῷ χρόνῳ, κατὰ Σιμωνίδην, μόνον, πολλοῖς δ' ἀνθρώπων ἔθνεσι καὶ γένεσι κατόχοις ὑπὸ τῆς πρὸς τοὺς θεοὺς τούτους ὁσιό-

τητος, οὐδὲν ἀπολιπόντας ἐξ οὐρανοῦ μεταφέρειν ἐπὶ γῆν ὀνόματα τηλικαῦτα, καὶ τιμὴν καὶ πίστιν ὀλίγου δεῖν ἅπασιν ἐκ πρώτης γενέσεως ἐνδεδυκυῖαν ἐξιστάναι καὶ ἀναλύειν, μεγάλας μὲν τῷ ἀθέῳ λεῷ κλισιάδας ἀνοίγοντας καὶ ἐξανθρωπίζοντι τὰ θεῖα, λαμπρὰν δὲ τῆς Εὐημέρου τοῦ Μεσσηνίου φενακισμοῖς παῤῥησίαν διδόντας, ὃς αὐτὸς ἀντίγραφα συνθεὶς ἀπίστου καὶ ἀνυπάρκτου μυθολογίας, πᾶσαν ἀθεότητα κατασκεδάννυσι τῆς οἰκουμένης, τοὺς νομιζομένους θεοὺς πάντας ὁμαλῶς διαγράφων, εἰς ὀνόματα στρατηγῶν καὶ ναυάρχων καὶ βασιλέων, ὡς δὴ πάλαι γεγονότων, ἐν δὲ Πάγχοντι γράμμασι χρυσοῖς ἀναγεγραμμένων, οἷς οὔτε βάρβαρος οὐδεὶς, οὔτε Ἕλλην, ἀλλὰ μόνος Εὐήμερος, ὡς ἔοικε, πλεύσας εἰς τοὺς μηδαμόθι γῆς γεγονότας, μηδὲ ὄντας Παγχώους καὶ Τριφύλλους, ἐντετυχήκει.

XXIV. Καίτοι μεγάλαι μὲν ὑμνοῦνται πράξεις ἐν Ἀσσυρίοις, Σεμιράμιος· μεγάλαι δὲ αἱ Σεσώςριος ἐν Αἰγύπτῳ· Φρύγες δὲ μέχρι νῦν τὰ λαμπρὰ καὶ θαυμαστὰ τῶν ἔργων, Μανικὰ καλοῦσι, διὰ τὸ Μάνιν τινὰ τῶν πάλαι βασιλέων ἀγαθὸν ἄνδρα καὶ δυνατὸν γενέσθαι παρ᾽ αὐτοῖς, ὃν ἔνιοι Μάσδην καλοῦσι. Κῦρος δὲ Πέρσας, Μακεδόνας δὲ Ἀλέξανδρος, ὀλίγου δεῖν ἐπὶ πέρας τῆς γῆς κρατοῦντας προήγαγον· ἀλλὰ ὄνομα καὶ μνήμην βασιλέων ἀγαθῶν ἔχουσιν. εἰ δέ τινες ἐξαρθέντες ὑπὸ μεγαλαυχίας, ὥς φησιν ὁ Πλάτων, ἅμα νεότητι καὶ ἀγνοίᾳ φλεγόμενοι τὴν ψυχὴν μεθ᾽ ὕβρεως ἐδέξαντο θεῶν ἐπωνυμίας, καὶ ναῶν ἱδρύσεις, βραχὺν ἤνθησεν ἡ

δόξα χρόνον, εἶτα κενότητα καὶ ἀλαζονείαν μετὰ ἀσεβείας καὶ παρανομίας προσόφλοντες,

Ὠκύμοροι καπνοῖο δίκην ἀρθέντες ἀπέπταν,

καὶ νῦν, ὥσπερ ἀγώγιμοι δραπέται, τῶν ἱερῶν καὶ τῶν βωμῶν ἀποσπασθέντες οὐδὲν ἀλλ' ἢ τὰ μνήματα καὶ τοὺς τάφους ἔχουσιν. ὅθεν Ἀντίγονος ὁ γέρων, Ἑρμοδότου τινὸς ἐν ποιήμασιν αὐτὸν ἡλίου παῖδα καὶ θεὸν ἀναγορεύοντος· Οὐ τοιαῦτά μοι (εἶπεν) ὁ λασανοφόρος σύνοιδεν. εὖ δὲ καὶ Λύσιππος ὁ πλάστης Ἀπελλῆν ἐμέμψατο τὸν ζωγράφον, ὅτι τὴν Ἀλεξάνδρου γράφων εἰκόνα, κεραυνὸν ἐνεχείρισεν· αὐτὸς δὲ λόγχην, ἧς τὴν δόξαν οὐδὲ εἷς ἀφαιρήσεται χρόνος ἀληθινὴν καὶ ἰδίαν οὖσαν.

XXV. Βέλτιον οὖν οἱ τὰ περὶ τὸν Τυφῶνα καὶ Ὄσιριν καὶ Ἶσιν ἱστορούμενα, μήτε θεῶν παθήματα, μήτ' ἀνθρώπων, ἀλλὰ δαιμόνων μεγάλων εἶναι νομίζοντες, οὓς καὶ Πλάτων καὶ Πυθαγόρας καὶ Ξενοκράτης καὶ Χρύσιππος, ἑπόμενοι τοῖς πάλαι θεολόγοις, ἐῤῥωμενεστέρους μὲν ἀνθρώπων γεγονέναι λέγουσι, καὶ πολλῇ τῇ δυνάμει τὴν φύσιν ὑπερφέροντας ἡμῶν, τὸ δὲ θεῖον οὐκ ἀμιγὲς, οὐδ' ἄκρατον ἔχοντας, ἀλλὰ καὶ ψυχῆς φύσει καὶ σώματος αἰσθήσει συνειληχὸς, ἡδονὴν δεχομένῃ καὶ πόνον, καὶ ὅσα ταύταις ἐγγενόμενα ταῖς μεταβολαῖς πάθη, τοὺς μὲν μᾶλλον, τοὺς δὲ ἧττον ἐπιταράττει. γίνονται γὰρ ὡς ἐν ἀνθρώποις, καὶ δαίμοσιν, ἀρετῆς διαφοραὶ καὶ κακίας. τὰ γὰρ Γιγαντικὰ καὶ Τιτανικὰ παρ' Ἕλλησιν ᾀδόμενα, καὶ Κρόνου τινὲς ἄθεσμοι πράξεις, καὶ Πύθωνος ἀντιτάξεις πρὸς Ἀπόλλωνα, φυ-

γαί τε Διονύσου καὶ πλάναι Δήμητρος, οὐδὲν ἀπολείπουσι τῶν Ὀσιριακῶν καὶ Τυφωνικῶν, ἄλλων τε ὧν πᾶσιν ἔξεστιν ἀνέδην μυθολογουμένων ἀκούειν· ὅσα τε μυστικοῖς ἱεροῖς περικαλυπτόμενα καὶ τελεταῖς, ἄῤῥητα διασώζεται καὶ ἀθέατα πρὸς τοὺς πολλούς, ὅμοιον ἔχει λόγον.

XXVI. Ἀκούομεν δὲ καὶ Ὁμήρου, τοὺς μὲν ἀγαθοὺς διαφόρως θεοειδέας ἑκάστοτε καὶ ἀντιθέους, καὶ θεῶν ἄπο μήδε' ἔχοντας· τῷ δ' ἀπὸ τῶν δαιμόνων προσρήματι χρωμένου κοινῶς ἐπί τε χρηστῶν καὶ φαύλων·

Δαιμόνιε, σχεδὸν ἐλθέ· τίη δειδίσσεαι οὕτως
Ἀργείους; καὶ πάλιν·
Ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο, δαίμονι ἶσος.

καί·

Δαιμονίη, τί νύ σε Πρίαμος Πριάμοιό τε παῖδες
Τόσσα κακὰ ῥέζουσιν, ὅτ' ἀσπερχὲς μενεαίνεις
Ἰλίου ἐξαλαπάξαι ἐϋκτίμενον πτολίεθρον;

ὡς τῶν δαιμόνων μικτὴν καὶ ἀνώμαλον φύσιν ἐχόντων καὶ προαίρεσιν. ὅθεν ὁ μὲν Πλάτων Ὀλυμπίοις θεοῖς τὰ δεξιὰ καὶ περιττά, τὰ δ' ἀντίφωνα τούτων δαίμοσιν ἀποδίδωσι. ὁ δὲ Ξενοκράτης καὶ τῶν ἡμερῶν τὰς ἀποφράδας, καὶ τῶν ἑορτῶν ὅσαι πληγάς τινας, ἢ κοπετούς, ἢ νηστείας, ἢ δυσφημίας, ἢ αἰσχρολογίαν ἔχουσιν, οὔτε θεῶν τιμαῖς, οὔτε δαιμόνων οἴεται προσήκειν χρηστῶν, ἀλλὰ εἶναι φύσεις ἐν τῷ περιέχοντι μεγάλας μὲν καὶ ἰσχυράς, δυστρόπους δὲ καὶ σκυθρωπάς, αἳ χαίρουσι τοῖς τοιούτοις, καὶ τυγχάνουσαι πρὸς οὐθὲν ἄλλο χεῖρον τρέπονται.

τοὺς δὲ χρηστοὺς πάλιν καὶ ἀγαθοὺς ὅ τε Ἡσίοδος ἁγνοὺς δαίμονας καὶ φύλακας ἀνθρώπων προςαγορεύει

*Πλουτοδότας, καὶ τοῦτο γέρας βασιλήϊον ἔχοντας.*

ὅ τε Πλάτων ἑρμηνευτικὸν τὸ τοιοῦτον ὀνομάζει γένος καὶ διακονικὸν, ἐν μέσῳ θεῶν καὶ ἀνθρώπων, εὐχὰς μὲν ἐκεῖ καὶ δεήσεις ἀνθρώπων ἀναπέμποντας, ἐκεῖθεν δὲ μαντεῖα δεῦρο καὶ δόσεις ἀγαθῶν φέροντας. Ἐμπεδοκλῆς δὲ καὶ δίκας φησὶ διδόναι τοὺς δαίμονας, ὧν ἐξαμάρτωσι καὶ πλημμελήσωσιν.

*Αἰθέριον μὲν γάρ σφε μένος πόντονδε διώκει,*
*Πόντος δ' ἐς χθονὸς οὖδας ἀπέπτυσε, γαῖα δ' ἐς αὐγὰς*
*Ἠελίου ἀκάμαντος, ὁ δ' αἰθέρος ἔμβαλε δίναις·*
*Ἄλλος δ' ἐξ ἄλλου δέχεται, στυγέουσι δὲ πάντες.*

ἄχρις οὗ κολασθέντες οὕτω καὶ καθαρθέντες, αὖθις τὴν κατὰ φύσιν χώραν καὶ τάξιν ἀπολάβωσι.

XXVII. Τούτων δὲ καὶ τῶν τοιούτων ἀδελφὰ λέγεσθαί φασι περὶ Τυφῶνος, ὡς δεινὰ μὲν ὑπὸ φθόνου καὶ δυςμενείας εἰργάσατο· καὶ πάντα πράγματα ταράξας, ἐνέπλησε κακῶν γῆν ὁμοῦ τι πᾶσαν καὶ θάλασσαν, εἶτα δίκην ἔδωκεν. ἡ δὲ τιμωρὸς Ὀσίριδος ἀδελφὴ καὶ γυνὴ τὴν Τυφῶνος σβέσασα καὶ καταπαύσασα μανίαν καὶ λύσσαν, οὐ περιεῖδε τοὺς ἄθλους καὶ τοὺς ἀγῶνας, οὓς ἀνέτλη, καὶ πλάνας αὐτῆς, καὶ πολλὰ μὲν ἔργα σοφίας, πολλὰ δ' ἀνδρίας ἀμνηστίαν ὑπολαβοῦσαν καὶ σιωπὴν, ἀλλὰ ταῖς ἁγιωτάταις ἀναμίξασα τελεταῖς, εἰκόνας καὶ ὑπονοίας καὶ μίμημα τῶν τότε παθημάτων, εὐσε-

θείας ὁμοῦ δίδαγμα καὶ παραμύθιον ἀνδράσι καὶ γυναιξὶν ὑπὸ συμφορῶν ἐχομένοις ὁμοίων καθωσιώσιν. αὕτη δὲ καὶ Ὄσιρις ἐκ δαιμόνων ἀγαθῶν δι' ἀρετῆς εἰς θεοὺς μεταβαλόντες, ὡς ὕστερον Ἡρακλῆς καὶ Διόνυσος, ἅμα καὶ θεῶν καὶ δαιμόνων οὐκ ἀπὸ τρόπου μεμιγμένας τιμὰς ἔχουσι, πανταχοῦ μὲν, ἐν δὲ τοῖς ὑπὲρ γῆν καὶ ὑπὸ γῆν δυνάμενοι μέγιστον. οὐ γὰρ ἄλλον εἶναι Σάραπιν, ἢ τὸν Πλούτωνά φασι, καὶ Ἶσιν τὴν Περσέφασσαν, ὡς Ἀρχέμαχος εἴρηκεν ὁ Εὐβοεὺς, καὶ ὁ Ποντικὸς Ἡρακλείδης το χρηστήριον ἐν Κανώβῳ Πλούτωνος ἡγούμενος εἶναι.

XXVIII. Πτολεμαῖος δὲ ὁ Σωτὴρ ὄναρ εἶδε τὸν ἐν Σινώπῃ τοῦ Πλούτωνος κολοσσὸν, οὐκ ἐπιστάμενος, οὐδὲ ἑωρακὼς πρότερον, οἷος τὴν μορφὴν, κελεύοντα κομίσαι τὴν ταχίστην αὐτὸν εἰς Ἀλεξάνδρειαν. ἀγνοοῦντι δ' αὐτῷ καὶ ἀποροῦντι, ποῦ καθίδρυται, καὶ διηγουμένῳ τοῖς φίλοις τὴν ὄψιν, εὑρέθη πολυπλάνης ἄνθρωπος, ὄνομα Σωσίβιος, ἐν Σινώπῃ φάμενος ἑωρακέναι τοιοῦτον κολοσσὸν, οἷον ὁ βασιλεὺς ἰδεῖν ἔδοξεν. ἔπεμψεν οὖν Σωτέλη καὶ Διόνυσον, οἳ χρόνῳ πολλῷ καὶ μόλις, οὐκ ἄνευ μέντοι θείας προνοίας, ἤγαγον ἐκκλέψαντες. ἐπεὶ δὲ κομισθεὶς ὤφθη, συμβαλόντες οἱ περὶ Τιμόθεον τὸν ἐξηγητὴν καὶ Μανέθωνα τὸν Σεβεννύτην Πλούτωνος ὂν ἄγαλμα, τῷ Κερβέρῳ τεκμαιρόμενοι καὶ τῷ δράκοντι, πείθουσι τὸν Πτολεμαῖον, ὡς ἑτέρου θεῶν οὐδενὸς, ἀλλὰ Σαράπιδός ἐστιν. οὐ γὰρ ἐκεῖθεν οὕτως ὀνομαζόμενος ἧκεν, ἀλλ' εἰς Ἀλεξάνδρειαν κομισθεὶς τὸ παρ' Αἰγυπτίοις ὄνομα τοῦ Πλούτωνος

ἐκτήσατο τὸν Σάραπιν. καὶ μέντοι Ἡρακλείτου τοῦ φυσικοῦ λέγοντος Ἅδης καὶ Διόνυσος οὗτος, ὅτεοῦν μαίνονται καὶ ληραίνουσιν, εἰς ταύτην ὑπάγουσι τὴν δόξαν. οἱ γὰρ ἀξιοῦντες ᾅδην λέγεσθαι τὸ σῶμα τῆς ψυχῆς, οἷον παραφρονούσης καὶ μεθυούσης ἐν αὐτῷ, γλίσχρως ἀλληγοροῦσι. βέλτιον δὲ τὸν Ὄσιριν, εἰς ταυτὸ συνάγειν τῷ Διονύσῳ, τῷ τ' Ὀσίριδι τὸν Σάραπιν, ὅτε τὴν φύσιν μετέβαλε, ταύτης τυχόντι τῆς προσηγορίας. διὸ πᾶσι κοινὸς ὁ Σάραπίς ἐστι, ὡς καὶ τὸν Ὄσιριν οἱ τῶν ἱερῶν μεταλαβόντες ἴσασιν.

XXIX. Οὐ γὰρ ἄξιον προσέχειν τοῖς Φρυγίοις γράμμασιν, ἐν οἷς λέγεται χαροπῶς, τοὺς μὲν τοῦ Ἡρακλέους γενέσθαι θυγάτηρ, Ἰσαιακοῦ δὲ τοῦ Ἡρακλέους ὁ Τυφών. οὐδὲ Φυλάρχου μὴ καταφρονεῖν, γράφοντος, ὅτι πρῶτος εἰς Αἴγυπτον ἐξ Ἰνδῶν Διόνυσος ἤγαγε δύο βοῦς, ὧν ἦν τῷ μὲν Ἆπις ὄνομα, τῷ δ' Ὄσιρις· Σάραπις δ' ὄνομα τοῦ τὸ πᾶν κοσμοῦντός ἐστι, παρὰ τὸ σαίρειν, ὃ καλλύνειν τινὲς καὶ κοσμεῖν λέγουσιν. ἄτοπα γὰρ ταῦτα τοῦ Φυλάρχου, πολλῷ δ' ἀτοπώτερα τὰ τῶν λεγόντων, οὐκ εἶναι θεὸν τὸν Σάραπιν, ἀλλὰ τὴν Ἄπιδος σορὸν οὕτως ὀνομάζεσθαι, καὶ χαλκᾶς τινας ἐν Μέμφει πύλας λήθης καὶ κωκυτοῦ προσαγορευομένας, ὅταν θάπτωσι τὸν Ἆπιν ἀνοίγεσθαι, βαρὺ καὶ σκληρὸν ψοφούσας. διὸ παντὸς ἠχοῦντος ἡμᾶς χαλκώματος ἐπιλαμβάνεσθαι. μετριώτερον δὲ οἱ παρὰ τὸ σεύεσθαι καὶ τὸ σοῦσθαι τὴν τοῦ παντὸς ἅμα κίνησιν εἰρῆσθαι φάσκοντες. οἱ δὲ πλεῖστοι τῶν ἱερέων εἰς τὸ αὐτό φασι τὸν Ὄσιριν συμπεπλέχθαι καὶ τὸν Ἆπιν,

ἐξηγούμενοι καὶ διδάσκοντες ἡμᾶς, ὡς εὔμορφον εἰκόνα χρὴ νομίζειν τῆς Ὀσίριδος ψυχῆς τὸν Ἆπιν. ἐγὼ δὲ, εἰ μὲν Αἰγύπτιόν ἐστι τοὔνομα τοῦ Σαράπιδος, εὐφροσύνην αὐτὸ δηλοῦν οἴομαι καὶ χαρμοσύνην, τεκμαιρόμενος, ὅτι τὴν ἑορτὴν Αἰγύπτιοι τὰ χαρμόσυνα σαίρει καλοῦσιν. καὶ γὰρ Πλάτων τὸν ᾅδην, ὡς αἰδοῦς υἱὸν τοῖς παρ' αὐτοῦ γενομένοις καὶ προσηνῆ θεὸν ὠνομάσθαι φησί· καὶ παρ' Αἰγυπτίοις ἄλλα τε πολλὰ τῶν ὀνομάτων λόγοι εἰσὶ, καὶ τὸν ὑποχθόνιον τόπον, εἰς ὃν οἴονται τὰς ψυχὰς ἀπέρχεσθαι μετὰ τὴν τελευτὴν, Ἀμένθην καλοῦσι, σημαίνοντος τοῦ ὀνόματος τὸν λαμβάνοντα καὶ διδόντα. εἰ δὲ καὶ τοῦτο τῶν ἐκ τῆς Ἑλλάδος ἀπελθόντων πάλαι καὶ μετακομισθέντων ὀνομάτων ἕν ἐστιν, ὕστερον ἐπισκεψώμεθα· νῦν δὲ τὰ λοιπὰ τῆς ἐν χερσὶ δόξης προςδιέλθωμεν.

XXX. Ὁ μὲν γὰρ Ὄσιρις καὶ ἡ Ἶσις δαιμόνων ἀγαθῶν εἰς θεοὺς μετήλλαξαν· τὴν δὲ τοῦ Τυφῶνος ἠμαυρωμένην καὶ συντετριμμένην δύναμιν, ἔτι δὲ καὶ ψυχοῤῥαγοῦσαν καὶ σφαδάζουσαν, ἔστιν αἷς παρηγοροῦσι θυσίαις καὶ πραΰνουσιν· ἔστι δ' ὅτε πάλιν ἐκταπεινοῦσι καὶ καθυβρίζουσιν ἔν τισιν ἑορταῖς, τῶν μὲν ἀνθρώπων τοὺς πυῤῥοὺς προπηλακίζοντες, ὄνον δὲ καὶ κατακρημνίζοντες, ὡς Κοπτῖται, διὰ τὸ πυῤῥὸν γεγονέναι τὸν Τυφῶνα καὶ ὀνώδη τὴν χρόαν. Βουσιρῖται δὲ καὶ Λυκοπολῖται σάλπιγξιν οὐ χρῶνται τοπαράπαν, ὡς ὄνῳ φθεγγομέναις ἐμφερές. καὶ ὅλως τὸν ὄνον οὐ καθαρὸν, ἀλλὰ δαιμονικὸν, ἡγοῦνται ζῶον εἶναι, διὰ τὴν πρὸς ἐκεῖνον ὁμοιό-

τητα, καὶ πύπανα ποιοῦντες ἐν θυσίαις, τοῦ τε Παϋνὶ καὶ τοῦ Φαωφὶ μηνὸς ἐπιπλάττουσι παράσημον ὄνον δεδεμένον. ἐν δὲ τῇ τοῦ ἡλίου θυσίᾳ τοῖς σεβομένοις τὸν θεὸν παρεγγυῶσι μὴ φορεῖν ἐπὶ τῷ σώματι χρυσία, μηδ' ὄνῳ τροφὴν διδόναι. φαίνονται δὲ καὶ οἱ Πυθαγορικοὶ τὸν Τυφῶνα δαιμονικὴν ἡγούμενοι δύναμιν. λέγουσι γὰρ ἐν ἀρτίῳ μέτρῳ ἕκτῳ καὶ πεντηκοστῷ γεγονέναι Τυφῶνα. καὶ πάλιν τὴν μὲν τοῦ τριγώνου, Ἅδου καὶ Διονύσου καὶ Ἄρεος εἶναι· τὴν δὲ τοῦ τετραγώνου, Ῥέας, καὶ Ἀφροδίτης καὶ Δήμητρος καὶ Ἑστίας καὶ Ἥρας· τὴν δὲ τοῦ δωδεκαγώνου, Διός· τὴν δὲ ἑκκαιπεντηκονταγωνίου, Τυφῶνος, ὡς Εὔδοξος ἱστόρηκεν.

XXXI. Αἰγύπτιοι δὲ πυῤῥόχρουν γεγονέναι τὸν Τυφῶνα νομίζοντες, καὶ τῶν βοῶν τοὺς πυῤῥοὺς καθιερεύουσιν, οὕτως ἀκριβῆ ποιούμενοι τὴν παρατήρησιν, ὥςτε κἂν μίαν ἔχῃ τρίχα μέλαιναν ἢ λευκὴν, ἄθυτον ἡγεῖσθαι. θύσιμον γὰρ οὐ φίλον εἶναι θεοῖς, ἀλλὰ τοὐναντίον, ὅσα ψυχὰς ἀνοσίων ἀνθρώπων καὶ ἀδίκων εἰς ἕτερα μεταμορφουμένων σώματα συνείληφε. διὸ τῇ μὲν κεφαλῇ τοῦ ἱερείου καταρασάμενοι καὶ ἀποκόψαντες, εἰς τὸν ποταμὸν ἐῤῥίπτουν πάλαι, νῦν δὲ τοῖς ξένοις ἀποδίδονται. τὸν δὲ μέλλοντα θύεσθαι βοῦν οἱ σφραγισταὶ λεγόμενοι τῶν ἱερέων κατεσημαίνοντο, τῆς σφραγῖδος (ὡς ἱστορεῖ Κάστωρ) γλυφὴν μὲν ἐχούσης ἄνθρωπον εἰς γόνυ καθεικότα ταῖς χερσὶν ὀπίσω περιηγμέναις, ἔχοντα κατὰ τῆς σφαγῆς ξίφος ἐγκείμενον· ἀπολαύειν δὲ καὶ τὸν ὄνον ὥσπερ εἴρηται τῆς ὁμοιότητος, διὰ

τὴν ἀμαθίαν καὶ τὴν ὕβριν οὐχ ἧττον ἢ διὰ τὴν χρόαν οἴονται. διὸ καὶ τῶν Περσικῶν βασιλέων ἐχθραίνοντες μάλιστα τὸν Ὦχον ὡς ἐναγῆ καὶ μιαρὸν, ὄνον ἐπωνόμασαν. κἀκεῖνος εἰπὼν, ὁ μέντοι ὄνος οὗτος ὑμῶν κατευωχήσεται τὸν βοῦν, ἔθυσε τὸν Ἆπιν, ὡς Δείνων ἱστόρηκεν. οἱ δὲ λέγοντες, ἐκ τῆς μάχης ἐπὶ ὄνου τῷ Τυφῶνι τὴν φυγὴν ἑπτὰ ἡμέρας γενέσθαι, καὶ σωθέντα γεννῆσαι παῖδας, Ἱεροσόλυμον καὶ Ἰουδαῖον, αὐτόθεν εἰσὶ κατάδηλοι τὰ Ἰουδαϊκὰ παρέλκοντες εἰς τὸν μῦθον.

XXXII. Ταῦτα μὲν οὖν τοιαύτας ὑπονοίας δίδωσιν· ἀπ᾽ ἄλλης δ᾽ ἀρχῆς τῶν φιλοσοφώτερόν τι λέγειν δοκούντων τοὺς ἁπλουστάτους σκεψώμεθα πρῶτον. οὗτοι δέ εἰσιν οἱ λέγοντες, ὥςπερ Ἕλληνες Κρόνον ἀλληγοροῦσι τὸν χρόνον, Ἥραν δὲ, τὸν ἀέρα, γένεσιν δὲ Ἡφαίστου, τὴν εἰς πῦρ ἀέρος μεταβολήν· οὕτω παρ᾽ Αἰγυπτίοις Νεῖλον εἶναι τὸν Ὄσιριν, Ἴσιδι συνόντα τῇ γῇ· Τυφῶνα δὲ τὴν θάλασσαν, εἰς ἣν ὁ Νεῖλος ἐμπίπτων ἀφανίζεται καὶ διασπᾶται, πλὴν ὅσον ἡ γῆ μέρος ἀναλαμβάνουσα καὶ δεχομένη, γίνεται γόνιμος ὑπ᾽ αὐτοῦ. καὶ θρῆνός ἐστιν ἱερὸς ἐπὶ τοῦ Κρόνου γενόμενος, θρηνεῖ δὲ τὸν ἐν τοῖς ἀριστεροῖς γενόμενον μέρεσιν, ἐν δὲ τοῖς δεξιοῖς φθειρόμενον. Αἰγύπτιοι γὰρ οἴονται τὰ μὲν ἑῷα, τοῦ κόσμου πρόσωπον εἶναι, τὰ δὲ πρὸς βοῤῥᾶν δεξιὰ, τὰ δὲ πρὸς νότον ἀριστερά· φερόμενος οὖν ἐκ τῶν νοτίων ὁ Νεῖλος, ἐν δὲ τοῖς βορείοις ὑπὸ τῆς θαλάσσης καταναλισκόμενος, εἰκότως λέγεται τὴν μὲν γένεσιν ἐν τοῖς ἀριστεροῖς ἔχειν, τὴν δὲ φθο-

ῥὰν ἐν τοῖς δεξιοῖς. διὸ τήν τε θάλασσαν οἱ ἱερεῖς ἀφοσιοῦνται, καὶ τὸν ἅλα, Τυφῶνος ἀφρὸν καλοῦσι· καὶ τῶν ἀπαγορευομένων ἕν ἐστιν αὐτοῖς ἐπὶ τραπέζης ἅλα μὴ προτίθεσθαι. καὶ κυβερνήτας οὐ προςαγορεύουσιν, ὅτι χρῶνται θαλάττῃ, καὶ τὸν βίον ἀπὸ τῆς θαλάττης ἔχουσιν. οὐχ ἥκιστα δὲ καὶ τὸν ἰχθὺν ἀπὸ ταύτης προβάλλονται τῆς αἰτίας, καὶ τὸ μισεῖν ἰχθύϊ γράφουσιν. ἐν Σάϊ γοῦν ἐν τῷ προπύλῳ τοῦ ἱεροῦ τῆς Ἀθηνᾶς ἦν γεγλυμμένον βρέφος, γέρων, καὶ μετὰ τοῦτο ἱέραξ, ἐφεξῆς δ' ἰχθύς, ἐπὶ πᾶσι δὲ ἵππος ποτάμιος. ἐδήλου δὲ συμβολικῶς, ὦ γινόμενοι καὶ ἀπογινόμενοι, διογέρων. ἱέρακι δὲ τὸν θεὸν φράζουσιν, ἰχθύϊ δὲ μῖσος, ὥςπερ εἴρηται, διὰ τὴν θάλατταν· ἵππῳ ποταμίῳ δ' ἀναίδειαν. λέγεται γὰρ ἀποκτείνας τὸν πατέρα, τῇ μητρὶ βίᾳ μίγνυσθαι. δόξει δὲ καὶ τὸ ὑπὸ τῶν Πυθαγορικῶν λεγόμενον, ὡς ἡ θάλαττα, Κρόνου δάκρυόν ἐστιν, αἰνίττεσθαι τὸ μὴ καθαρὸν, μηδὲ σύμφυλον αὐτῆς. ταῦτα μὲν οὖν ἔξωθεν εἰρήσθω κοινὴν ἔχοντα τὴν ἱστορίαν.

XXXIII. *Οἱ δὲ σοφώτεροι τῶν ἱερέων, οὐ μόνον τὸν Νεῖλον Ὄσιριν καλοῦσιν, οὐδὲ Τυφῶνα τὴν θάλασσαν, ἀλλὰ Ὄσιριν μὲν ἁπλῶς ἅπασαν τὴν ὑγροποιὸν ἀρχὴν καὶ δύναμιν, αἰτίαν γενέσεως καὶ σπέρματος οὐσίαν νομίζοντες· Τυφῶνα δὲ πᾶν τὸ αὐχμηρὸν καὶ πυρῶδες καὶ ξηραντικὸν ὅλως καὶ πολέμιον τῇ ὑγρότητι. διὸ καὶ πυῤῥόχρων γεγονέναι τῷ σώματι καὶ πάρωχρον νομίζοντες, οὐ πάνυ προθύμως ἐντυγχάνουσιν, οὐδὲ ἡδέως ὁμιλοῦσι τοῖς*

τοιούτοις τὴν ὄψιν ἀνθρώποις. τὸν δὲ Ὄσιριν αὖ πάλιν μελάγχρουν γεγονέναι μυθολογοῦσιν, ὅτι πᾶν ὕδωρ καὶ γῆν καὶ ἱμάτια καὶ νέφη μελαίνει μιγνύμενον, καὶ τῶν νέων ὑγρότης ἐνοῦσα παρέχει τὰς τρίχας μελαίνας. ἡ δὲ πολίωσις οἷον ὠχρίασις ὑπὸ ξηρότητος ἐπιγίνεται τοῖς παρακμάζουσι. καὶ τὸ μὲν ἔαρ, θαλερὸν καὶ γόνιμον καὶ προσηνές· τὸ δὲ φθινόπωρον, ὑγρότητος ἐνδείᾳ, καὶ φυτοῖς πολέμιον καὶ ζώοις νοσῶδες. ὁ δὲ ἐν Ἡλιουπόλει τρεφόμενος βοῦς, ὃν Μνεῦιν καλοῦσιν, (Ὀσίριδος δὲ ἱερὸν, ἔνιοι δὲ καὶ τοῦ Ἄπιδος πατέρα νομίζουσι) μέλας ἐστὶ καὶ δευτέρας ἔχει τιμὰς μετὰ τὸν Ἄπιν. ἔτι τὴν Αἴγυπτον ἐν τοῖς μάλιστα μελάγγειον οὖσαν, ὥςπερ τὸ μέλαν τοῦ ὀφθαλμοῦ, Χημίαν καλοῦσι· καὶ καρδίᾳ παρεικάζουσι. θερμὴ γάρ ἐστι καὶ ὑγρὰ καὶ τοῖς νοτίοις μέρεσι τῆς οἰκουμένης, ὥςπερ ἡ καρδία τοῖς εὐωνύμοις τοῦ ἀνθρώπου, μάλιστα ἐγκέκλεισται καὶ προςκεχώρηκεν.

XXXIV. Ἥλιον δὲ καὶ σελήνην οὐχ ἅρμασιν, ἀλλὰ πλοίοις ὀχήμασι χρωμένους περιπλεῖν ἀεὶ, αἰνιττόμενοι τὴν ἀφ᾽ ὑγροῦ τροφὴν αὐτῶν καὶ γένεσιν. οἴονται δὲ καὶ Ὅμηρον, ὥςπερ Θαλῆν μαθόντα παρ᾽ Αἰγυπτίων, ὕδωρ ἀρχὴν ἁπάντων καὶ γένεσιν τίθεσθαι. τὸν γὰρ Ὠκεανὸν Ὄσιριν εἶναι, τὴν δὲ Τηθὺν Ἶσιν, ὡς τιθηνουμένην πάντα καὶ συνεκτρέφουσαν. καὶ γὰρ Ἕλληνες τὴν τοῦ σπέρματος πρόεσιν, ἀπουσίαν καλοῦσι, καὶ συνουσίαν τὴν μίξιν· καὶ τὸν υἱὸν ἀπὸ τοῦ ὕδατος καὶ τοῦ ὗσαι· καὶ τὸν Διόνυσον ὕην, ὡς κύριον τῆς ὑγρᾶς φύσεως,

οὐχ ἕτερον ὄντα τοῦ Ὀσίριδος. καὶ γὰρ τὸν Ὄσιριν Ἑλλάνικος Ὕσιριν ἔοικεν ἀκηκοέναι ὑπὸ τῶν ἱερέων λεγόμενον. οὕτω γὰρ ὀνομάζων διατελεῖ τὸν θεὸν, εἰκότως ἀπὸ τῆς φύσεως καὶ τῆς εὑρέσεως.

XXXV. Ὅτι μὲν οὖν ὁ αὐτός ἐστι Διονύσῳ, τίνα μᾶλλον, ἢ σε, γινώσκειν, ὦ Κλέα, δὴ προσῆκόν ἐστιν, ἀρχηγὸν μὲν οὖσαν ἐν Δελφοῖς τῶν Θυιάδων, τοῖς δὲ Ὀσιριακοῖς καθωσιωμένην ἱεροῖς ἀπὸ πατρὸς καὶ μητρός; εἰ δὲ τῶν ἄλλων ἕνεκα δεῖ μαρτύρια παραθέσθαι, τὰ μὲν ἀπόῤῥητα κατὰ χώραν ἐῶμεν, ἃ δ' ἐμφανῶς δρῶσι θάπτοντες τὸν Ἆπιν οἱ ἱερεῖς, ὅταν παρακομίζωσιν ἐπὶ σχεδίας τὸ σῶμα, βακχείας οὐδὲν ἀποδεῖ. καὶ γὰρ νεβρίδας περικαθάπτονται, καὶ θύρσους φοροῦσι, καὶ βοαῖς χρῶνται καὶ κινήσεσιν, ὥςπερ οἱ κάτοχοι τοῖς περὶ τὸν Διόνυσον ὀργιασμοῖς. διὸ καὶ ταυρόμορφα Διονύσου ποιοῦσιν ἀγάλματα πολλοὶ τῶν Ἑλλήνων· αἱ δ' Ἠλείων γυναῖκες καὶ παρακαλοῦσιν εὐχόμεναι, ποδὶ βοείῳ τὸν θεὸν ἐλθεῖν πρὸς αὐτάς. Ἀργείοις δὲ βουγενὴς Διόνυσος ἐπίκλην ἐστίν· ἀνακαλοῦνται δ' αὐτὸν ὑπὸ σαλπίγγων ἐξ ὕδατος, ἐμβάλλοντες εἰς τὴν ἄβυσσον ἄρνα τῷ πυλαόχῳ. τὰς δὲ σάλπιγγας ἐν θύρσοις ἀποκρύπτουσιν, ὡς Σωκράτης ἐν τοῖς περὶ Ὁσίων εἴρηκεν. ὁμολογεῖ δὲ καὶ τὰ τιτανικὰ, καὶ νὺξ τελεία τοῖς λεγομένοις Ὀσίριδος διασπασμοῖς, καὶ ταῖς ἀναβιώσεσι καὶ παλιγγενεσίαις· ὁμοίως δὲ καὶ τὰ περὶ τὰς ταφάς. Αἰγύπτιοί τε γὰρ Ὀσίριδος πολλαχοῦ θήκας, ὥσπερ εἴρηται, δεικνύουσι, καὶ Δελφοὶ τὰ τοῦ Διονύσου λείψανα παρ'

αὐτοῖς παρὰ τὸ χρηστήριον ἀποκεῖσθαι νομίζουσι· καὶ θύουσιν οἱ Ὅσιοι θυσίαν ἀπόῤῥητον ἐν τῷ ἱερῷ τοῦ Ἀπόλλωνος, ὅταν αἱ Θυιάδες ἐγείρωσι τὸν Λικνίτην. ὅτι δ' οὐ μόνον τοῦ οἴνου Διόνυσον, ἀλλὰ καὶ πάσης ὑγρᾶς φύσεως Ἕλληνες ἡγοῦνται κύριον καὶ ἀρχηγὸν, ἀρκεῖ Πίνδαρος μάρτυς εἶναι, λέγων· Δενδρέων δὲ νόμον Διόνυσος πολυγαθὴς αὐξάνοι, ἁγνὸν φέγγος ὀπώρας. διὸ καὶ τοῖς τὸν Ὄσιριν σεβομένοις ἀπαγορεύεται δένδρον ἥμερον ἀπολλύναι, καὶ πηγὴν ὕδατος ἐμφράττειν.

XXXVI. Οὐ μόνον δὲ τὸν Νεῖλον, ἀλλὰ πᾶν ὑγρὸν ἁπλῶς Ὀσίριδος ἀποῤῥοὴν καλοῦσι· καὶ τῶν ἱερῶν ἀεὶ προπομπεύει τὸ ὑδρεῖον ἐπὶ τιμῇ τοῦ θεοῦ. καὶ θρίῳ βασιλέα καὶ τὸ νότιον κλίμα τοῦ κόσμου γράφουσι, καὶ μεθερμηνεύεται τὸ θρίον ποτισμὸς καὶ κύησις πάντων, καὶ δοκεῖ γεννητικῷ μορίῳ τὴν φύσιν ἐοικέναι. τὴν δὲ τῶν Παμυλίων ἑορτὴν ἄγοντες, (ὥσπερ εἴρηται) φαλλικὴν οὖσαν, ἄγαλμα προτίθενται καὶ περιφέρουσιν, οὗ τὸ αἰδοῖον τριπλάσιόν ἐστιν. ἀρχὴ γὰρ ὁ θεὸς, ἀρχὴ δὲ πᾶσα τῷ γονίμῳ πολλαπλασιάζει τὸ ἐξ αὑτῆς. τὸ δὲ πολλάκις εἰώθαμεν καὶ τρὶς λέγειν, ὡς τὸ τρισμάκαρες, καὶ

Δεσμοὶ μὲν τρεῖς τόσσοι ἀπείρονες.

εἰ μὴ νὴ Δία κυρίως ἐμφαίνεται τὸ τριπλάσιον ὑπὸ τῶν παλαιῶν· ἡ γὰρ ὑγρὰ φύσις, ἀρχὴ καὶ γένεσις οὖσα πάντων ἐξ ἀρχῆς, τὰ πρῶτα τρία σώματα, γῆν, ἀέρα, καὶ πῦρ ἐποίησε. καὶ γὰρ ὁ προστιθέμενος τῷ μύθῳ λόγος, ὡς τοῦ Ὀσίριδος ὁ Τυφὼν τὸ αἰδοῖον ἔῤῥιψεν εἰς τὸν ποταμὸν, ἡ δ' Ἶσις οὐχ εὗρεν,

ἀλλ' ἐμφερὲς ἄγαλμα θεμένη καὶ κατασκευάσασα, τιμᾶν καὶ φαλληφορεῖν ἔταξεν, ἐνταῦθα παράγουσι, διδάσκων, ὅτι τὸ γόνιμον καὶ τὸ σπερματικὸν τοῦ θεοῦ πρῶτον ἔσχεν ὕλην τὴν ὑγρότητα, καὶ δι' ὑγρότητος ἐνεκράθη τοῖς πεφυκόσι μετέχειν γενέσεως. ἄλλος δὲ λόγος ἐστὶν Αἰγυπτίων, ὡς Ἀπῶπις Ἡλίου ὢν ἀδελφὸς ἐπολέμει τῷ Διΐ, τὸν δ' Ὄσιριν ὁ Ζεὺς συμμαχήσαντα καὶ συγκαταστρεψάμενον αὐτῷ τὸν πολέμιον, παῖδα θέμενος, Διόνυσον προσηγόρευσεν. καὶ τούτου δὲ τοῦ λόγου τὸ μυθῶδές ἐστιν ἀποδεῖξαι τῆς περὶ φύσιν ἀληθείας ἁπτόμενον. Δία μὲν γὰρ Αἰγύπτιοι τὸ πνεῦμα καλοῦσιν, ᾧ πολέμιον τὸ αὐχμηρὸν καὶ πυρῶδες· τοῦτο δὲ ἥλιος μὲν οὐκ ἔστι, πρὸς δὲ ἥλιον ἔχει τινὰ συγγένειαν. ἡ δὲ ὑγρότης σβεννύουσα τὴν ὑπερβολὴν τῆς ξηρότητος αὔξει καὶ ῥώννυσι τὰς ἀναθυμιάσεις, ὑφ' ὧν τὸ πνεῦμα τρέφεται καὶ τέθηλεν.

XXXVII. Ἔτι τε τὸν κιττὸν Ἕλληνές τε καθιεροῦσι τῷ Διονύσῳ, καὶ παρ' Αἰγυπτίοις λέγεται χενόσιρις ὀνομάζεσθαι, σημαίνοντος τοῦ ὀνόματος (ὥς φασι) φυτὸν Ὀσίριδος. Ἀρίστων τοίνυν ὁ γεγραφὼς Ἀθηναίων ἀποικίαν ἐπιστολῇ τινι Ἀλεξάρχου περιέπεσεν, ἐν ᾗ Διὸς ἱστορεῖται καὶ Ἴσιδος υἱὸς ὢν ὁ Διόνυσος ὑπὸ Αἰγυπτίων, οὐκ Ὄσιρις, ἀλλ' Ἀρσαφὴς (ἐν τῷ ἄλφα γράμματι) λέγεσθαι, δηλοῦντος τὸ ἀνδρεῖον τοῦ ὀνόματος. ἐμφαίνει δὲ τοῦτο καὶ ὁ Ἑρμαῖος, ἐν τῇ πρώτῃ περὶ τῶν Αἰγυπτίων. ὄμβριμον γάρ φησι μεθερμηνευόμενον εἶναι τὸν Ὄσιριν. ἐῶ δὲ Μνασέαν τῷ Ἐπάφῳ προστιθέντα τὸν Διόνυ-

σαι, καὶ τὸν Ὄσιριν, καὶ τὸν Σάραπιν· τῷ καὶ Ἀντικλείδην λέγοντα τὴν Ἶσιν Προμηθέως οὖσαν θυγατέρα, Διονύσῳ συνοικεῖν. αἱ γὰρ εἰρημέναι περὶ τὰς ἑορτὰς καὶ τὰς θυσίας οἰκειότητες ἐναργεστέραν τῶν μαρτύρων τὴν πίστιν ἔχουσι.

XXXVIII. Τῶν τε ἄστρων τὸν σείριον, Ἴσιδος νομίζουσιν, ὑδραγωγὸν ὄντα. καὶ τὸν λέοντα τιμῶσι, καὶ χάσμασι λεοντείοις τὰ τῶν ἱερῶν θυρώματα κοσμοῦσιν, ὅτι πλημμυρεῖ Νεῖλος

*Ἠελίου τὰ πρῶτα συνερχομένοιο λέοντι.*

ὡς δὲ Νεῖλον Ὀσίριδος ἀποῤῥοὴν, οὕτως Ἴσιδος σῶμα γῆν ἔχουσι καὶ νομίζουσιν, οὐ πᾶσαν, ἀλλ' ἧς ὁ Νεῖλος ἐπιβαίνει σπερμαίνων καὶ μιγνύμενος. ἐκ δὲ τῆς συνουσίας ταύτης γεννῶσι τὸν Ὧρον. ἔστι δὲ Ὧρος ἡ πάντα σώζουσα καὶ τρέφουσα τοῦ περιέχοντος ὥρα, καὶ κρᾶσις ἀέρος. ὃν ἐν τοῖς ἕλεσι τοῖς περὶ Βοῦτον ὑπὸ Λητοῦς τραφῆναι λέγουσιν. ἡ γὰρ ὑδατώδης καὶ διάβροχος γῆ μάλιστα τὰς σβεννυούσας καὶ χαλώσας τὴν ξηρότητα καὶ τὸν αὐχμὸν ἀναθυμιάσεις τιθηνεῖται. Νέφθυν δὲ καλοῦσι τῆς γῆς τὰ ἔσχατα καὶ παρόρια καὶ ψαύοντα τῆς θαλάττης. διὸ καὶ τελευταίην ἐπονομάζουσι τὴν Νέφθυν. καὶ Τυφῶνι δὲ συνοικεῖν λέγουσιν. ὅταν δὲ ὑπερβαλὼν καὶ πλεονάσας ὁ Νεῖλος, ἐπέκεινα πλησιάσῃ τοῖς ἐσχατεύουσι, τοῦτο μῖξιν Ὀσίριδος πρὸς Νέφθυν καλοῦσιν, ὑπὸ τῶν ἀναβλαστανόντων φυτῶν ἐλεγχομένην· ὧν καὶ τὸ μελίλωτόν ἐστιν, οὗ φησι μῦθος ἀποῤῥυέντος, καὶ ἀπολειφθέντος αἴσθησιν γενέσθαι Τυφῶνι τῆς περὶ τὸν γάμον ἀδικίας. ὅθεν ἡ μὲν Ἶσις

ἔτεκε γνησίως τὸν Ὧρον, ἡ δὲ Νέφθυς, σκότιον τὸν Ἄνουβιν. ἐν μέντοι ταῖς διαδοχαῖς τῶν βασιλέων ἀναγράφουσι τὴν Νέφθυν Τυφῶνι γημαμένην, πρώτην γενέσθαι στεῖραν. εἰ δὲ τοῦτο μὴ περὶ γυναικὸς, ἀλλὰ περὶ τῆς θεοῦ λέγουσιν, αἰνίττονται τὸ παντελὲς τῆς γῆς ἄγονον καὶ ἄκαρπον ὑπὸ στεῤῥότητος.

XXXIX. Ἡ δὲ Τυφῶνος ἐπιβουλὴ καὶ τυραννὶς, αὐχμοῦ δύναμις ἦν ἐπικρατήσαντος, καὶ διαφορήσαντος τήν τε γεννῶσαν ὑγρότητα τὸν Νεῖλον καὶ αὔξουσαν. ἡ δὲ συνεργὸς αὐτοῦ βασιλὶς Αἰθιόπων αἰνίττεται πνοὰς νοτίους ἐξ Αἰθιοπίας· ὅταν γὰρ αὗται τῶν ἐτησίων ἐπικρατήσωσι τὰ νέφη πρὸς τὴν Αἰθιοπίαν ἐλαυνόντων, καὶ κωλύσωσι τοὺς τὸν Νεῖλον αὔξοντας ὄμβρους καταῤῥαγῆναι, κατέχων ὁ Τυφὼν ἐπιφλέγει, καὶ τότε κρατήσας παντάπασι τὸν Νεῖλον εἰς ἐναντίον ὑπὸ ἀσθενείας συσταλέντα καὶ ῥυέντα, κοῖλον καὶ ταπεινὸν ἐξέωσεν εἰς τὴν θάλασσαν. ἡ γὰρ λεγομένη κάθειρξις εἰς τὴν σορὸν Ὀσίριδος, οὐδὲν ἔοικεν ἀλλ' ἢ κρύψιν ὕδατος καὶ ἀφανισμὸν αἰνίττεσθαι. διὸ μηνὸς Ἀθὺρ ἀφανισθῆναι τὸν Ὄσιριν λέγουσιν, ὅτε τῶν ἐτησίων ἀπολειπόντων παντάπασιν ὁ μὲν Νεῖλος ὑπονοστεῖ, γυμνοῦται δὲ ἡ χώρα· μηκυνομένης δὲ τῆς νυκτὸς, αὔξεται τὸ σκότος· ἡ δὲ τοῦ φωτὸς μαραίνεται καὶ κρατεῖται δύναμις, οἱ ἱερεῖς ἄλλα τε δρῶσι σκυθρωπὰ, καὶ βοῦν διάχρυσον ἱματίῳ μέλανι βυσσίνῳ περιβάλλοντες, ἐπὶ πένθει τῆς θεοῦ δεικνύουσι (βοῦν γὰρ Ὀσίριδος εἰκόνα καὶ γῆν νομίζουσιν) ἐπὶ τέσσαρας ἡμέ-

ρας ἀπὸ τῆς ἑβδόμης ἐπὶ δέκα ἑξῆς. καὶ γὰρ τὰ πενθούμενα τέσσαρα· πρῶτον μὲν ὁ Νεῖλος ἀπολείπων καὶ ὑπονοστῶν, δεύτερον δὲ τὰ βόρεια πνεύματα κατασβεννύμενα κομιδῇ τῶν νοτίων ἐπικρατούντων, τρίτον δὲ τὸ τὴν ἡμέραν ἐλάττονα γίνεσθαι τῆς νυκτὸς, ἐπὶ πᾶσιν ἡ τῆς γῆς ἀπογύμνωσις ἅμα τῇ τῶν φυτῶν ψιλότητι τηνικαῦτα φυλλοῤῥοούντων, τῇ δ᾽ ἐννάτῃ ἐπὶ δέκα νυκτὸς, ἐπὶ θάλασσαν κάτεισι. καὶ τὴν ἱερὰν κίστην οἱ στολισταὶ καὶ οἱ ἱερεῖς ἐκφέρουσι χρυσοῦν ἐντὸς ἔχουσαν κιβώτιον, εἰς ὃ ποτίμου λαβόντες ὕδατος ἐγχέουσι, καὶ γίνεται κραυγὴ τῶν παρόντων, ὡς εὑρημένου τοῦ Ὀσίριδος. εἶτα γῆν κάρπιμον φυρῶσι τῷ ὕδατι, καὶ συμμίξαντες ἀρώματα καὶ θυμιάματα τῶν πολυτελῶν, ἀναπλάττουσι μηνοειδὲς ἀγαλμάτιον· καὶ τοῦτο στολίζουσι καὶ κοσμοῦσιν, ἐμφαίνοντες, ὅτι γῆς οὐσίαν καὶ ὕδατος τοὺς θεοὺς τούτους νομίζουσι.

XL. Τῆς δ᾽ Ἴσιδος πάλιν ἀναλαμβανούσης τὸν Ὄσιριν, καὶ αὐξανούσης τὸν Ὧρον, ἀναθυμιάσεσι καὶ ὁμίχλαις καὶ νέφεσι ῥωννύμενον, ἐκρατήθη μὲν, οὐκ ἀνῃρέθη δὲ ὁ Τυφών. οὐ γὰρ εἴασεν ἡ κυρία τῆς γῆς θεὸς ἀναιρεθῆναι παντάπασι τὴν ἀντικειμένην τῇ ὑγρότητι φύσιν, ἀλλ᾽ ἐχάλασε καὶ ἀνῆκε, βουλομένη διαμένειν τὴν κρᾶσιν. οὐ γὰρ ἦν κόσμον εἶναι τέλειον, ἐκλείποντος καὶ ἀφανισθέντος τοῦ πυρώδους. εἰ δὲ ταῦτα μὴ λέγεται παρ᾽ αὐτοῖς ἀπεικότως, οὐδὲ ἐκεῖνον ἄν τις ἀποῤῥίψειε τὸν λόγον, ὡς Τυφὼν μὲν ἐκράτει πάλαι τῆς Ὀσίριδος μοίρας· θάλασσα γὰρ ἦν ἡ Αἴγυπτος. διὸ πολλὰ μὲν ἐν τοῖς

μετάλλοις καὶ τοῖς ὄρεσιν εὑρίσκεται μέχρι νῦν κογχύλια ἔχειν· πᾶσαι δὲ πηγαὶ καὶ φρέατα πάντα, πολλῶν ὑπαρχόντων, ἁλμυρὸν ὕδωρ καὶ πικρὸν ἔχουσιν, ὡς ἂν ὑπόλειμμα τῆς πάλαι θαλάσσης ἕωλον ἐνταυθοῖ συνεῤῥυηκός. ὁ δὲ Ὧρος χρόνῳ τοῦ Τυφῶνος ἐπεκράτησε· τουτέστιν, εὐκαιρίας ὄμβρων γινομένης, ὁ Νεῖλος ἐξεώσας τὴν θάλασσαν, ἀνέφηνε τὸ πεδίον καὶ ἀνεπλήρωσε ταῖς προσχώσεσιν. ὃ δὴ μαρτυροῦσαν ἔχει τὴν αἴσθησιν· ὁρῶμεν γὰρ ἔτι νῦν ἐπιφέροντι τῷ ποταμῷ νέαν ἰλὺν καὶ προσάγοντι τὴν γῆν, κατὰ μικρὸν ὑποχωροῦν ὀπίσω τὸ πέλαγος, καὶ τὴν θάλασσαν, ὕψος τῶν ἐν βάθει λαμβανόντων διὰ τὰς προσχώσεις, ἀποῤῥέουσαν· τὴν δὲ Φάρον, ἣν Ὅμηρος ᾔδει δρόμον ἡμέρας ἀπέχουσαν Αἰγύπτου, νῦν μέρος οὖσαν αὐτῆς, οὐκ αὐτὴν ἀναδραμοῦσαν, οὐδὲ προσαναβᾶσαν, ἀλλὰ τῆς μεταξὺ θαλάττης ἀναπλάττοντι τῷ ποταμῷ καὶ τρέφοντι τὴν ἤπειρον ἀνασταλείσης. ἀλλὰ ταῦτα μὲν ὅμοια τοῖς ὑπὸ τῶν Στωϊκῶν θεολογουμένοις ἐστί. καὶ γὰρ ἐκεῖνοι τὸ μὲν γόνιμον πνεῦμα καὶ τρόφιμον, Διόνυσον εἶναι λέγουσι· τὸ πληκτικὸν δὲ καὶ διαιρετικὸν, Ἡρακλέα· τὸ δὲ δεκτικὸν, Ἄμμωνα· Δήμητραν δὲ καὶ Κόρην, τὸ διὰ τῆς γῆς καὶ τῶν καρπῶν διῆκον· Ποσειδῶνα δὲ, τὸ διὰ τῆς θαλάττης.

XLI. Οἱ δὲ τοῖσδε τοῖς φυσικοῖς καὶ τῶν ἀπ' ἀστρολογίας μαθηματικῶν ἔνια μιγνύντες, Τυφῶνα μὲν οἴονται τὸν ἡλιακὸν κόσμον, Ὄσιριν δὲ τὸν σεληνιακὸν λέγεσθαι. τὴν μὲν γὰρ σελήνην γόνιμον τὸ φῶς καὶ ὑγροποιὸν ἔχουσαν, εὐμενῆ καὶ γοναῖς

ζώων καὶ φυτῶν εἶναι βλαστήσεσι· τὸν δὲ ἥλιον ἀκράτῳ πυρὶ κεκληρωκότα θάλπειν τε καὶ καταυαίνειν τὰ φυόμενα καὶ τεθηλότα, καὶ τὸ πολὺ μέρος τῆς γῆς παντάπασιν ὑπὸ φλογμοῦ ποιεῖν ἀοίκητον, καὶ κατακρατεῖν πολλαχοῦ καὶ τῆς σελήνης. διὸ τὸν Τυφῶνα Σὴθ ἀεὶ Αἰγύπτιοι καλοῦσιν, ὅπερ ἐστὶ καταδυναστευτικὸν, ἢ καταβιαζόμενον. καὶ τῷ μὲν ἡλίῳ τὸν Ἡρακλέα μυθολογοῦσιν ἐνιδρυμένον συμπεριπολεῖν, τῇ δὲ σελήνῃ τὸν Ἑρμῆν. λόγου γὰρ ἔργοις ἔοικε καὶ σοφίας τὰ τῆς σελήνης, τὰ δὲ ἡλίου πληγαῖς ὑπὸ βίας καὶ ῥώμης περαινόμενα. οἱ δὲ Στωϊκοὶ τὸν μὲν ἥλιον ἐκ θαλάττης ἀνάπτεσθαι καὶ τρέφεσθαί φασι, τῇ δὲ σελήνῃ τὰ κρηναῖα καὶ λιμναῖα νάματα γλυκεῖαν ἀναπέμπειν καὶ μαλακὴν ἀναθυμίασιν.

XLII. Ἑβδόμῃ ἐπὶ δέκα τὴν Ὀσίριδος γενέσθαι τελευτὴν Αἰγύπτιοι μυθολογοῦσιν, ἐν ᾗ μάλιστα γίνεται πληρουμένη κατάδηλος ἡ πανσέληνος. διὸ καὶ τὴν ἡμέραν ταύτην ἀντίφραξιν οἱ Πυθαγόρειοι καλοῦσι, καὶ ὅλως τὸν ἀριθμὸν τοῦτον ἀφοσιοῦνται. τοῦ γὰρ ἑξκαίδεκα τετραγώνου, καὶ τοῦ ὀκτωκαίδεκα ἑτερομήκους, οἷς μόνοις ἀριθμῶν ἐπιπέδων συμβέβηκε τὰς περιμέτρους ἴσας ἔχειν τοῖς περιεχομένοις ὑπ' αὐτῶν χωρίοις, μέσος ὁ τῶν ἑπτακαίδεκα παρεμπίπτων, ἀντιφράττει καὶ διαζεύγνυσιν ἀπ' ἀλλήλων, καὶ διαιρεῖ τὸν ἐπόγδοον λόγον εἰς ἄνισα διαστήματα τεμνόμενος. ἐτῶν δ' ἀριθμὸν οἱ μὲν βιῶσαι τὸν Ὄσιριν, οἱ δὲ βασιλεῦσαι λέγουσιν ὀκτὼ καὶ εἴκοσιν· τοσαῦτα γάρ ἐστι φῶτα τῆς σελήνης, καὶ τοσαύταις

ἡμέραις τὸν αὑτῆς κύκλον ἐκλείπει. τὸ δὲ ξύλον ἐν ταῖς λεγομέναις Ὀσίριδος ταφαῖς τέμνοντες, κατασκευάζουσι λάρνακα μηνοειδῆ, διὰ τὸ τὴν σελήνην, ὅταν τῷ ἡλίῳ πλησιάζῃ, μηνοειδῆ γινομένην ἀποκρύπτεσθαι. τὸν δ' εἰς δεκατέσσαρα μέρη τοῦ Ὀσίριδος διασπασμὸν αἰνίττονται πρὸς τὰς ἡμέρας, ἐν αἷς φθίνει μετὰ πανσέληνον ἄχρι νουμηνίας τὸ ἄστρον. ἡμέραν δὲ, ἐν ᾗ φαίνεται πρῶτον ἐκφυγοῦσα τὰς αὐγὰς καὶ παρελθοῦσα τὸν ἥλιον, ἀτελὲς ἀγαθὸν προσαγορεύουσιν. ὁ γὰρ Ὄσιρις ἀγαθοποιὸς, καὶ τοὔνομα πολλὰ φράζει, οὐχ ἥκιστα δὲ κράτος ἐνεργοῦν καὶ ἀγαθοποιὸν, ὃ λέγουσι. τὸ δ' ἕτερον ὄνομα τοῦ θεοῦ τὸν Ὄμφιν εὐεργέτην ὁ Ἑρμαῖός φησιν δηλοῦν ἑρμηνευόμενον.

XLIII. Οἴονται δὲ πρὸς τὰ φῶτα τῆς σελήνης ἔχειν τινὰ λόγον τοῦ Νείλου τὰς ἀναβάσεις. ἡ μὲν γὰρ μεγίστη περὶ τὴν Ἐλεφαντίνην, ὀκτὼ γίνεται καὶ εἴκοσι πήχεων, ὅσα φῶτα καὶ μέτρα τῶν ἐμμήνων περιόδων ἑκάστης ἐστίν· ἡ δὲ περὶ Μένδητα καὶ Ξόϊν βραχυτάτη πήχεων ἓξ πρὸς τὴν διχότομον· ἡ δὲ μέση περὶ Μέμφιν, ὅταν ᾖ δικαία, δεκατεσσάρων πηχῶν πρὸς τὴν πανσέληνον. τὸν δὲ Ἆπιν, εἰκόνα μὲν Ὀσίριδος ἔμψυχον εἶναι, γενέσθαι δὲ, ὅταν φῶς ἐρείσῃ γόνιμον ἀπὸ τῆς σελήνης, καὶ καθάψηται βοὸς ὀργώσης. διὸ καὶ τοῖς τῆς σελήνης σχήμασιν ἔοικε πολλὰ τοῦ Ἄπιδος, περιμελαινομένου τὰ λαμπρὰ τοῖς σκιεροῖς. ἔτι δὲ τῇ νουμηνίᾳ τοῦ Φαμενὼθ μηνὸς ἑορτὴν ἄγουσιν, ἔμβασιν Ὀσίριδος εἰς τὴν σελήνην ὀνομάζοντες, ἔαρος ἀρχὴν οὖσαν.

οὕτω τὴν Ὀσίριδος δύναμιν ἐν τῇ σελήνῃ τιθέντες, καὶ τὴν Ἶσιν αὐτῷ γένεσιν οὖσαν συνεῖναι λέγουσι. διὸ καὶ μητέρα τὴν σελήνην τοῦ κόσμου καλοῦσι, καὶ φύσιν ἔχειν ἀρσενόθηλυν οἴονται, πληρουμένην ὑπὸ Ἡλίου καὶ κυϊσκομένην, αὐτὴν δὲ πάλιν εἰς τὸν ἀέρα προϊεμένην γεννητικὰς ἀρχὰς καὶ κατασπείρουσαν. οὐ γὰρ ἀεὶ τὴν φθορὰν ἐπικρατεῖν τὴν Τυφώνειον. πολλάκις δὲ κρατουμένην ὑπὸ τῆς γενέσεως καὶ συνδεομένην, αὖθις ἀναδύεσθαι καὶ διαμάχεσθαι πρὸς τὸν Ὧρον. ἔστι δ' οὗτος ὁ περίγειος κόσμος, οὔτε φθορᾶς ἀπαλλαττόμενος παντάπασιν, οὔτε γενέσεως.

XLIV. Ἔνιοι δὲ καὶ τῶν ἐκλειπτικῶν αἴνιγμα ποιοῦνται τὸν μῦθον. ἐκλείπει μὲν γὰρ ἡ σελήνη πανσέληνος, ἐναντίαν τοῦ ἡλίου στάσιν ἔχοντος πρὸς αὐτὴν, εἰς τὴν σκιὰν ἐμπίπτουσα τῆς γῆς, ὥσπερ φασὶ τὸν Ὄσιριν εἰς τὴν σορόν. αὐτὴ δὲ πάλιν ἀποκρύπτει καὶ ἀφανίζει ταῖς τριακάσιν, οὐ μὴν ἀναιρεῖται παντάπασι τὸν ἥλιον, ὥσπερ οὐδὲ τὸν Τυφῶνα ἡ Ἶσις. γεννώσης τῆς Νέφθυος τὸν Ἄνουβιν, Ἶσις ὑποβάλλεται. Νέφθυς γάρ ἐστι τὸ ὑπὸ γῆν καὶ ἀφανὲς, Ἶσις δὲ τὸ ὑπὲρ τὴν γῆν καὶ φανερόν. ὁ δὲ τούτων ὑποψαύων καὶ καλούμενος ὁρίζων κύκλος, ἐπίκοινος ὢν ἀμφοῖν, Ἄνουβις κέκληται· καὶ κυνὶ τὸ εἶδος ἀπεικάζεται· καὶ γὰρ ὁ κύων χρῆται τῇ ὄψει νυκτός τε καὶ ἡμέρας ὁμοίως. καὶ ταύτην ἔχειν δοκεῖ παρ' Αἰγυπτίοις τὴν δύναμιν ὁ Ἄνουβις, οἵαν ἡ Ἑκάτη παρ' Ἕλλησι, χθόνιος ὢν ὁμοῦ καὶ ὀλύμπιος. ἐνίοις δὲ δοκεῖ Κρόνος ὁ Ἄνουβις εἶναι·

διὸ πάντα τίκτων ἐξ ἑαυτοῦ καὶ κύων ἐν ἑαυτῷ, τὴν τοῦ κυνὸς ἐπίκλησιν ἔσχεν, ἔτι δ' οὖν τοῖς σεβομένοις τὸν Ἄνουβιν, ἀπόῤῥητόν τι, καὶ πάλαι μὲν τὰς μεγίστας ἐν Αἰγύπτῳ τιμὰς ὁ κύων ἔσχεν· ἐπεὶ δὲ Καμβύσου τὸν Ἆπιν ἀνελόντος καὶ ῥίψαντος, οὐδὲν προςῆλθεν οὐδὲ ἐγεύσατο τοῦ σώματος, ἀλλ' ἢ μόνος ὁ κύων, ἀπώλεσε τὸ πρῶτος εἶναι καὶ μάλιστα τιμᾶσθαι τῶν ἑτέρων ζώων. εἰσὶ δέ τινες οἳ τὸ σκίασμα τῆς γῆς, εἰς ὃ τὴν σελήνην ὀλισθαίνουσαν ἐκλείπειν νομίζουσι, Τυφῶνα καλοῦντες.

XLV. Ὅθεν οὐκ ἀπέοικεν εἰπεῖν, ὡς ἰδίᾳ μὲν οὐκ ὀρθῶς ἕκαστος, ὁμοῦ δὲ πάντες ὀρθῶς λέγουσιν. οὐ γὰρ αὐχμὸν, οὐδ' ἄνεμον, οὐδὲ θάλατταν, οὐδὲ σκότος, ἀλλὰ πᾶν ὅσον ἡ φύσις βλαβερὸν καὶ φθαρτικὸν ἔχει μόριον, τοῦ Τυφῶνός ἐστιν. οὔτε γὰρ ἐν ἀψύχοις σώμασι τὰς τοῦ παντὸς ἀρχὰς θετέον, ὡς Δημόκριτος καὶ Ἐπίκουρος, οὔτ' ἀποίου δημιουργὸν ὕλης, ἕνα λόγον καὶ μίαν πρόνοιαν, ὡς οἱ Στωϊκοὶ, περιγινομένην ἁπάντων καὶ κρατοῦσαν. ἀδύνατον γὰρ ἢ φλαῦρον ὁτιοῦν, ὅπου πάντων, ἢ χρηστὸν, ὅπου μηδενὸς ὁ θεὸς αἴτιος, ἐγγενέσθαι. παλίντονος γὰρ ἁρμονίη κόσμου ὥσπερ λύρης καὶ τόξου, καθ' Ἡράκλειτον· καὶ κατ' Εὐριπίδην,

Οὐκ ἂν γένοιτο χωρὶς ἐσθλὰ καὶ κακά,
Ἀλλ' ἔστι τις σύγκρασις, ὥστ' ἔχειν καλῶς.

διὸ καὶ παμπάλαιος αὕτη κάτεισιν ἐκ θεολόγων καὶ νομοθετῶν εἴς τε ποιητὰς καὶ φιλοσόφους δόξα, τὴν ἀρχὴν ἀδέσποτον ἔχουσα, τὴν δὲ πίστιν ἰσχυρὰν καὶ δυσεξάλειπτον, οὐκ ἐν λόγοις μόνον, οὐδὲ ἐν φήμαις

ἀλλὰ ἔν τε τελεταῖς, ἔν τε θυσίαις, καὶ βαρβάροις καὶ Ἕλλησι πολλαχοῦ περιφερομένην, ὡς οὔτ' ἄνουν καὶ ἄλογον καὶ ἀκυβέρνητον αἰωρεῖται τῷ αὐτομάτῳ τὸ πᾶν, οὔτε εἷς ἐστιν ὁ κρατῶν καὶ κατευθύνων, ὥσπερ οἴαξιν ἤ τισι πειθηνίοις χαλινοῖς, λόγος, ἀλλὰ πολλὰ καὶ μεμιγμένα κακοῖς καὶ ἀγαθοῖς· μᾶλλον δὲ μηδὲν, ὡς ἁπλῶς εἰπεῖν, ἄκρατον ἐνταῦθα τῆς φύσεως φερούσης, οὐ δυεῖν πίθων εἷς ταμίας, ὥσπερ νάματα τὰ πράγματα καπηλικῶς διανέμων ἀνακεράννυσιν ἡμῖν· ἀλλ' ἀπὸ δυεῖν ἐναντίων ἀρχῶν, καὶ δυεῖν ἀντιπάλων δυνάμεων τῆς μὲν ἐπὶ τὰ δεξιὰ, καὶ κατ' εὐθεῖαν ὑφηγουμένης, τῆς δ' ἔμπαλιν ἀναστρεφούσης καὶ ἀνακλώσης, ὅ τε βίος μικτὸς, ὅ τε κόσμος, εἰ καὶ μὴ πᾶς, ἀλλ' ὁ περίγειος οὗτος καὶ μετὰ σελήνην, ἀνώμαλος καὶ ποικίλος γέγονε. καὶ μεταβολὰς πάσας δεχόμενος. εἰ γὰρ οὐθὲν ἀναιτίως πέφυκε γενέσθαι, αἰτίαν δὲ κακοῦ τἀγαθὸν οὐκ ἂν παράσχοι, δεῖ γένεσιν ἰδίαν καὶ ἀρχὴν, ὥσπερ ἀγαθοῦ καὶ κακοῦ, τὴν φύσιν ἔχειν.

XLVI. Καὶ δοκεῖ τοῦτο τοῖς πλείστοις καὶ σοφωτάτοις. νομίζουσι γὰρ οἱ μὲν θεοὺς εἶναι δύο, καθάπερ ἀντιτέχνους· τὸν μὲν ἀγαθῶν, τὸν δὲ φαύλων δημιουργόν. οἱ δὲ τὸν μὲν ἀμείνονα, θεὸν, τὸν δὲ ἕτερον δαίμονα καλοῦσιν· ὥσπερ Ζωροάστρις ὁ μάγος, ὃν πεντακισχιλίοις ἔτεσι τῶν Τρωϊκῶν γεγονέναι πρεσβύτερον ἱστοροῦσιν. οὗτος οὖν ἐκάλει τὸν μὲν Ὡρομάζην, τὸν δ' Ἀρειμάνιον· καὶ προσαπεφαίνετο, τὸν μὲν ἐοικέναι φωτὶ μάλιστα τῶν αἰσθητῶν, τὸν δ' ἔμπαλιν σκότῳ καὶ ἀγνοίᾳ, μέσον δ' ἀμφοῖν

τὸν Μίθρην εἶναι. διὸ καὶ Μίθρην Πέρσαι τὸν Μεσίτην ὀνομάζουσιν· ἐδίδαξε τῷ μὲν εὐκταῖα θύειν καὶ χαριστήρια, τῷ δ' ἀποτρόπαια καὶ σκυθρωπά. πόαν γάρ τινα κόπτοντες Ὄμωμι καλουμένην ἐν ὅλμῳ, τὸν ᾅδην ἀνακαλοῦνται καὶ τὸν σκότον· εἶτα μίξαντες αἵματι λύκου σφαγέντος, εἰς τόπον ἀνήλιον ἐκφέρουσι καὶ ῥίπτουσι. καὶ γὰρ τῶν φυτῶν νομίζουσι τὰ μὲν, τοῦ ἀγαθοῦ θεοῦ, τὰ δὲ, τοῦ κακοῦ δαίμονος εἶναι· καὶ τῶν ζώων, ὥσπερ κύνας καὶ ὄρνιθας καὶ χερσαίους ἐχίνους, τοῦ ἀγαθοῦ· τοῦ δὲ φαύλου, τοὺς ἐνύδρους εἶναι. διὸ καὶ τὸν κτείναντα πλείστους εὐδαιμονίζουσιν.

XLVII. Οὐ μὴν κἀκεῖνοι πολλὰ μυθώδη περὶ τῶν θεῶν λέγουσιν· οἷα καὶ ταῦτά ἐστιν. ὁ μὲν Ὡρομάζης ἐκ τοῦ καθαρωτάτου φάους, ὁ δ' Ἀρειμάνιος ἐκ τοῦ ζόφου γεγονὼς, πολεμοῦσιν ἀλλήλοις. καὶ ὁ μὲν ἓξ θεοὺς ἐποίησε, (τὸν μὲν πρῶτον, εὐνοίας, τὸν δὲ δεύτερον, ἀληθείας, τὸν δὲ τρίτον, εὐνομίας· τῶν δὲ λοιπῶν, τὸν μὲν σοφίας, τὸν δὲ πλούτου, τὸν δὲ τῶν ἐπὶ τοῖς καλοῖς ἡδέων δημιουργόν) ὁ δὲ τούτοις ὥσπερ ἀντιτέχνους ἴσους τὸν ἀριθμόν. εἶθ' ὁ μὲν Ὡρομάζης τρὶς ἑαυτὸν αὐξήσας ἀπέστησε τοῦ ἡλίου τοσοῦτον, ὅσον ὁ ἥλιος τῆς γῆς ἀφέστηκε, καὶ τὸν οὐρανὸν ἄστροις ἐκόσμησεν· ἕνα δ' ἀστέρα πρὸ πάντων, οἷον φύλακα καὶ προόπτην ἐγκατέστησε, τὸν σείριον. ἄλλους δὲ ποιήσας τέσσαρας καὶ εἴκοσι θεοὺς, εἰς ᾠὸν ἔθηκεν. οἱ δὲ ὑπὸ τοῦ Ἀρειμανίου γενόμενοι, καὶ αὐτοὶ τοσοῦτοι, διατρήσαντες τὸ ᾠὸν γανωθὲν, ἀναμέμικται τὰ κακὰ τοῖς ἀγαθοῖς. ἐπεὶ-

σι δὲ χρόνος εἱμαρμένος, ἐν ᾧ τὸν Ἀρειμάνιον, λοιμὸν ἐπάγοντα καὶ λιμὸν, ὑπὸ τούτων ἀνάγκη φθαρῆναι παντάπασι καὶ ἀφανισθῆναι, τῆς δὲ γῆς ἐπιπέδου καὶ ὁμαλῆς γενομένης, ἕνα βίον καὶ μίαν πολιτείαν ἀνθρώπων μακαρίων καὶ ὁμογλώσσων ἁπάντων γενέσθαι. Θεόπομπος δέ φησι κατὰ τοὺς μάγους ἀνὰ μέρος τρισχίλια ἔτη τὸν μὲν κρατεῖν, τὸν δὲ κρατεῖσθαι τῶν θεῶν, ἄλλα δὲ τρισχίλια μάχεσθαι καὶ πολεμεῖν καὶ ἀναλύειν τὰ τοῦ ἑτέρου τὸν ἕτερον· τέλος δ' ἀπολείπεσθαι τὸν ᾅδην, καὶ τοὺς μὲν ἀνθρώπους εὐδαίμονας ἔσεσθαι, μήτε τροφῆς δεομένους, μήτε σκιὰν ποιοῦντας· τὸν δὲ ταῦτα μηχανησάμενον θεὸν, ἠρεμεῖν καὶ ἀναπαύεσθαι χρόνον, καλῶς μὲν οὐ πολὺν τῷ θεῷ, ὥσπερ ἀνθρώπῳ κοιμωμένῳ μέτριον. ἡ μὲν οὖν μάγων μυθολογία τοιοῦτον ἔχει τρόπον.

XLVIII. Χαλδαῖοι δὲ τῶν πλανητῶν τοὺς θεοὺς γενέσθαι, οὓς καλοῦσι, δύο μὲν ἀγαθουργοὺς, δύο δὲ κακοποιοὺς, μέσους δὲ τοὺς τρεῖς ἀποφαίνουσι καὶ κοινούς. τὰ δὲ Ἑλλήνων, πᾶσί που δῆλα, τὴν μὲν ἀγαθὴν, Διὸς ὀλυμπίου μερίδα, τὴν δ' ἀποτρόπαιον, Ἅδου ποιουμένων. ἐκ δ' Ἀφροδίτης καὶ Ἄρεως Ἁρμονίαν γεγονέναι μυθολογοῦνται. ἂν ὁ μὲν ἀπηνὴς καὶ φιλόνεικος, ἡ δὲ μειλίχιος καὶ γενέθλιος. σκόπει δὲ τοὺς φιλοσόφους τούτοις συμφερομένους. Ἡράκλειτος μὲν γὰρ ἄντικρυς πόλεμον ὀνομάζει πατέρα καὶ βασιλέα καὶ κύριον πάντων, καὶ τὸν μὲν Ὅμηρον, εὐχόμενον ἔκ τε θεῶν ἔριν, ἔκ τ' ἀνθρώπων ἀπολέσθαι, λανθάνειν φησὶ τῇ πάντων γενέ-

σαι καταρώμεναι, ἐκ μάχης καὶ ἀντιπαθείας τὴν γένεσιν ἐχόντων, ἥλιον δὲ μὴ ὑπερβήσεσθαι τοὺς προσήκοντας ὅρους· εἰ δὲ μὴ, γλώττας μιν δίκης ἐπικούρους ἐξευρήσειν. Ἐμπεδοκλῆς δὲ τὴν μὲν ἀγαθουργὸν ἀρχὴν, φιλότητα καὶ φιλίαν, πολλάκις δὲ ἁρμονίαν καλεῖ θεμερῶπιν, τὴν δὲ χείρονα, νεῖκος οὐλόμενον καὶ δῆριν αἱματόεσσαν. οἱ μὲν Πυθαγορικοὶ διὰ πλειόνων ὀνομάτων κατηγοροῦσι, τοῦ μὲν ἀγαθοῦ τὸ ἓν, τὸ πεπερασμένον, τὸ μένον, τὸ εὐθὺ, τὸ περισσὸν, τὸ τετράγωνον, τὸ δεξιὸν, τὸ λαμπρόν· τοῦ δὲ κακοῦ, τὴν δυάδα, τὸ ἄπειρον, τὸ φερόμενον, τὸ καμπύλον, τὸ ἄρτιον, τὸ ἑτερόμηκες, τὸ ἄνισον, τὸ ἀριστερὸν, τὸ σκοτεινόν· ὥστε ταύτας ἀρχὰς γενέσεως ὑποκειμένας. Ἀναξαγόρας δὲ νοῦν καὶ ἄπειρον· Ἀριστοτέλης δὲ, τὸ μὲν εἶδος, τὸ δὲ στέρησιν· Πλάτων δὲ πολλαχοῦ μὲν οἷον ἐπιλυγιζόμενος καὶ παρακαλυπτόμενος, τῶν ἐναντίων ἀρχῶν, τὴν μὲν ταὐτὸν ὀνομάζει, τὴν δὲ θάτερον. ἐν δὲ τοῖς νόμοις ἤδη πρεσβύτερος ὢν, οὐ δι' αἰνιγμῶν, οὐδὲ συμβολικῶς, ἀλλὰ κυρίοις ὀνόμασιν, οὐ μιᾷ ψυχῇ φησὶ κινεῖσθαι τὸν κόσμον, ἀλλὰ πλείοσιν ἴσως, δυοῖν δὲ πάντως οὐκ ἐλάττοσιν· ὅθεν τὴν μὲν ἀγαθουργὸν εἶναι, τὴν δ' ἐναντίαν ταύτῃ, καὶ τῶν ἐναντίων δημιουργόν. ἀπολείπει δὲ καὶ τρίτην τινὰ μεταξὺ φύσιν, οὐκ ἄψυχον, οὐδ' ἄλογον, οὐδ' ἀκίνητον ἐξ αὑτῆς, ὥσπερ ἔνιοι νομίζουσιν, ἀλλ' ἀνακειμένην ἀμφοῖν ἐκείναις· ἐφιεμένην δὲ τῆς ἀμείνονος ἀεὶ, καὶ ποθοῦσαν, καὶ διώκουσαν, ὡς τὰ ἐπιόντα δηλώσει

τοῦ λόγου, τὴν Αἰγυπτίων θεολογίαν μάλιστα ταύτῃ τῇ φιλοσοφίᾳ συνοικειοῦντος.

XLIX. Μεμιγμένη γὰρ ἡ τοῦδε τοῦ κόσμου γένεσις καὶ σύστασις ἐξ ἐναντίων, οὐ μὴν ἰσοσθενῶν, δυνάμεων, ἀλλὰ τῆς βελτίονος τὸ κράτος ἐστίν· ἀπολέσθαι δὲ τὴν φαύλην παντάπασιν ἀδύνατον, πολλὴν μὲν ἐμπεφυκυῖαν τῷ σώματι, πολλὴν δὲ τῇ ψυχῇ τοῦ παντὸς, καὶ πρὸς τὴν βελτίονα ἀεὶ δυσμαχοῦσαν. ἐν μὲν οὖν τῇ ψυχῇ νοῦς καὶ λόγος ὁ τῶν ἀρίστων πάντων ἡγεμὼν καὶ κύριος, Ὄσιρίς ἐστιν· ἐν δὲ γῇ καὶ πνεύματι καὶ ὕδατι καὶ οὐρανῷ καὶ ἄστροις τὸ τεταγμένον καὶ καθεστηκὸς καὶ ὑγιαῖνον, ὥραις καὶ κράσεσι καὶ περιόδοις, Ὀσίριδος ἀποῤῥοὴ καὶ εἰκὼν ἐμφαινομένη· Τυφὼν δὲ, τῆς ψυχῆς τὸ παθητικὸν καὶ τιτανικὸν καὶ ἄλογον καὶ ἔμπληκτον· τοῦ δὲ σωματικοῦ τὸ ἐπίκλητον καὶ νοσῶδες, καὶ ταρακτικὸν ἀωρίαις καὶ δυσκρασίαις, καὶ κρύψεσιν ἡλίου καὶ ἀφανισμοῖς σελήνης, οἷον ἐκδρομαὶ καὶ ἀφανισμοὶ Τυφῶνος. καὶ τοὔνομα κατηγορεῖ τὸ *Σὴθ*, ᾧ τὸν Τυφῶνα καλοῦσι· φράζει μὲν τὸ καταδυναστεῦον καὶ καταβιαζόμενον, φράζει δὲ τὴν πολλάκις ἀναστροφὴν καὶ πάλιν ὑπερπήδησιν. Βεβῶνα δὲ τινὲς μὲν ἕνα τῶν τοῦ Τυφῶνος ἑταίρων γεγονέναι λέγουσιν, Μανεθὼς δ' αὐτὸν τὸν Τυφῶνα, καὶ *Βέβωνα* καλεῖσθαι. σημαίνει δὲ τοὔνομα κάθεξιν, ἢ κώλυσιν, ὡς τοῖς πράγμασιν ὁδῷ βαδίζουσι καὶ πρὸς ὃ χρὴ φερομένοις, ἐνισταμένης τῆς τοῦ Τυφῶνος δυνάμεως.

L. Διὸ καὶ τῶν μὲν ἡμέρων ζώων ἀπονέμουσιν

αὐτῷ τὸ ἀμαθέστατον, ὄνον· τῶν δ᾽ ἀγρίων τὰ θηριωδέστατα, κροκόδειλον καὶ τὸν ποτάμιον ἵππον. περὶ μὲν τοῦ ὄνου προδεδηλώκαμεν. ἐν Ἑρμουπόλει δὲ Τυφῶνος ἄγαλμα δεικνύουσιν ἵππον ποτάμιον· ἐφ᾽ οὗ βέβηκεν ἱέραξ, ὄφει μαχόμενος· τῷ μὲν ἵππῳ τὸν Τυφῶνα δεικνύντες, τῷ δὲ ἱέρακι δύναμιν καὶ ἀρχὴν, ἣν βίᾳ κτώμενος ὁ Τυφὼν πολλάκις οὐκ ἀνιᾶται ταραττόμενος ὑπὸ τῆς κακίας καὶ ταράττων. διὸ καὶ θύοντες ἑβδόμῃ τοῦ Τυβὶ μηνὸς, ἣν καλοῦσιν ἄφιξιν Ἴσιδος ἐκ Φοινίκης, ἐπιπλάττουσι τοῖς ποπάνοις ἵππον ποτάμιον δεδεμένον. ἐν δ᾽ Ἀπόλλωνος πόλει νενομισμένον ἐστὶ κροκοδείλου φαγεῖν πάντως ἕκαστον· ἡμέρᾳ δὲ μιᾷ θηρεύσαντες, ὅσους ἂν δύνωνται, καὶ κτείναντες ἀπαντικρὺ τοῦ ἱεροῦ προβάλλουσι, καὶ λέγουσιν, ὡς ὁ Τυφὼν τὸν Ὧρον ἀπέδρα κροκόδειλος γενόμενος, πάντα καὶ ζῶα καὶ φυτὰ καὶ πάθη τὰ φαῦλα καὶ βλαβερὰ, Τυφῶνος ἔργα καὶ μέρη καὶ κινήματα ποιούμενοι.

LI. Τὸν δ᾽ Ὄσιριν αὖ πάλιν ὀφθαλμῷ καὶ σκήπτρῳ γράφουσιν, ὧν τὸ μὲν τὴν πρόνοιαν ἐμφαίνει, τὸ δὲ τὴν δύναμιν, ὡς Ὅμηρος τὸν ἄρχοντα καὶ βασιλεύοντα πάντων Ζῆν ὕπατον καὶ μήστωρα καλῶν, ἔοικε τῷ μὲν ὑπάτῳ τὸ κράτος αὐτοῦ, τῷ δὲ μήστωρι τὴν εὐβουλίαν καὶ τὴν φρόνησιν σημαίνειν. γράφουσι καὶ ἱέρακι τὸν θεὸν τοῦτον πολλάκις. εὐτονίᾳ γὰρ ὄψεως ὑπερβάλλει, καὶ πτήσεως ὀξύτητι, καὶ διοικεῖν αὐτὸν ἐλαχίστῃ τῇ τροφῇ πέφυκε. λέγεται δὲ καὶ νεκρῶν ἀτάφων ὄμμασι γῆν ὑπερπετόμενος

ἐπιβάλλειν. ὅταν δὲ πιούμενος ἐπὶ τὸν ποταμὸν καταίρει, τὸ πτερὸν ἵστησιν ὀρθόν· πιὼν δὲ κλίνει τοῦτο πάλιν· ᾧ δῆλός ἐστι σεσωσμένος καὶ διαπεφευγὼς τὸν κροκόδειλον. ἂν γὰρ ἁρπασθῇ, μένει τὸ πτερὸν ὥσπερ ἔστη πεπηγός. Πανταχοῦ δὲ καὶ ἀνθρωπόμορφον Ὀσίριδος ἄγαλμα δεικνύουσιν, ἐξορθιάζον τῷ αἰδοίῳ, διὰ τὸ γόνιμον καὶ τὸ τρόφιμον. ἀμπεχόνῃ δὲ φλογοειδεῖ στέλλουσιν αὐτοῦ τὰς εἰκόνας, ἥλιον σῶμα τῆς τἀγαθοῦ δυνάμεως, ὡς ὁρατὸν οὐσίας νοητῆς, ἡγούμενοι. διὸ καὶ καταφρονεῖν ἄξιόν ἐστι τῶν τὴν ἡλίου σφαῖραν Τυφῶνι προσνεμόντων, ᾧ λαμπρὸν οὐδὲν, οὐδὲ σωτήριον, οὐδὲ τάξις, οὐδὲ γένεσις, οὐδὲ κίνησις μέτρον ἔχουσα καὶ λόγον, ἀλλὰ τἀναντία προσήκει. καὶ αὐχμὸν, ὃς φθείρει πολλὰ τῶν ζώων καὶ βλαστανόντων, οὐχ ἡλίου θετέον ἔργον, ἀλλὰ τῶν ἐν γῇ καὶ ἀέρι μὴ καθ᾿ ὥραν κεραννυμένων πνευμάτων καὶ ὑδάτων, ὅταν ἡ τῆς ἀτάκτου καὶ ἀορίστου δυνάμεως ἀρχὴ πλημμελήσασα κατασβέσῃ τὰς ἀναθυμιάσεις.

LII. Ἐν δὲ τοῖς ἱεροῖς ὕμνοις τοῦ Ὀσίριδος ἀνακαλοῦνται τὸν ἐν ταῖς ἀγκάλαις κρυπτόμενον τοῦ ἡλίου, καὶ τῇ τριακάδι τοῦ Ἐπιφὶ μηνὸς, ἑορτάζουσιν ὀφθαλμῶν Ὥρου γενέθλιον, ὅτε σελήνη καὶ ἥλιος ἐπὶ μιᾶς εὐθείας γεγόνασιν, ὡς οὐ μόνον τὴν σελήνην, ἀλλὰ καὶ τὸν ἥλιον ὄμμα τοῦ Ὥρου καὶ φῶς ἡγούμενοι. τῇ δὲ ὀγδόῃ φθίνοντος τοῦ Φαωφὶ βακτηρίας ἡλίου γενέθλιον ἄγουσι μετὰ φθινοπωρινὴν ἰσημερίαν, ἐμφαίνοντες οἷον ὑπερείσματος δεῖσθαι καὶ ῥώσεως, τῷ τε θερμῷ γινομέ-

νον καὶ τῷ φωτὶ ἐνδεᾶ, κλινόμενον καὶ πλάγιον ἀφ' ἡμῶν φερόμενον. ἔτι δὲ τὴν βοῦν ὑπὸ τροπὰς χειμερινὰς ἑπτάκις περὶ τὸν ναὸν περιφέρουσι· καὶ καλεῖται ζήτησις Ὀσίριδος ἡ περιδρομὴ τοῦ ἡλίου, τὸ ὕδωρ χειμῶνος τῆς θεοῦ ποθούσης· τοσαυτάκις δὲ περίεισιν, ὅτι τὴν ἀπὸ τροπῶν χειμερινῶν ἐπὶ τροπὰς θερινὰς πάροδον ἑβδόμῳ μηνὶ συμπεραίνει. λέγεται δὲ καὶ θῦσαι τῷ ἡλίῳ τετράδι μηνὸς ἱσταμένου πάντων πρῶτος Ὧρος ὁ Ἴσιδος, ὡς ἐν τοῖς ἐπιγραφομένοις γενεθλίοις Ὥρου γέγραπται. καὶ μὴν ἡμέρας ἑκάστης τριχῶς ἐπιθυμιῶσι τῷ ἡλίῳ, ῥητίνην μὲν ὑπὸ τὰς ἀνατολὰς, σμύρναν δὲ μεσουρανοῦντι, τὸ δὲ καλούμενον κῦφι περὶ δυσμάς· ὧν ἕκαστον ὃν ἔχει λόγον, ὕστερον ἀφηγήσομαι. τὸν δὲ ἥλιον πᾶσι τούτοις προτρέπεσθαι καὶ θεραπεύειν οἴονται. καὶ τί δεῖ πολλὰ τοιαῦτα συνάγειν; εἰσὶ γάρ οἱ τὸν Ὄσιριν ἄντικρυς ἥλιον εἶναι καὶ ὀνομάζεσθαι σείριον ὑφ' Ἑλλήνων λέγοντες, εἰ καὶ παρ' Αἰγυπτίοις ἡ πρόθεσις τοῦ ἄρθρου τοὔνομα πεποίηκεν ἀμφιγνοεῖσθαι· τὴν δ' Ἶσιν οὐχ ἑτέραν τῆς σελήνης ἀποφαίνοντες, καὶ τῶν ἀγαλμάτων αὐτῆς τὰ μὲν κερασφόρα τοῦ μηνοειδοῦς γεγονέναι μιμήματα, τοῖς δὲ μελανοστόλοις ἐμφαίνεσθαι τὰς κρύψεις καὶ τοὺς περισκιασμοὺς, ἐν οἷς διώκει ποθοῦσα τὸν ἥλιον. διὸ καὶ πρὸς τὰ ἐρωτικὰ τὴν σελήνην ἐπικαλοῦνται, καὶ τὴν Ἶσιν Εὔδοξός φησι βραβεύειν τὰ ἐρωτικά. καὶ τούτοις μὲν ἀμωσγέπως τοῦ πιθανοῦ μέτεστι· τῶν δὲ Τυφῶνα ποιούντων τὸν ἥλιον, οὐδ' ἀκούειν ἄξιον· ἀλλ' ἡμεῖς αὖθις τὸν οἰκεῖον ἀναλάβωμεν λόγον.

LIII. Ἡ γὰρ Ἶσις ἔστι μὲν τὸ τῆς φύσεως θῆλυ, καὶ δεκτικὸν ἁπάσης γενέσεως, καθὸ τιθηνὴ καὶ πανδεχὴς ὑπὸ τοῦ Πλάτωνος, ὑπὸ δὲ τῶν πολλῶν μυριώνυμος κέκληται, διὰ τὸ πάσας ὑπὸ τοῦ λόγου τρεπομένη μορφὰς δέχεσθαι καὶ ἰδέας. ἔχει δὲ σύμφυτον ἔρωτα τοῦ πρώτου καὶ κυριωτάτου πάντων, ὃ τἀγαθῷ ταὐτόν ἐστι, κἀκεῖνο ποθεῖ καὶ διώκει· τὴν δ' ἐκ τοῦ κακοῦ φεύγει καὶ διωθεῖται μοῖραν, ἀμφοῖν μὲν οὖσα χώρα καὶ ὕλη, ῥέπουσα δ' ἀεὶ πρὸς τὸ βέλτιον ἐξ ἑαυτῆς, καὶ παρέχουσα γεννᾷν ἐκείνῳ καὶ κατασπείρειν εἰς ἑαυτὴν ἀποῤῥοίας καὶ ὁμοιότητας, αἷς χαίρει καὶ γέγηθε κυϊσκομένη καὶ ὑποπιμπλαμένη τῶν γενέσεων. εἰκὼν γάρ ἐστιν οὐσίας ἐν ὕλῃ ἡ γένεσις, καὶ μίμημα τοῦ ὄντος τὸ γινόμενον.

LIV. Ὅθεν οὐκ ἄπο τρόπου μυθολογοῦσι τὴν Ὀσίριδος ψυχὴν ἀΐδιον εἶναι καὶ ἄφθαρτον, τὸ δὲ σῶμα πολλάκις διασπᾷν καὶ ἀφανίζειν τὸν Τυφῶνα· τὴν δ' Ἶσιν πλανωμένην καὶ ζητεῖν καὶ συναρμόττειν πάλιν. τὸ γὰρ ὂν καὶ νοητὸν καὶ ἀγαθὸν, φθορᾶς καὶ μεταβολῆς κρεῖττόν ἐστιν· ἃς δ' ἀπ' αὐτοῦ τὸ αἰσθητὸν καὶ σωματικὸν εἰκόνας ἐκμάττεται, καὶ λόγους, καὶ εἴδη καὶ ὁμοιότητας ἀναλαμβάνει, καθάπερ ἐν κηρῷ σφραγῖδες οὐκ ἀεὶ διαμένουσιν, ἀλλὰ καταλαμβάνει τὸ ἄτακτον αὐτὰς καὶ ταραχῶδες ἐνταῦθα τῆς ἄνω χώρας ἀπεληλαμένον καὶ μαχόμενον πρὸς τὸν Ὧρον, ὃν ἡ Ἶσις εἰκόνα τοῦ νοητοῦ κόσμου αἰσθητὸν ὄντα γεννᾷ. διὸ καὶ δίκην φεύγειν λέγεται νοθείας ὑπὸ Τυφῶνος, ὡς οὐκ ὢν καθαρὸς,

οὐδὲ εἰλικρινής, οἷος ὁ πατὴρ λόγος αὐτὸς καθ' ἑαυτὸν ἀμιγὴς καὶ ἀπαθής, ἀλλὰ νενοθευμένος τῇ ὕλῃ διὰ τὸ σωματικόν. περιγίνεται δὲ καὶ νικᾷ, τοῦ Ἑρμοῦ, τουτέστι τοῦ λόγου, μαρτυροῦντος καὶ δεικνύοντος, ὅτι πρὸς τὸ νοητὸν ἡ φύσις μετασχηματιζομένη τὸν κόσμον ἀποδίδωσιν. ἡ μὲν γὰρ, ἔτι τῶν θεῶν ἐν γαστρὶ τῆς Ῥέας ὄντων, ἐξ Ἴσιδος καὶ Ὀσίριδος γενομένη γένεσις Ἀπόλλωνος αἰνίττεται τὸ πρὶν ἐκφωνῆ γενέσθαι τόνδε τὸν κόσμον, καὶ συντελεσθῆναι τῷ λόγῳ τὴν ὕλην, φύσει ἐλεγχομένην ἐφ' αὑτῆς ἀτελῆ, τὴν πρώτην γένεσιν ἐξενεγκεῖν. διὸ καί φασι τὸν θεὸν ἐκεῖνον ἀνάπηρον ὑπὸ σκότῳ γενέσθαι, καὶ πρεσβύτερον Ὧρον καλοῦσιν. οὐ γὰρ ἦν κόσμος, ἀλλ' εἴδωλόν τι καὶ κόσμου φάντασμα μέλλοντος.

LV. Ὁ δὲ Ὧρος οὗτος, αὐτός ἐστιν ὡρισμένος καὶ τέλειος, οὐκ ἀνῃρηκὼς τὸν Τυφῶνα παντάπασιν, ἀλλὰ τὸ δραστήριον καὶ ἰσχυρὸν αὐτοῦ παρῃρημένος. ὅθεν ἐν Κοπτῷ τὸ ἄγαλμα τοῦ Ὥρου λέγουσιν ἐν τῇ ἑτέρᾳ χειρὶ Τυφῶνος αἰδοῖα κατέχειν· καὶ τὸν Ἑρμῆν μυθολογοῦσιν, ἐξελόντα τοῦ Τυφῶνος τὰ νεῦρα, χορδαῖς χρήσασθαι, διδάσκοντες, ὡς τὸ πᾶν ὁ λόγος διαρμοσάμενος, σύμφωνον ἐξ ἀσυμφώνων μερῶν ἐποίησε, καὶ τὴν φθαρτικὴν οὐκ ἀπώλεσεν, ἀλλ' ἀνεπλήρωσε, δύναμιν. ὅθεν ἐκείνη μὲν ἀσθενὴς καὶ ἀδρανὴς ἐνταῦθα, φυρομένη καὶ προσπλεκομένη τοῖς παθητικοῖς καὶ μεταβολικοῖς μέλεσι, σεισμῶν μὲν ἐν γῇ καὶ τρόμων, αὐχμῶν δὲ ἐν ἀέρι, καὶ πνευμάτων ἀτόπων,

αὖθις δὲ πρηστήρων καὶ κεραυνῶν δημιουργός ἐστι. φαρμάττει δὲ καὶ λοιμοῖς ὕδατα καὶ πνεύματα, καὶ μέχρι σελήνης ἀνατρέχει καὶ ἀναχαιτίζει, συνέχουσα καὶ μελαίνουσα πολλάκις τὸ λαμπρὸν, ὡς Αἰγύπτιοι νομίζουσι, καὶ λέγουσιν, ὅτι τοῦ Ὥρου νῦν μὲν ἐπάταξε, νῦν δ᾿ ἐξελὼν κατέπιεν ὁ Τυφὼν τὸν ὀφθαλμὸν, εἶτα τῷ ἡλίῳ πάλιν ἀπέδωκε· πληγὴν μὲν αἰνιττόμενοι, τὴν κατὰ μῆνα μείωσιν τῆς σελήνης, πήρωσιν δὲ τὴν ἔκλειψιν, ἣν ὁ ἥλιος ἰᾶται διαφυγούσῃ τὴν σκιὰν τῆς γῆς εὐθὺς ἀντιλάμπων.

LVI. Ἡ δὲ κρείττων καὶ θειοτέρα φύσις ἐκ τριῶν ἐστι, τοῦ νοητοῦ καὶ τῆς ὕλης καὶ τοῦ ἐκ τούτων, ὃν κόσμον Ἕλληνες ὀνομάζουσιν. ὁ μὲν οὖν Πλάτων, τὸ μὲν νοητὸν, καὶ ἰδέαν καὶ παράδειγμα καὶ πατέρα, τὴν δὲ ὕλην, καὶ μητέρα καὶ τιθηνὴν, ἕδραν τε καὶ χώραν γενέσεως, τὸ δὲ ἐξ ἀμφοῖν, ἔγγονον καὶ γένεσιν ὀνομάζειν εἴωθεν. Αἰγυπτίους δ᾿ ἄν τις εἰκάσειε τῶν τριγώνων τὸ κάλλιστον, μάλιστα τούτῳ τὴν τοῦ παντὸς φύσιν ὁμοιοῦντας, ᾧ καὶ Πλάτων ἐν τῇ πολιτείᾳ δοκεῖ τούτῳ προσκεχρῆσθαι, τὸ γαμήλιον διάγραμμα συντάττων. ἔχει δ᾿ ἐκεῖνο τὸ τρίγωνον, τριῶν τὴν πρὸς ὀρθίαν, καὶ τεττάρων τὴν βάσιν, καὶ πέντε τὴν ὑποτείνουσαν ἴσον ταῖς περιεχούσαις δυναμένην. εἰκαστέον οὖν τὴν μὲν πρὸς ὀρθὰς ἄῤῥενι, τὴν δὲ βάσιν θηλείᾳ, τὴν δὲ ὑποτείνουσαν ἀμφοῖν ἐγγόνῳ· καὶ τὸν μὲν Ὄσιριν ὡς ἀρχὴν, τὴν δὲ Ἶσιν ὡς ὑποδοχὴν, τὸν δὲ Ὧρον ὡς ἀποτέλεσμα. τὰ μὲν γὰρ τρία, πρῶτος περισσός ἐστι καὶ τέλειος· τὰ δὲ τέτταρα, τετρά-

γωνος ἀπὸ πλευρᾶς ἀρτίου τῆς δυάδος· τὰ δὲ πέντε, πῆ μὲν τῷ πατρὶ, πῆ δὲ τῇ μητρὶ προσέοικεν, ἐκ τριάδος συγκείμενα καὶ δυάδος. καὶ τὰ πάντα τῶν πέντε γέγονε παρώνυμα, καὶ τὸ ἀριθμήσασθαι πεμπάσασθαι λέγουσιν. ποιεῖ δὲ τετράγωνον ἡ πεντὰς ἀφ' ἑαυτῆς, ὅσον τῶν γραμμάτων παρ' Αἰγυπτίοις τὸ πλῆθός ἐστι, καὶ ὅσον ἐνιαυτῶν ἔζη χρόνον ὁ Ἆπις. Τὸν μὲν οὖν Ὧρον εἰώθασιν Καῖμιν προσαγορεύειν, ὅπερ ἐστὶν ὁρώμενον. αἰσθητὸν γὰρ καὶ ὁρατὸν ὁ κόσμος. ἡ δ' Ἶσις ἔστιν ὅτε καὶ Μοὺθ καὶ πάλιν Ἄθυρι καὶ Μεθύερ προσαγορεύεται. σημαίνουσι δὲ τῷ μὲν πρώτῳ τῶν ὀνομάτων, μητέρα· τῷ δὲ δευτέρῳ, οἶκον Ὥρου κόσμιον. (ὡς καὶ Πλάτων χώραν γενέσεως καὶ δεξαμένην) τὸ δὲ τρίτον σύνθετόν ἐστιν ἔκ τε τοῦ πλήρους καὶ τοῦ αἰτίου. πλήρης γάρ ἐστιν ἡ ὕλη τοῦ κόσμου, καὶ τῷ ἀγαθῷ καὶ καθαρῷ καὶ κεκοσμημένῳ σύνεστιν.

LVII. Δόξειε δ' ἂν ἴσως καὶ Ἡσίοδος, τὰ πρῶτα πάντα χάος καὶ γῆν καὶ τάρταρον καὶ ἔρωτα ποιῶν, οὐχ ἑτέρας λαμβάνειν ἀρχὰς, ἀλλὰ ταύτας. εἴ γε δὴ τῶν ὀνομάτων τῇ μὲν Ἴσιδι τὸ τῆς γῆς, τῷ δ' Ὀσίριδι τὸ τοῦ ἔρωτος, τῷ δὲ Τυφῶνι τὸ τοῦ ταρτάρου μεταλαμβάνοντες, ἀποδίδομεν· τὸ γὰρ χάος δοκεῖ χώραν τινὰ καὶ τόπον τοῦ παντὸς ὑποτίθεσθαι. προσκαλεῖται δὲ καὶ τὸν Πλάτωνος ἀμωσγέπως τὰ πράγματα μῦθον, ὃν Σωκράτης ἐν συμποσίῳ περὶ τῆς τοῦ ἔρωτος γενέσεως διῆλθε, τὴν πενίαν λέγων τέκνων δεομένην τῷ πόρῳ καθεύδοντι παρακλιθῆναι, καὶ κυήσασαν ἐξ αὐτοῦ τεκεῖν τὸν

ἔρωτα, φύσει μικτὸν ὄντα καὶ παντοδαπὸν, ἅτε δὴ πατρὸς μὲν ἀγαθοῦ καὶ σοφοῦ καὶ πᾶσιν αὐτάρκους, μητρὸς δ' ἀμηχάνου καὶ ἀπόρου, καὶ δι' ἔνδειαν ἀεὶ γλιχομένης ἑτέρου, καὶ περὶ ἕτερον λιπαρούσης, γεγεννημένον. ὁ γὰρ πόρος οὐχ ἕτερός ἐστιν τοῦ πρώτου ἐραστοῦ καὶ ἐφετοῦ καὶ τελείου καὶ αὐτάρκους, πενίαν δὲ τὴν ὕλην προσεῖπεν, ἐνδεᾶ μὲν οὖσαν αὐτὴν καθ' ἑαυτὴν τοῦ ἀγαθοῦ, πληρουμένην δὲ ὑπ' αὐτοῦ, καὶ ποθοῦσαν ἀεὶ καὶ μεταλαμβάνουσαν. ὁ δὲ γινόμενος ἐκ τούτων κόσμος καὶ Ὧρος, οὐκ ἀΐδιος, οὐδ' ἀπαθὴς, οὐδ' ἄφθαρτος, ἀλλ' ἀειγενὴς ὢν, μηχανᾶται ταῖς τῶν παθῶν μεταβολαῖς καὶ περιόδοις ἀεὶ νέος καὶ μηδέποτε φθαρησόμενος διαμένειν.

LVIII. Χρηστέον δὲ τοῖς μύθοις, οὐχ ὡς λόγοις πάμπαν οὖσιν, ἀλλὰ τὸ πρόσφορον ἑκάστου τὸ κατὰ τὴν ὁμοιότητα λαμβάνοντας. ὅταν οὖν ὕλην λέγωμεν, οὐ δεῖ πρὸς ἐνίων φιλοσόφων δόξας ἀποφερομένους ἄψυχόν τι σῶμα καὶ ἄποιον ἀργόν τε καὶ ἄπρακτον ἐξ ἑαυτοῦ διανοεῖσθαι. καὶ γὰρ ἔλαιον ὕλην μύρου καλοῦμεν, χρυσὸν ἀγάλματος, οὐκ ὄντα πάσης ἔρημα ποιότητος· αὐτήν τε τὴν ψυχὴν καὶ τὴν διάνοιαν τοῦ ἀνθρώπου, ὡς ὕλην ἐπιστήμης καὶ ἀρετῆς τῷ λόγῳ κοσμεῖν καὶ ῥυθμίζειν παρέχομεν. τόν τε νοῦν ἔνιοι τόπον εἰδῶν ἀπεφήναντο, καὶ τῶν νοητῶν οἷον ἐκμαγεῖον. ἔνιοι δὲ καὶ τὸ σπέρμα τῆς γυναικὸς, οὐ δύναμιν, οὐδ' ἀρχὴν, ὕλην δὲ καὶ τροφὴν γενέσεως εἶναι δοξάζουσιν. ὧν ἐχομένους χρὴ καὶ τὴν θεὸν ταύτην οὕτω δια-

νοεῖσθαι τοῦ πρώτου θεοῦ μεταλαγχάνουσαν ἀεὶ καὶ συνοῦσαν ἔρωτι τῶν περὶ ἐκεῖνον ἀγαθῶν καὶ καλῶν, οὐχ ὑπεναντίαν· ἀλλ᾽ ὥσπερ ἄνδρα νόμιμον καὶ δίκαιον ἐρᾷν ἐν δικαιοσύνῃ, καὶ γυναῖκα χρηστὴν ἔχουσαν ἄνδρα καὶ συνοῦσαν, ὅμως ποθεῖν λέγομεν· οὕτως ἀεὶ γλιχομένην ἐκείνου, καὶ περὶ ἐκεῖνον παροῦσαν καὶ ἀναπιμπλαμένην τοῖς κυριωτάτοις μέρεσιν καὶ καθαρωτάτοις.

LIX. Ὅπου δὲ ὁ Τυφὼν παρεμπίπτει τῶν ἐσχάτων ἁπτόμενος, ἐνταῦθα δοκοῦσαν ἐπισκυθρωπάζειν καὶ πενθεῖν λεγομένην, καὶ λείψανα ἄττα καὶ σπαράγματα τοῦ Ὀσίριδος ἀναζητεῖν καὶ στολίζειν, ὑποδεχομένην τὰ φθειρόμενα καὶ ἀποκρύπτουσαν, ὥσπερ ἀναφαίνει πάλιν τὰ γινόμενα, καὶ ἀνίησιν ἐξ ἑαυτῆς· οἱ μὲν γὰρ ἐν οὐρανῷ καὶ ἄστροις λόγοι καὶ εἴδη καὶ ἀποῤῥοαὶ τοῦ θεοῦ μένουσι, τὰ δὲ τοῖς παθητικοῖς διεσπαρμένα, γῇ καὶ θαλάττῃ καὶ φυτοῖς καὶ ζώοις, διαλεγόμενα καὶ φθειρόμενα καὶ θαπτόμενα, πολλάκις αὖθις ἐκλάμπει καὶ ἀναφαίνεται ταῖς γενέσεσι. διὸ τὸν Τυφῶνα τῇ Νέφθυϊ συνοικεῖν φησὶν ὁ μῦθος, τὸν δὲ Ὄσιριν κρύφα συγγενέσθαι. τὰ γὰρ ἔσχατα μέρη τῆς ὕλης, ἃ Νέφθυν καὶ Τελευτὴν καλοῦσιν, ἡ φθαρτικὴ μάλιστα κατέχει δύναμις. ἡ δὲ γόνιμος καὶ σωτήριος ἀσθενὲς σπέρμα καὶ ἀμαυρὸν εἰς ταῦτα διαδίδωσιν, ἀπολλύμενον ὑπὸ τοῦ Τυφῶνος, πλὴν ὅσον ἡ Ἶσις ὑπολαμβάνουσα, σώζει καὶ τρέφει καὶ συνίστησι.

LX. Καθόλου δ᾽ ἀμείνων οὗτός ἐστιν, ὥσπερ καὶ Πλάτων ὑπονοεῖ καὶ Ἀριστοτέλης. κινεῖται δὲ

τῆς φύσεως τὸ μὲν γόνιμον καὶ σωτήριον ἐπ᾿ αὐτὸν, καὶ πρὸς τὸ εἶναι, τὸ δ᾿ ἀναιρετικὸν καὶ φθαρτικὸν, ὑπ᾿ αὐτοῦ, καὶ πρὸς τὸ μὴ εἶναι. διὸ τὸ μὲν Ἶσιν καλοῦσι, παρὰ τὸ ἵεσθαι μετ᾿ ἐπιστήμης καὶ φέρεσθαι, κίνησιν οὖσαν ἔμψυχον καὶ φρόνιμον. οὐ γάρ ἐστι τοὔνομα βαρβαρικὸν, ἀλλ᾿ ὥσπερ τοῖς θεοῖς πᾶσιν ἀπὸ δυεῖν γραμμάτων τοῦ θεατοῦ καὶ τοῦ θέοντος ἐστὶν ὄνομα κοινὸν, οὕτω τὴν θεὸν ταύτην ἀπὸ τῆς ἐπιστήμης ἅμα καὶ τῆς κινήσεως, Ἶσιν μὲν ἡμεῖς, Ἶσιν δ᾿ Αἰγύπτιοι καλοῦσιν. οὕτω δὲ καὶ Πλάτων φησὶ τὴν ὁσίαν δηλοῦν τοὺς παλαιοὺς, Ἰσίαν καλοῦντας· οὕτω καὶ τὴν νόησιν καὶ τὴν φρόνησιν, ὡς νοῦ φορὰν καὶ κίνησιν οὖσαν, ἱεμένου καὶ φερομένου, καὶ τὸ συνιέναι καὶ τἀγαθὸν ὅλως, καὶ ἀρετὴν ἐπὶ τοῖς ῥέουσι καὶ θέουσι θέσθαι· καθάπερ αὖ πάλιν τοῖς ἀντιφωνοῦσιν ὀνόμασι λοιδορεῖσθαι τὸ κακὸν τὸ τὴν φύσιν ἐμποδίζον καὶ συνδέον καὶ ἴσχον καὶ κωλῦον ἵεσθαι καὶ ἰέναι κακίαν, ἀπορίαν, δειλίαν, ἀνίαν προσαγορευόντων.

LXI. Ὁ Ὄσιρις ἐκ τοῦ ὁσίου καὶ ἱεροῦ τοὔνομα μεμιγμένον ἔσχηκε· κοινὸς γάρ ἐστι τῶν ἐν οὐρανῷ καὶ τῶν ἐν ᾅδου λόγος· ὧν τὰ μὲν ἱερὰ, τὰ δὲ ὅσια τοῖς παλαιοῖς ἦν προσαγορεύειν. ὁ δ᾿ ἀναφαίνων τὰ οὐράνια καὶ τῶν ἄνω φερομένων Ἄνουβις λόγος, ἔστι δὲ, ὅτε καὶ Ἑρμάνουβις ὀνομάζεται, τὸ μὲν, ὡς τοῖς ἄνω, τὸ δὲ, ὡς τοῖς κάτω προσῆκον. διὸ καὶ θύουσιν αὐτῷ τὸν μὲν λευκὸν ἀλεκτρυόνα, τὸν δὲ κροκίαν, τὰ μὲν εἰλικρινῆ καὶ φανὰ, τὰ δὲ μικτὰ καὶ ποικίλα νομίζοντες. οὐ δεῖ δὲ θαυμάζειν

τῶν ὀνομάτων τὴν εἰς τὸ Ἑλληνικὸν ἀνάπλασιν. καὶ γὰρ ἄλλα μυρία τοῖς μεθισταμένοις ἐκ τῆς Ἑλλάδος συνεκπεσόντα, μέχρι νῦν παραμένει καὶ ξενιτεύει παρ' ἑτέροις, ὧν ἔνια τὴν ποιητικὴν ἀνακαλουμένην διαβάλλουσιν ὡς βαρβαρίζουσαν οἱ γλώττας τὰ τοιαῦτα προσαγορεύοντες. ἐν δὲ ταῖς Ἑρμοῦ λεγομέναις βίβλοις ἱστοροῦσι γεγράφθαι περὶ τῶν ἱερῶν ὀνομάτων, ὅτι τὴν μὲν ἐπὶ τῆς τοῦ ἡλίου περιφορᾶς τεταγμένην δύναμιν, Ὧρον, Ἕλληνες δ' Ἀπόλλωνα καλοῦσι· τὴν δ' ἐπὶ τοῦ πνεύματος, οἱ μὲν Ὄσιριν, οἱ δὲ Σάραπιν, οἱ δὲ, Σωθὶ, Αἰγυπτιστί. σημαίνει δὲ κύησιν, ἢ τὸ κύειν. διὸ καὶ παρατροπῆς γενομένης τοῦ ὀνόματος, Ἑλληνιστὶ κύων κέκληται τὸ ἄστρον, ὅπερ ἴδιον τῆς Ἴσιδος νομίζουσιν. ἥκιστα μὲν οὖν δεῖ φιλοτιμεῖσθαι περὶ τῶν ὀνομάτων, οὐ μὴν ἀλλὰ μᾶλλον ὑφείμην τοῦ Σαράπιδος Αἰγυπτίοις, ἢ τοῦ Ὀσίριδος· ἐκεῖνο μὲν (οὖν) ξενικὸν, τοῦτο δὲ Ἑλληνικὸν, ἄμφω δὲ ἑνὸς θεοῦ καὶ μιᾶς δυνάμεως ἡγούμενος.

LXII. Ἔοικε δὲ τούτοις καὶ τὰ Αἰγύπτια. τὴν μὲν γὰρ Ἶσιν πολλάκις τῷ τῆς Ἀθηνᾶς ὀνόματι καλοῦσι, φράζοντι τοιοῦτον λόγον, ἦλθον ἀπ' ἐμαυτῆς· ὅπερ ἐστὶν αὐτοκινήτου φορᾶς δηλωτικόν· ὁ δὲ Τυφὼν (ὥσπερ εἴρηται) Σὴθ, καὶ Βέβων, καὶ Σμὺ ὀνομάζεται, βίαιόν τινα καὶ κωλυτικὴν ἐπίσχεσιν, ὑπεναντίωσιν, ἢ ἀναστροφὴν, ἐμφαίνειν βουλομένων τῶν ὀνομάτων. ἔτι τὴν σιδηρῖτιν λίθον, ὀστέον Ὥρου, Τυφῶνος δὲ τὸν σίδηρον, ὡς ἱστορεῖ Μανεθὼς, καλοῦσιν. ὥσπερ γὰρ ὁ σίδηρος πολλά-

ας μὲν ἑλκομένῳ καὶ ἑπομένῳ πρὸς τὸν λίθον ὅμοιός ἐστι, πολλάκις δ᾽ ἀποστρέφεται καὶ ἀποκρούεται πρὸς τοὐναντίον· οὕτως ἡ σωτήριος καὶ ἀγαθὴ καὶ λόγον ἔχουσα τοῦ κόσμου κίνησις ἐπιστρέφεταί τε καὶ προσάγεται καὶ μαλακωτέραν ποιεῖ, πείθουσα τὴν σκληρὰν ἐκείνην καὶ τυφώνιον, εἶτ᾽ αὖθις ἀνασχεθεῖσα εἰς ἑαυτὴν ἀνέστρεψε καὶ κατέδυσεν εἰς τὴν ἀπορίαν. ἔτι φησὶ περὶ τοῦ Διὸς ὁ Εὔδοξος μυθολογεῖν Αἰγυπτίους, ὡς τῶν σκελῶν συμπεφυκότων αὐτῷ μὴ δυνάμενος βαδίζειν, ὑπ᾽ αἰσχύνης ἐρημίᾳ διέτριβεν· ἡ δὲ Ἶσις διατεμοῦσα καὶ διαστήσασα τὰ μέρη ταῦτα τοῦ σώματος, ἀρτίποδα τὴν πορείαν παρέσχεν· αἰνίττεται δὲ καὶ διὰ τούτων ὁ μῦθος, ὅτι καθ᾽ ἑαυτὸν ὁ τοῦ θεοῦ νοῦς καὶ λόγος, ἐν τῷ ἀοράτῳ καὶ ἀφανεῖ βεβηκὼς, εἰς γένεσιν ὑπὸ κινήσεως προῆλθε.

LXIII. Ἐμφαίνει καὶ τὸ σεῖστρον, ὅτι σείεσθαι δεῖ τὰ ὄντα καὶ μηδέποτε παύεσθαι φορᾶς, ἀλλὰ οἷον ἐξεγείρεσθαι καὶ κλονεῖσθαι καταδαρθάνοντα καὶ μαραινόμενα. τὸν γὰρ Τυφῶνά φασὶ τοῖς σείστροις ἀποτρέπειν καὶ ἀποκρούεσθαι, δηλοῦντες, ὅτι τῆς φθορᾶς συνδεούσης καὶ ἱστάσης, αὖθις ἀναλύει τὴν φύσιν καὶ ἀνίστησι διὰ τῆς κινήσεως ἡ γένεσις. τοῦ δὲ σείστρου περιφεροῦς ἄνωθεν ὄντος, ἡ ἁψὶς περιέχει τὰ σειόμενα τέτταρα. καὶ γὰρ ἡ γεννωμένη καὶ φθειρομένη μοῖρα τοῦ κόσμου περιέχεται μὲν ὑπὸ τῆς σεληνιακῆς σφαίρας, κινεῖται δ᾽ ἐν αὐτῇ πάντα καὶ μεταβάλλεται διὰ τῶν τεττάρων στοιχείων, πυρὸς, καὶ γῆς, καὶ ὕδατος, καὶ ἀέρος. τῇ δ᾽ ἁψῖδι τοῦ σείστρου κατὰ κορυφὴν

ἐντορεύουσιν αἴλουρον ἀνθρώπου πρόςωπον ἔχοντα, κάτω δὲ ὑπὸ τὰ σειόμενα, πῇ μὲν Ἴσιδος, πῇ δὲ Νέφθυος πρόςωπον, αἰνιττόμενοι τοῖς μὲν προσώποις γένεσιν καὶ τελευτὴν, (αὗται γάρ εἰσι τῶν στοιχείων μεταβολαὶ καὶ κινήσεις) τῷ δ' αἰλούρῳ τὴν σελήνην, διὰ τὸ ποικίλον καὶ νυκτουργὸν καὶ γόνιμον τοῦ θηρίου. λέγεται γὰρ ἓν τίκτειν, εἶτα δύο καὶ τρία καὶ τέσσαρα καὶ πέντε· καὶ καθ' ἓν οὕτως ἄχρι τῶν ἑπτὰ προςτίθησιν, ὥστ' ὀκτὼ καὶ εἴκοσι τὰ πάντα τίκτειν, ὅσα καὶ τῆς σελήνης φῶτά ἐστιν. τοῦτο μὲν οὖν ἴσως μυθωδέστερον· αἱ δ' ἐν τοῖς ὄμμασιν αὐτοῦ κόραι πληροῦσθαι μὲν καὶ πλατύνεσθαι δοκοῦσιν ἐν πανσελήνῳ, λεπτύνεσθαι δὲ καὶ μαραυγεῖν ἐν ταῖς μειώσεσι τοῦ ἄστρου. τῷ δ' ἀνθρωπομόρφῳ τοῦ αἰλούρου τὸ νοερὸν καὶ λογικὸν ἐμφαίνεται τῶν περὶ τὴν σελήνην μεταβολῶν.

LXIV. Συνελόντι δ' εἰπεῖν, οὔτε ὕδωρ, οὔτε ἥλιον, οὔτε γῆν, οὔτε οὐρανὸν, Ὄσιριν, ἢ Ἶσιν, ὀρθῶς ἔχει νομίζειν, οὔτε πῦρ Τυφῶνα πάλιν, οὔτ' αὐχμὸν, οὐδὲ θάλατταν, ἀλλ' ἁπλῶς ὅσον ἐστὶν ἐν τούτοις ἄμετρον καὶ ἄτακτον ὑπερβολαῖς, ἢ ἐνδείαις, Τυφῶνι προςνέμοντες, τὸ δὲ κεκοσμημένον καὶ ἀγαθὸν καὶ ὠφέλιμον, ὡς Ἴσιδος μὲν ἔργον, εἰκόνα δὲ καὶ μίμημα καὶ λόγον Ὀσίριδος, σεβόμενοι καὶ τιμῶντες, οὐκ ἂν ἁμαρτάνοιμεν, ἀλλὰ καὶ τὸν Εὔδοξον ἀπιστοῦντα παύσομεν, καὶ διαποροῦντα, πῶς οὔτε Δήμητρι τῆς τῶν ἐρωτικῶν ἐπιμελείας μέτεστιν, ἀλλὰ Ἴσιδι· τόν τε Διόνυσον οὐ τὸν Νεῖλον αὔξειν, οὔτε τῶν τεθνηκότων ἄρχειν δυνάμενον. ἑνὶ

γὰρ λόγῳ κοινῷ τοὺς θεοὺς τούτους περὶ πᾶσαν ἀγαθοῦ μοῖραν ἡγούμεθα τετάχθαι. καὶ πᾶν, ὅσον ἔνεστι τῇ φύσει, καλὸν καὶ ἀγαθὸν, διὰ τούτους ὑπάρχειν, τὸν μὲν, διδόντα τὰς ἀρχὰς, τὴν δὲ, ὑποδεχομένην καὶ διανέμουσαν.

LXV. Οὕτω δὲ καὶ τοῖς πολλοῖς καὶ φορτικοῖς ἐπιχειρήσομεν, εἴτε ταῖς καθ' ὥραν μεταβολαῖς τοῦ περιέχοντος, εἴτε ταῖς καρπῶν γενέσεσι καὶ σποραῖς καὶ ἀρότοις χαίρουσι, τὰ περὶ τοὺς θεοὺς τούτους συνοικειοῦντες, καὶ λέγοντες, θάπτεσθαι μὲν τὸν Ὄσιριν, ὅτε κρύπτεται τῇ γῇ σπειρόμενος ὁ καρπὸς, αὖθις δ' ἀναβιοῦσθαι καὶ ἀναφαίνεσθαι, ὅτε βλαστήσεως ἀρχή. διὸ καὶ λέγεσθαι, τὴν Ἶσιν αἰσθομένην, ὅτι κύει, περιάψασθαι φυλακτήριον, ἕκτῃ μηνὸς ἱσταμένου Φαωφί. τίκτεσθαι δὲ τὸν Ἁρποκράτην περὶ τροπὰς χειμερινὰς, ἀτελῆ καὶ νεαρὸν ἐν τοῖς προανθοῦσι καὶ προβλαστάνουσι. διὸ καὶ φακῶν αὐτῷ φυομένων ἀπαρχὰς ἐπιφέρουσι, τὰς δὲ λοχείους ἡμέρας ἑορτάζειν μετὰ τὴν ἐαρινὴν ἰσημερίαν. ταῦτα γὰρ ἀκούοντες ἀγαπῶσι, καὶ πιστεύουσιν, αὐτόθεν ἐκ τῶν προχείρων καὶ συνήθων τὸ πιθανὸν ἕλκοντες.

LXVI. Καὶ δεινὸν οὐδὲν ἂν πρῶτον μὲν ἡμῖν τοὺς θεοὺς φυλάττωσι κοινοὺς, καὶ μὴ ποιῶσιν Αἰγυπτίων ἰδίους, μηδὲ Νεῖλον, ἥν τε Νεῖλος ἄρδει μόνην χώραν τοῖς ὀνόμασι τούτοις καταλαμβάνοντες, μηδὲ ἕλη, μηδὲ λωτοὺς, μὴ θεοποιΐαν λέγοντες, ἀποστερῶσι μεγάλων θεῶν τοὺς ἄλλους ἀνθρώπους, οἷς Νεῖλος μὲν οὐκ ἔστιν, οὐδὲ Βοῦτος, οὐδὲ Μέμ-

φις· Ἶσιν δὲ καὶ τοὺς περὶ αὐτὴν θεοὺς ἔχουσι καὶ γινώσκουσιν ἅπαντες, ἐνίους μὲν οὐ πάλαι τοῖς παρ' Αἰγυπτίων ὀνόμασι καλεῖν μεμαθηκότες, ἑκάστου δὲ τὴν δύναμιν ἐξαρχῆς ἐπιστάμενοι καὶ τιμῶντες. δεύτερον, ὃ μεῖζόν ἐστιν, ὅπως σφόδρα προσέξουσι καὶ φοβήσονται, μὴ λάθωσιν εἰς πνεύματα, καὶ ῥεύματα, καὶ σπόρους, καὶ ἀρότους, καὶ πάθη γῆς καὶ μεταβολὰς ὡρῶν διαγράφοντες τὰ θεῖα καὶ διαλύοντες. ὥσπερ οἱ Διόνυσον τὸν οἶνον, Ἥφαιστον δὲ τὴν φλόγα. Φερσεφόνην δέ φησί που Κλεάνθης τὸ διὰ τῶν καρπῶν φερόμενον καὶ φονευόμενον πνεῦμα. ποιητής δέ τις ἐπὶ τῶν θεριζόντων·

Τῆμος ὅτ' αἰζηοὶ Δημήτερα κωλοτομεῦσιν·

οὐδὲν γὰρ οὗτοι διαφέρουσι τῶν ἱστία καὶ κάλως καὶ ἄγκυραν ἡγουμένων κυβερνήτην, καὶ νήματα καὶ κρόκας, ὑφάντην, καὶ σπονδεῖον, ἢ μελίκρατον, ἢ πτισάνην, ἰατρόν· ἀλλὰ δεινὰς καὶ ἀθέους ἐμποιοῦσι δόξας, ἀναισθήτοις καὶ ἀψύχοις καὶ φθειρομέναις ἀναγκαίως ὑπ' ἀνθρώπων δεομένων καὶ χρωμένων φύσεσι καὶ πράγμασιν ὀνόματα θεῶν ἐπιφέροντες. ταῦτα μὲν γὰρ αὐτὰ νοῆσαι θεοὺς οὐκ ἔστιν.

LXVII. Οὐ γὰρ ἄνουν οὐδ' ἄψυχον οὐδὲ ἀνθρώποις ὁ θεὸς ὑποχείριον· ἀπὸ τούτων δὲ τοὺς χρωμένους αὐτοῖς καὶ δωρουμένους ἡμῖν, καὶ παρέχοντας ἀένναα καὶ διαρκῆ, θεοὺς ἐνομίσαμεν, οὐχ ἑτέρους παρ' ἑτέροις, οὐδὲ βαρβάρους καὶ Ἕλληνας, οὐδὲ νοτίους καὶ βορείους· ἀλλ' ὥσπερ ἥλιος καὶ σελήνη καὶ οὐρανὸς καὶ γῆ καὶ θάλασσα κοινὰ πᾶσιν, ὀνομάζεται δ' ἄλλως ὑπ' ἄλλων, οὕτως ἑνὸς λό-

γου τοῦ ταῦτα κοσμοῦντος καὶ μιᾶς προνοίας ἐπιτροπευούσης, καὶ δυνάμεων ὑπουργῶν ἐπὶ πάντας τεταγμένων, ἕτεραι παρ᾽ ἑτέροις κατὰ νόμους γεγόνασι τιμαὶ καὶ προσηγορίαι· καὶ συμβόλοις χρῶνται, καθιερωμένοις, οἱ μὲν ἀμυδροῖς, οἱ δὲ τρανωτέροις, ἐπὶ τὰ θεῖα τὴν νόησιν ὁδηγοῦντες οὐκ ἀκινδύνως. ἔνιοι γὰρ ἀποσφαλέντες παντάπασιν εἰς δεισιδαιμονίαν ὤλισθον· οἱ δὲ φεύγοντες ὥσπερ ἕλος τὴν δεισιδαιμονίαν, ἔλαθον αὖθις ὥσπερ εἰς κρημνὸν ἐμπεσόντες τὴν ἀθεότητα.

**LXVIII.** Διὸ δεῖ μάλιστα πρὸς ταῦτα λόγον ἐκ φιλοσοφίας μυσταγωγὸν ἀναλαβόντας, ὁσίως διανοεῖσθαι τῶν λεγομένων καὶ δρωμένων ἕκαστον· ἵνα μή, καθάπερ Θεόδωρος εἶπε, τοὺς λόγους αὐτοῦ τῇ δεξιᾷ προτείνοντος, ἐνίους τῇ ἀριστερᾷ δέχεσθαι τῶν ἀκροωμένων, οὕτως ἡμεῖς, ἃ καλῶς οἱ νόμοι περὶ τὰς θυσίας καὶ τὰς ἑορτὰς ἔταξαν, ἑτέρως ὑπολαμβάνοντες, ἐξαμάρτωμεν. ὅτι γὰρ ἐπὶ τὸν λόγον ἀνοιστέον ἅπαντα, καὶ παρ᾽ αὐτῶν ἐκείνων ἐστὶ λαβεῖν. τῇ μὲν γὰρ ἐνάτῃ ἐπὶ δέκα τοῦ πρώτου μηνὸς ἑορτάζοντες τῷ Ἑρμῇ, μέλι καὶ σῦκον ἐσθίουσιν, ἐπιλέγοντες, Γλυκὺ ἡ ἀλήθεια. τὸ δὲ τῆς Ἴσιδος φυλακτήριον, ὃ περιάπτεσθαι μυθολογοῦσιν αὐτήν, ἐξερμηνεύεται, Φωνὴ ἀληθής. τὸν δὲ Ἁρποκράτην οὔτε θεὸν ἀτελῆ καὶ νήπιον, οὔτε χεδροπῶν τινα νομιστέον, ἀλλὰ τοῦ περὶ θεῶν ἐν ἀνθρώποις λόγου νεαροῦ καὶ ἀτελοῦς καὶ ἀδιαρθρώτου προστάτην καὶ σωφρονιστήν. διὸ τῷ στόματι τὸν δάκτυλον ἔχει προσκείμενον ἐχεμυθίας καὶ σιωπῆς σύμβολον. ἐν

δὲ τῷ Μεσορὴ μηνὶ τῶν χεδροπῶν ἐπιφέροντες λέγουσιν, Γλῶσσα τύχη, γλῶσσα δαίμων. τῶν δ' ἐν Αἰγύπτῳ φυτῶν μάλιστα τῇ θεῷ καθιερῶσθαι λέγουσι τὴν περσέαν, ὅτι καρδίᾳ μὲν ὁ καρπὸς αὐτῆς, γλώττῃ δὲ τὸ φύλλον ἔοικεν. οὐδὲν γὰρ, ὧν ἄνθρωπος ἔχειν πέφυκε, θειότερον λόγου καὶ μάλιστα τοῦ περὶ θεῶν, οὐδὲ μείζονα ῥοπὴν ἔχει πρὸς εὐδαιμονίαν. διὸ τῷ μὲν εἰς τὸ χρηστήριον ἐνταῦθα κατιόντι παρεγγυῶμεν, ὅσια φρονεῖν, εὔφημα λέγειν. οἱ δὲ πολλοὶ γελοῖα δρῶσιν ἐν ταῖς πομπαῖς καὶ ταῖς ἑορταῖς, εὐφημίαν προκηρύττοντες, εἶτα περὶ τῶν θεῶν αὐτῶν τὰ δυςφημότατα καὶ λέγοντες καὶ διανοούμενοι.

LXIX. Πῶς οὖν χρηστέον ἐστὶ ταῖς σκυθρωπαῖς καὶ ἀγελάστοις καὶ πενθίμοις θυσίαις, εἰ μήτε παραλιπεῖν τὰ νενομισμένα καλῶς ἔχει, μήτε φύρειν τὰς περὶ θεῶν δόξας, καὶ συνταράττειν ὑποψίαις ἀτόποις; καὶ παρ' Ἕλλησιν ὅμοια πολλὰ γίνεται περὶ τὸν αὐτὸν ὁμοῦ τι χρόνον, οἷς Αἰγύπτιοι δρῶσιν ἐν τοῖς ὁσίοις. καὶ γὰρ Ἀθήνησι νηστεύουσιν αἱ γυναῖκες ἐν Θεσμοφορίοις χαμαὶ καθήμεναι. καὶ Βοιωτοὶ τὰ τῆς Ἀχαιᾶς μέγαρα κινοῦσιν, ἐπαχθῆ τὴν ἑορτὴν ἐκείνην ὀνομάζοντες, ὡς διὰ τὴν τῆς κόρης κάθοδον ἐν ἄχει τῆς Δήμητρος οὔσης. ἔστι δὲ ὁ μὴν οὗτος περὶ πλειάδα σπόριμος, ὃν Ἀθὺρ Αἰγύπτιοι, Πυανεψιῶνα δ' Ἀθηναῖοι, Βοιωτοὶ δὲ Δαμάτριον καλοῦσι. τοὺς δὲ πρὸς ἑσπέραν οἰκοῦντας ἱστορεῖ Θεόπομπος ἡγεῖσθαι καὶ καλεῖν, τὸν μὲν χειμῶνα Κρόνον, τὸ δὲ θέρος Ἀφροδίτην, τὸ δ'

ἔαρ, Περσεφόνην· ἐκ δὲ Κρόνου καὶ Ἀφροδίτης γεννᾶσθαι πάντα. Φρύγες δὲ τὸν θεὸν οἰόμενοι χειμῶνος καθεύδειν, θέρους δ' ἐγρηγορέναι, τοτὲ μὲν κατευνασμοὺς, τοτὲ δ' ἀνεγέρσεις βακχεύοντες αὐτῷ τελοῦσι. Παφλαγόνες δὲ καταδεῖσθαι καὶ καθείργνυσθαι χειμῶνος, ἦρος δὲ κινεῖσθαι καὶ ἀναλύεσθαι φάσκουσι.

LXX. Καὶ δίδωσιν ὁ καιρὸς ὑπόνοιαν ἐπὶ τῶν καρπῶν τῇ ἀποκρύψει γενέσθαι τὸν σκυθρωπασμὸν, οὓς οἱ παλαιοὶ θεοὺς μὲν οὐκ ἐνόμιζον, ἀλλὰ δῶρα θεῶν ἀναγκαῖα καὶ μεγάλα πρὸς τὸ μὴ ζῆν ἀγρίως καὶ θηριωδῶς. καθ' ἣν δὴ ὥραν τοὺς μὲν ἀπὸ δένδρων ἑώρων ἀφανιζομένους παντάπασιν καὶ ἀπολείποντας, τοὺς δὲ καὶ αὐτοὶ κατασπείραντες ἔτι γλίσχρως καὶ ἀπόρως, διαμώμενοι ταῖς χερσὶ τὴν γῆν καὶ περιστέλλοντες αὖθις, ἐπ' ἀδήλῳ τῷ πάλιν ἐκτελεῖσθαι καὶ συντέλειαν ἕξειν ἀποθέμενοι, πολλὰ θάπτουσιν ὅμοια καὶ πενθοῦσιν ἔπραττον. εἶτα ὥσπερ ἡμεῖς τὸν ὠνούμενον βιβλία Πλάτωνος, ὠνεῖσθαι φαμὲν Πλάτωνα, καὶ Μένανδρον ὑποκρίνεσθαι τὸν τὰ Μενάνδρου ποιήματα ὑποτιθέμενον, οὕτως ἐκεῖνοι τοῖς τῶν θεῶν ὀνόμασι τὰ τῶν θεῶν δῶρα καὶ ποιήματα καλεῖν οὐκ ἐφείδοντο, τιμῶντες ὑπὸ χρείας καὶ σεμνύνοντες. οἱ δὲ ὕστερον, ἀπαιδεύτως δεχόμενοι καὶ ἀμαθῶς ἀναστρέφοντες ἐπὶ τοὺς θεοὺς τὰ πάθη τῶν καρπῶν, καὶ τὰς παρουσίας τῶν ἀναγκαίων καὶ ἀποκρύψεις, θεῶν γενέσεις καὶ φθορὰς οὐ προσαγορεύοντες μόνον, ἀλλὰ καὶ νομίζοντες, ἀτόπων καὶ παρανόμων καὶ τεταραγμένων

δοξῶν αὐτοὺς ἐνέπλησαν, καίτοι τοῦ παραλόγου τὴν ἀτοπίαν ἐν ὀφθαλμοῖς ἔχοντες· Ὁ μὲν οὖν Ξενοφάνης ὁ Κολοφώνιος ἠξίωσε τοὺς Αἰγυπτίους, εἰ θεοὺς νομίζουσι, μὴ θρηνεῖν, εἰ δὲ θρηνοῦσι, θεοὺς μὴ νομίζειν· ἄλλως δὲ γελοῖον ἅμα θρηνοῦντας εὔχεσθαι, τοὺς καρποὺς πάλιν ἀναφαίνειν καὶ τελειοῦν ἑαυτούς, ὅπως πάλιν ἀναλίσκωνται καὶ θρηνῶνται.

LXXI. Τὸ δ' οὐκ ἔστι τοιοῦτον, ἀλλὰ θρηνοῦσι μὲν τοὺς καρπούς, εὔχονται δὲ τοῖς αἰτίοις καὶ δοτῆρσι θεοῖς, ἑτέρους πάλιν νέους ποιεῖν καὶ ἀναφύειν ἀντὶ τῶν ἀπολλυμένων. ὅθεν ἄριστα λέγεται παρὰ τοῖς φιλοσόφοις, τὸ τοὺς μὴ μανθάνοντας ὀρθῶς ἀκούειν ὀνομάτων, κακῶς χρῆσθαι καὶ τοῖς πράγμασιν· ὥσπερ Ἑλλήνων, οἱ τὰ χαλκᾶ καὶ τὰ γραπτὰ καὶ λίθινα μὴ μαθόντες μηδ' ἐθισθέντες ἀγάλματα καὶ τιμὰς θεῶν, ἀλλὰ θεοὺς καλεῖν, εἶτα τολμῶντες λέγειν, ὅτι τὴν Ἀθηνᾶν Λαχάρης ἐξέδυσε, τὸν δ' Ἀπόλλωνα χρυσοῦς βοστρύχους ἔχοντα Διονύσιος ἀπέκειρεν, ὁ δὲ Ζεὺς ὁ Καπετώλιος περὶ τὸν ἐμφύλιον πόλεμον ἐνεπρήσθη καὶ διεφθάρη, λανθάνουσιν ἐφελκόμενοι καὶ παραδεχόμενοι δόξας πονηρὰς ἑπομένας τοῖς ὀνόμασιν. τοῦτο δ' οὐχ ἥκιστα πεπόνθασιν Αἰγύπτιοι περὶ τὰ τιμώμενα τῶν ζώων. Ἕλληνες μὲν γὰρ ἔν γε τούτοις λέγουσιν ὀρθῶς καὶ νομίζουσιν, ἱερὸν Ἀφροδίτης ζῷον εἶναι τὴν περιστερὰν, καὶ τὸν δράκοντα τῆς Ἀθηνᾶς, καὶ τὸν κόρακα τοῦ Ἀπόλλωνος, καὶ τὸν κύνα τῆς Ἀρτέμιδος, ὡς Εὐριπίδης·

Ἑκάτης ἄγαλμα φωσφόρου κύων ἔσῃ.

*Αἰγυπτίων δὲ οἱ πολλοὶ θεραπεύοντες αὐτὰ τὰ ζῶα, καὶ περιέποντες ὡς θεοὺς, οὐ γέλωτος μόνον, οὐδὲ χλευασμοῦ, καταπεπλήκασι τὰς ἱερουργίας· ἀλλὰ τοῦτο τῆς ἀβελτηρίας ἐλάχιστόν ἐστι κακόν· δόξα δ' ἐμφύεται δεινὴ, τοὺς μὲν ἀσθενεῖς καὶ ἀκάκους εἰς ἄκρατον ὑπερείπουσα τὴν δεισιδαιμονίαν, τοῖς δὲ δριμυτέροις καὶ θρασυτέροις εἰς ἀθέους ἐμπίπτουσα καὶ θηριώδεις λογισμούς. ἧ καὶ περὶ τούτων τὰ εἰκότα διελθεῖν οὐκ ἀνάρμοστόν ἐστι.*

LXXII. *Τὸ μὲν γὰρ εἰς ταῦτα τὰ ζῶα τοὺς θεοὺς τὸν Τυφῶνα δείσαντας μεταβαλεῖν, οἷον ἀποκρύπτοντας ἑαυτοὺς σώμασιν ἴβεων καὶ κυνῶν καὶ ἱεράκων, πᾶσαν ὑπερπέπαικε τερατείαν καὶ μυθολογίαν· καὶ τὸ ταῖς ψυχαῖς τῶν θανόντων ὅσαι διαμένουσιν, εἰς ταῦτα μόνα γίνεσθαι τὴν παλιγγενεσίαν, ὁμοίως ἄπιστον. τῶν δὲ βουλομένων πολιτικήν τινα λέγειν αἰτίαν, οἱ μὲν Ὄσιριν ἐν τῇ μεγάλῃ στρατιᾷ φασὶν εἰς μέρη πολλὰ διανείμαντα τὴν δύναμιν, (λόχους καὶ τάξεις Ἑλληνικῶς καλοῦσιν) ἐπίσημα δοῦναι ζωόμορφα πᾶσιν, ὧν ἕκαστον τῷ γένει τῶν συννεμηθέντων ἱερὸν γενέσθαι καὶ τίμιον. οἱ δὲ τοὺς ὕστερον βασιλεῖς, ἐκπλήξεως ἕνεκα τῶν πολεμίων, ἐν ταῖς μάχαις ἐπιφαίνεσθαι θηρίων χρυσᾶς προτομὰς καὶ ἀργυρᾶς περιτιθεμένους. ἄλλοι δὲ τῶν δεινῶν τινα καὶ πανούργων βασιλέων ἱστοροῦσι, τοὺς Αἰγυπτίους καταμαθόντα τῇ μὲν φύσει κούφους, καὶ πρὸς μεταβολὴν καὶ νεωτερισμὸν ὀξυῤῥόπους ὄντας, ἄμαχον δὲ καὶ δυςκάθεκτον ὑπὸ πλήθους δύναμιν ἐν τῷ συμφρονεῖν καὶ κοινοπραγεῖν ἔχοντας,*

ἀΐδιον αὐτοῖς ἐγκατασπεῖραι, δείξαντα δεισιδαιμονίαν, διαφορᾶς ἀπαύστου πρόφασιν. τῶν γὰρ θηρίων, ἃ προσέταξεν ἄλλοις ἄλλα τιμᾷν καὶ σέβεσθαι, δυσμενῶς καὶ πολεμικῶς ἀλλήλοις προσφερομένων, καὶ τροφὴν ἑτέραν ἑτέρων προσίεσθαι πεφυκότων, ἀμύνοντες ἀεὶ τοῖς οἰκείοις ἕκαστοι, καὶ χαλεπῶς ἀδικουμένων φέροντες, ἐλάνθανον ταῖς τῶν θηρίων ἔχθραις συνελκόμενοι καὶ συνεκπολεμούμενοι πρὸς ἀλλήλους. μόνοι γὰρ ἔτι νῦν Αἰγυπτίων Λυκοπολῖται πρόβατον ἐσθίουσιν, ἐπεὶ καὶ λύκος, ὃν θεὸν νομίζουσιν· οἱ δὲ Ὀξυρυγχῖται καθ' ἡμᾶς, τῶν Κυνοπολιτῶν τὸν ὀξύρυγχον ἰχθὺν ἐσθιόντων, κύνας συλλαβόντες καὶ θύσαντες, ὡς ἱερεῖον κατέφαγον. ἐκ δὲ τούτου καταστάντες εἰς πόλεμον, ἀλλήλους τε διέθηκαν κακῶς, καὶ ὕστερον ὑπὸ Ῥωμαίων κολαζόμενοι διετέθησαν.

LXXIII. Πολλῶν δὲ λεγόντων εἰς ταῦτα τὰ ζῶα τὴν τοῦ Τυφῶνος αὐτοῦ διῄρασθαι ψυχὴν, αἰνίττεσθαι δόξειεν ἂν ὁ μῦθος, ὅτι πᾶσα φύσις ἄλογος καὶ θηριώδης τῆς τοῦ κακοῦ δαίμονος γέγονε μοίρας, κἀκεῖνον ἐκμειλισσόμενοι καὶ παρηγοροῦντες περιέπουσι ταῦτα καὶ θεραπεύουσιν· ἂν δὲ πολὺς ἐμπίπτῃ καὶ χαλεπὸς αὐχμὸς, ἐπάγων ὑπερβαλλόντως ἢ νόσους ὀλεθρίους ἢ συμφορὰς ἄλλας παραλόγους καὶ ἀλλοκότους, ἔνια τῶν τιμωμένων οἱ ἱερεῖς ἀπάγοντες ὑπὸ σκότους μετὰ σιωπῆς καὶ ἡσυχίας, ἀπειλοῦσι καὶ δεδίττονται τοπρῶτον, ἂν δ' ἐπιμείνῃ, καθιεροῦσι καὶ σφάττουσιν, ὡς δή τινα κολασμὸν τοῦ δαίμονος τοῦτον, ἢ καθαρμὸν ἄλλως μέγαν

ἐπὶ μεγίστοις· καὶ γὰρ ἐν Εἰληθυίας πόλει ζῶντας ἀνθρώπους κατεπίμπρασαν, ὡς Μανεθὼς ἱστόρηκε, Τυφωνίους καλοῦντες, καὶ τὴν τέφραν αὐτῶν λικμῶντες ἠφάνιζον καὶ διέσπειρον. ἀλλὰ τοῦτο μὲν ἐδρᾶτο φανερῶς καὶ καθ' ἕνα καιρὸν ἐν ταῖς κυνάσιν ἡμέραις· αἱ δὲ τῶν τιμωμένων ζώων καθιερεύσεις ἀπόῤῥητοι καὶ χρόνοις ἀτάκτοις πρὸς τὰ συμπίπτοντα γινόμεναι, τοὺς πολλοὺς λανθάνουσι, πλὴν ὅταν ταφὰς ἔχωσι, καὶ τῶν ἄλλων ἀναδεικνύντες ἔνια πάντων παρόντων συνεμβάλωσιν, οἰόμενοι τοῦ Τυφῶνος ἀντιλυπεῖν καὶ κολούειν τὸ ἡδόμενον. ὁ γὰρ Ἆπις δοκεῖ μετ' ὀλίγων ἄλλων ἱερὸς εἶναι τοῦ Ὀσίριδος· ἐκείνῳ δὲ τὰ πλεῖστα προςνέμουσι. κἂν ἀληθὴς ὁ λόγος οὗτος, σημαίνειν ἡγοῦμαι τὸ ζητούμενον ἐπὶ τῶν ὁμολογουμένων καὶ κοινὰς ἐχόντων τὰς τιμάς. οἷόν ἐστιν ἶβις καὶ ἱέραξ καὶ κυνοκέφαλος, αὐτὸς ὁ Ἆπις. οὕτω δὴ γὰρ τὸν ἐν Μένδητι τράγον καλοῦσι.

LXXIV. Λείπεται δὲ δὴ τὸ χρειῶδες καὶ τὸ συμβολικὸν, ὧν ἔνια θατέρου, πολλὰ δ' ἀμφοῖν μετέσχηκε. βοῦν μὲν οὖν καὶ πρόβατον καὶ ἰχνεύμονα δῆλον ὅτι χρείας ἕνεκα καὶ ὠφελείας ἐτίμησαν· ὡς Λήμνιοι κορύδους, τὰ τῶν ἀττελάβων εὑρίσκοντας ᾠὰ καὶ κόπτοντας· Θεσσαλοὶ δὲ πελαργοὺς, ὅτι πολλοὺς ὄφεις τῆς γῆς ἀναδιδούσης ἐπιφανέντες ἐξώλεσαν ἅπαντας· διὸ καὶ νόμον ἔθεντο φεύγειν, ὅςις ἂν ἀποκτείνῃ πελαργόν. ἀσπίδα δὲ καὶ γαλῆν καὶ κάνθαρον, εἰκόνας τινὰς ἐν αὐτοῖς ἀμαυρὰς, ὥςπερ ἐν σταγόσιν ἡλίου, τῆς τῶν θεῶν δυνάμεως κατιδόν-

τες· τὴν μὲν γὰρ γαλῆν ἔτι πολλοὶ νομίζουσι καὶ λέγουσι κατὰ τὸ οὖς ὀχευομένην, τῷ δὲ στόματι τίκτουσαν, εἴκασμα τῆς τοῦ λόγου γενέσεως εἶναι· τὸ δὲ κανθάρων γένος οὐκ ἔχειν θήλειαν, ἄῤῥενας δὲ πάντας ἀφιέναι τὸν γόνον εἰς τὴν σφαιροποιουμένην ὕλην, ἣν κυλινδοῦσιν ἀντιβάδην ὠθοῦντες, ὥςπερ δοκεῖ τὸν οὐρανὸν ὁ ἥλιος ἐς τοὐναντίον περιστρέφειν, αὐτὸς ἀπὸ δυσμῶν ἐπὶ τὰς ἀνατολὰς φερόμενος. ἀσπίδα δὲ, ὡς ἀγήρω καὶ χρωμένην κινήσεσιν ἀνοργάνοις μετ' εὐπετείας καὶ ὑγρότητος ἄςρῳ προςείκασαν.

LXXV. Οὐ μὴν οὐδὲ ὁ κροκόδειλος αἰτίας πιθανῆς ἀμοιροῦσαν ἔσχηκε τιμήν; ἀλλὰ μίμημα θεοῦ λέγεται γεγονέναι, μόνος μὲν ἄγλωσσος ὤν. φωνῆς γὰρ ὁ θεῖος λόγος ἀπροςδεής ἐστι, καὶ δι' ἀψόφου βαίνων κελεύθου καὶ δίκης τὰ θνητὰ ἄγει κατὰ δίκην. μόνου δέ φασιν ἐν ὑγρῷ διαιτωμένου τὰς ὄψεις ὑμένα λεῖον καὶ διαφανῆ παρακαλύπτειν ἐκ τοῦ μετώπου κατερχόμενον, ὥςτε βλέπειν μὴ βλεπόμενον, ὃ τῷ πρώτῳ θεῷ συμβέβηκεν. ὅπου δ' ἂν ἡ θήλεια τῆς χώρας ἀποτέκῃ, τοῦτο Νείλου πέρας ἐπίσταται τῆς αὐξήσεως γενόμενον. ἐν ὑγρῷ γὰρ οὐ δυνάμεναι, πόῤῥω δὲ φοβούμεναι τίκτειν, οὕτως ἀκριβῶς προαισθάνονται τὸ μέλλον, ὥςτε τῷ ποταμῷ προςελθόντι χρῆσθαι λοχευόμεναι καὶ θάλπουσαι, τὰ δ' ὠὰ ξηρὰ καὶ ἄβρεκτα φυλάσσειν. ἑξήκοντα δὲ τίκτουσιν· καὶ τοσαύταις ἡμέραις ἐκλέπουσι, καὶ τοσούτους ζῶσιν ἐνιαυτοὺς οἱ μακρότατον ζῶντες, ὃ τῶν μέτρων πρῶτόν ἐστι τοῖς περὶ τὰ οὐράνια πρα-

γματευομένοις. ἀλλὰ μὴν τῶν δι᾽ ἀμφότερα τιμωμένων, περὶ μὲν τοῦ κυνὸς εἴρηται πρόσθεν· ἡ δ᾽ ἶβις ἀποκτείνουσα μὲν τὰ θανατηφόρα τῶν ἑρπετῶν, ἐδίδαξε πρώτη κενώματος ἰατρικοῦ χρείαν κατιδόντας, οὕτω κλυζομένην καὶ καθαιρομένην ὑφ᾽ ἑαυτῆς, οἱ δὲ νομιμώτατοι τῶν ἱερέων καθάρσιον ὕδωρ ἁγνιζόμενοι λαμβάνουσιν, ὅθεν ἶβις πέπωκεν. οὐ πίνει γὰρ ἢ νοσῶδες, ἢ πεφαρμαγμένον, οὐδὲ πρόςεισι· τῇ δὲ τῶν ποδῶν διαβάσει πρὸς ἀλλήλους καὶ τὸ ῥύγχος ἰσόπλευρον ποιεῖ τρίγωνον. ἔτι δὲ ἡ τῶν μελάνων πτερῶν περὶ τὰ λευκὰ ποικιλία καὶ μίξις ἐμφαίνει σελήνην ἀμφίκυρτον. οὐ δεῖ δὲ θαυμάζειν, εἰ γλίσχρας ὁμοιότητας οὕτως ἠγάπησαν Αἰγύπτιοι. καὶ Ἕλληνες ἔν τε γραπτοῖς ἔν τε πλαστοῖς, εἰκάσμασι θεῶν ἐχρήσαντο πολλοῖς τοιούτοις. οἷον ἐν Κρήτῃ Διὸς ἦν ἄγαλμα μὴ ἔχον ὦτα· τῷ γὰρ ἄρχοντι καὶ κυρίῳ πάντων, οὐδενὸς ἀκούειν προςήκει. τῷ δὲ τῆς Ἀθηνᾶς, τὸν δράκοντα Φειδίας παρέθηκε· τῷ δὲ τῆς Ἀφροδίτης ἐν Ἤλιδι, τὴν χελώνην, ὡς τὰς μὲν παρθένους φυλακῆς δεομένας, ταῖς δὲ γαμεταῖς οἰκουρίαν καὶ σιωπὴν πρέπουσαν. ἡ δὲ τοῦ Ποσειδῶνος τρίαινα σύμβολόν ἐστι τῆς τρίτης χώρας, ἣν θάλαττα κατέχει μετὰ τὸν οὐρανὸν καὶ τὸν ἀέρα τεταγμένη. διὸ καὶ τὴν ἀμφιτρίτην καὶ τοὺς τρίτωνας οὕτως ὠνόμασαν. οἱ δὲ Πυθαγόρειοι καὶ ἀριθμοὺς καὶ σχήματα θεῶν ἐκόσμησαν προςηγορίαις. τὸ μὲν γὰρ ἰσόπλευρον τρίγωνον, ἐκάλουν Ἀθηνᾶν κορυφαγενῆ καὶ τριτογένειαν, ὅτι τρισὶ καθέτοις ἀπὸ τῶν τριῶν γωνιῶν ἀγομέναις δι-

αἱρεῖται· τὸ δὲ ἓν, Ἀπόλλωνα, πείθουσα προφάσει καὶ διπλοτάτοις μονάδος· ἔριν δὲ, τὴν δυάδα καὶ τόλμαν· δίκην δὲ, τὴν τριάδα. τοῦ γὰρ ἀδικεῖν καὶ ἀδικεῖσθαι κατ' ἔλλειψιν καὶ ὑπερβολὴν ὄντος, ἰσότητι δίκαιον ἐν μέσῳ γέγονεν· ἡ δὲ καλουμένη τετρακτὺς τὰ ἓξ καὶ τριάκοντα, μέγιστος ἦν ὅρκος, ὡς τεθρύλληται· καὶ κόσμος ὠνόμασται, τεσσάρων μὲν ἀρτίων τῶν πρώτων, τεσσάρων δὲ τῶν περισσῶν εἰς τὸ αὐτὸ συντιθεμένων, ἀποτελούμενος.

LXXVI. Εἴπερ οὖν οἱ δοκιμώτατοι τῶν φιλοσόφων, οὐδ' ἐν ἀψύχοις καὶ ἀσωμάτοις πράγμασιν αἴνιγμα τοῦ θείου κατιδόντες ἠξίουν ἀμελεῖν οὐδὲν, οὐδ' ἀτιμάζειν, ἔτι μᾶλλον οἴομαι τὰς ἐν αἰσθανομέναις καὶ ψυχὴν ἐχούσαις καὶ πάθος καὶ ἦθος φύσεσιν ἰδιότητας κατὰ τὸ ἦθος. ἀγαπητέον οὖν οὐ ταῦτα τιμῶντας, ἀλλὰ διὰ τούτων τὸ θεῖον, ὡς ἐναργεστέρων ἐσόπτρων καὶ φύσει γεγονότων, ὡς ὄργανον ἢ τέχνην ἀεὶ τοῦ πάντα κοσμοῦντος θεοῦ νομίζειν καλῶς. ἄξιόν τε μηδὲν ἄψυχον ἐμψύχου, μηδ' ἀναίσθητον αἰσθανομένου κρεῖττον εἶναι· μηδ' ἂν τὸν σύμπαντά τις χρυσὸν ὁμοῦ καὶ σμάραγδον εἰς ταὐτὸ συμφορήσῃ. οὐκ ἐν χροιαῖς γὰρ, οὐδ' ἐν σχήμασιν, οὐδ' ἐν λειότησιν ἐγγίνεται τὸ θεῖον, ἀλλ' ἀτιμοτέραν ἔχει νεκρῶν μοῖραν, ὅσα μὴ μετέσχε, μηδὲ μετέχειν τοῦ ζῆν πέφυκεν. ἡ δὲ ζῶσα καὶ βλέπουσα καὶ κινήσεως ἀρχὴν ἐξ αὑτῆς ἔχουσα, καὶ γνῶσιν οἰκείων καὶ ἀλλοτρίων φύσις, ἄλλως τε ἔσπακεν ἀποῤῥοὴν καὶ μοῖραν ἐκ τοῦ φρονοῦντος, ὅπως κυβερνᾶται τὸ σύμπαν καθ' Ἡράκλειτον. ὅθεν οὐ χεῖρον ἐν τού-

τοις εἰκάζεται τὸ θεῖον, ἢ χαλκείοις καὶ λιθίνοις δημιουργήμασιν, ἃ φθορὰς μὲν ὁμοίως δέχεται καὶ ἐπιχρώσεις, αἰσθήσεως δὲ πάσης φύσει καὶ συνέσεως ἐστέρηται. περὶ μὲν οὖν τῶν τιμωμένων ζώων ταῦτα δοκιμάζω μάλιστα τῶν λεγομένων.

LXXVII. Στολαὶ δὲ αἱ μὲν Ἴσιδος, ποικίλαι ταῖς βαφαῖς· (περὶ γὰρ ὕλην ἡ δύναμις αὐτῆς, πάντα γινομένην καὶ δεχομένην, φῶς, σκότος· ἡμέραν, νύκτα· πῦρ, ὕδωρ· ζωήν, θάνατον· ἀρχήν, τελευτήν) ἡ δ᾽ Ὀσίριδος οὐκ ἔχει σκιὰν, οὐδὲ ποικιλμὸν, ἀλλὰ ἓν ἁπλοῦν τὸ φωτοειδές· ἄκρατον γὰρ ἡ ἀρχὴ, καὶ ἀμιγὲς τὸ πρῶτον καὶ νοητόν. ὅθεν ἅπαξ ταύτα ἀναλαβόντες, ἀποτίθενται καὶ φυλάττουσιν, τὸ γὰρ νοητὸν ἀόρατον καὶ ἄψαυστον· τοῖς δ᾽ Ἰσιακοῖς χρῶνται πολλάκις, ἐν χρήσει γὰρ τὰ αἰσθητὰ καὶ πρόχειρα ὄντα πολλὰς ἀναπτύξεις καὶ θέας αὐτῶν ἄλλοτ᾽ ἄλλως ἀμειβομένων δίδωσιν. ἡ δὲ τοῦ νοητοῦ καὶ εἰλικρινοῦς καὶ ἁγίου νόησις, ὥσπερ ἀστραπὴ διαλάμψασα, τῇ ψυχῇ ἅπαξ ποτὲ θιγεῖν καὶ προσιδεῖν παρέσχε. διὸ καὶ Πλάτων καὶ Ἀριστοτέλης ἐποπτικὸν τοῦτο τὸ μέρος τῆς φιλοσοφίας καλοῦσιν, ὡς οἱ τὰ δοξαστὰ καὶ μικτὰ καὶ παντοδαπὰ ταῦτα παραμειψάμενοι τῷ λόγῳ, πρὸς τὸ πρῶτον ἐκεῖνο καὶ ἁπλοῦν καὶ ἄϋλον ἐξάλλονται, καὶ θιγόντες ἀληθῶς τῆς περὶ αὐτὸ καθαρᾶς ἀληθείας, οἷον ἐντελῆ, τέλος ἔχειν φιλοσοφίαν νομίζουσι.

LXXVIII. Καὶ τοῦτο ὅπερ οἱ νῦν ἱερεῖς ἀφοσιούμενοι καὶ παρακαλυπτόμενοι μετ᾽ εὐλαβείας ὑποδηλοῦσιν, ὡς ὁ θεὸς οὗτος ἄρχει καὶ βασιλεύει τῶν

τεθνηκότων, οὐχ ἕτερος ὢν τοῦ καλουμένου παρ' Ἕλλησιν ᾅδου καὶ Πλούτωνος, ἀγνοούμενον, ὅπως ἀληθές ἐστι, διαταράττει τοὺς πολλοὺς ὑπονοοῦντας ἐν γῇ καὶ ὑπὸ γῆν τὸν ἱερὸν καὶ ὅσιον ὡς ἀληθῶς Ὄσιριν οἰκεῖν, ὅπου τὰ σώματα κρύπτεται τῶν τέλος ἔχειν δοκούντων. ὁ δ' ἔστι μὲν αὐτὸς ἀπωτάτω τῆς γῆς ἄχραντος καὶ ἀμίαντος καὶ καθαρὸς οὐσίας ἁπάσης φθορὰν δεχομένης καὶ θάνατον. ἀνθρώπων δὲ ψυχαῖς ἐνταυθοῖ μὲν ὑπὸ σωμάτων καὶ παθῶν περιεχομέναις οὐκ ἔστι μετουσία τοῦ θεοῦ, πλὴν ὅσον ὀνείρατος ἀμαυροῦ θιγεῖν νοήσει διὰ φιλοσοφίας. ὅταν δ' ἀπολυθεῖσαι μεταστῶσιν εἰς τὸ ἀειδὲς καὶ ἀόρατον καὶ ἀπαθὲς καὶ ἁγνὸν, οὗτος αὐταῖς ἡγεμών ἐστι καὶ βασιλεὺς ὁ θεὸς, ἐξηρτημέναις ὡς ἂν ἀπ' αὐτοῦ καὶ θεωμέναις ἀπλήστως καὶ ποθούσαις τὸ μὴ φατὸν, μηδὲ ῥητὸν ἀνθρώποις κάλλος· οὗ τὴν Ἶσιν ὁ παλαιὸς ἀποφαίνει λόγος ἐρῶσαν ἀεὶ καὶ διώκουσαν καὶ συνοῦσαν, ἀναπιμπλάναι τὰ ἐνταῦθα πάντων καλῶν καὶ ἀγαθῶν, ὅσα γενέσεως μετέσχηκε. ταῦτα μὲν οὖν οὕτως ἔχει τὸν μάλιστα θεοῖς πρέποντα λόγον.

LXXX. Εἰ δὲ δεῖ καὶ περὶ τῶν θυμιωμένων ἡμέρας ἑκάστης εἰπεῖν, ὥςπερ ὑπεσχόμην, ἐκεῖνο διανοηθείη τις πρότερον, ὡς ἀεὶ μὲν οἱ ἄνδρες ἐν σπουδῇ μεγίστῃ τίθενται τὰ πρὸς ὑγίειαν ἐπιτηδεύματα, μάλιστα δὲ ταῖς ἱερουργίαις καὶ ταῖς ἁγνείαις καὶ διαίταις οὐχ ἧττόν ἐστι τουτὶ τοῦ ὁσίου τὸ ὑγιεινόν. οὐ γὰρ ᾤοντο καλῶς ἔχειν οὔτε σώμασιν, οὔτε ψυχαῖς ὑπούλοις καὶ νοσώδεσι θεραπεύειν τὸ καθαρὸν

καὶ ἀβλαβὲς πάντῃ καὶ ἀμίαντον. ἐπεὶ τοίνυν ὁ ἀὴρ, ᾧ πλεῖστα χρώμεθα καὶ σύνεσμεν, οὐκ ἀεὶ τὴν αὐτὴν ἔχει διάθεσιν καὶ κρᾶσιν, ἀλλὰ νύκτωρ πυκνοῦται καὶ πιέζει τὸ σῶμα καὶ συνάγει τὴν ψυχὴν εἰς τὸ δύσθυμον καὶ πεφροντικὸς, οἷον ἀχλυώδη γινομένην καὶ βαρεῖαν, ἀναστάντες εὐθὺς ἐπιθυμιῶσι ῥητίνην, θεραπεύοντες καὶ καθαίροντες τὸν ἀέρα τῇ διακρίσει, καὶ τὸ σύμφυτον τῷ σώματι πνεῦμα μεμαρασμένον ἀναῤῥιπίζοντες, ἐχούσης τι τῆς ὀσμῆς σφοδρὸν καὶ καταπληκτικόν. αὖθις δὲ μεσημβρίας αἰσθανόμενοι σφόδρα πολλὴν καὶ βαρεῖαν ἀναθυμίασιν ἀπὸ γῆς ἕλκοντα βίᾳ τὸν ἥλιον καὶ καταμιγνύοντα τῷ ἀέρι, τὴν σμύρναν ἐπιθυμιῶσι. διαλύει γὰρ ἡ θερμότης καὶ σκίδνησι τὸ συνιστάμενον ἐν τῷ περιέχοντι θολερὸν καὶ ἰλυῶδες. καὶ γὰρ οἱ ἰατροὶ πρὸς τὰ λοιμικὰ πάθη βοηθεῖν δοκοῦσι φλόγα πολλὴν ποιοῦντες ὡς λεπτύνουσαν τὸν ἀέρα. λεπτύνει δὲ βέλτιον, ἐὰν εὐώδη ξύλα καίωσιν, οἷα κυπαρίττου καὶ ἀρκεύθου καὶ πεύκης. Ἄκρωνα γοῦν τὸν ἰατρὸν ἐν Ἀθήναις ὑπὸ τὸν μέγαν λοιμὸν εὐδοκιμῆσαι λέγουσι, πῦρ κελεύοντα παρακαίειν τοῖς νοσοῦσιν· ὤνησε γὰρ οὐκ ὀλίγους. Ἀριστοτέλης δέ φησι καὶ μύρων καὶ ἀνθέων καὶ λειμώνων εὐώδεις ἀποπνοίας οὐκ ἔλαττον ἔχειν τοῦ πρὸς ἡδονὴν τὸ πρὸς ὑγείαν, ψυχρὸν ὄντα φύσει καὶ παγετώδη τὸν ἐγκέφαλον ἠρέμα τῇ θερμότητι καὶ λειότητι διαχεύσας. εἰ δὲ καὶ τὴν σμύρναν παρ᾽ Αἰγυπτίοις Βὰλ καλοῦσιν, ἐξερμηνευθὲν δὲ τοῦτο μάλιστα φράζει τῆς ληρήσεως

δοξῶν αὐτοὺς ἐνέπλησαν, καίτοι τοῦ παραλόγου τὴν ἀτοπίαν ἐν ὀφθαλμοῖς ἔχοντες· Ὁ μὲν οὖν Ξενοφάνης ὁ Κολοφώνιος ἠξίωσε τοὺς Αἰγυπτίους, εἰ θεοὺς νομίζουσι, μὴ θρηνεῖν, εἰ δὲ θρηνοῦσι, θεοὺς μὴ νομίζειν· ἄλλως δὲ γελοῖον ἅμα θρηνοῦντας εὔχεσθαι, τοὺς καρποὺς πάλιν ἀναφαίνειν καὶ τελειοῦν ἑαυτοὺς, ὅπως πάλιν ἀναλίσκωνται καὶ θρηνῶνται.

LXXI. Τὸ δ' οὐκ ἔστι τοιοῦτον, ἀλλὰ θρηνοῦσι μὲν τοὺς καρποὺς, εὔχονται δὲ τοῖς αἰτίοις καὶ δοτῆρσι θεοῖς, ἑτέρους πάλιν νέους ποιεῖν καὶ ἀναφύειν ἀντὶ τῶν ἀπολλυμένων. ὅθεν ἄριστα λέγεται παρὰ τοῖς φιλοσόφοις, τὸ τοὺς μὴ μανθάνοντας ὀρθῶς ἀκούειν ὀνομάτων, κακῶς χρῆσθαι καὶ τοῖς πράγμασιν· ὥςπερ Ἑλλήνων, οἱ τὰ χαλκᾶ καὶ τὰ γραπτὰ καὶ λίθινα μὴ μαθόντες μηδ' ἐθισθέντες ἀγάλματα καὶ τιμὰς θεῶν, ἀλλὰ θεοὺς καλεῖν, εἶτα τολμῶντες λέγειν, ὅτι τὴν Ἀθηνᾶν Λαχάρης ἐξέδυσε, τὸν δ' Ἀπόλλωνα χρυσοῦς βοστρύχους ἔχοντα Διονύσιος ἀπέκειρεν, ὁ δὲ Ζεὺς ὁ Καπετώλιος περὶ τὸν ἐμφύλιον πόλεμον ἐνεπρήσθη καὶ διεφθάρη, λανθάνουσιν ἐφελκόμενοι καὶ παραδεχόμενοι δόξας πονηρὰς ἑπομένας τοῖς ὀνόμασιν. τοῦτο δ' οὐχ ἥκιστα πεπόνθασιν Αἰγύπτιοι περὶ τὰ τιμώμενα τῶν ζώων. Ἕλληνες μὲν γὰρ ἔν γε τούτοις λέγουσιν ὀρθῶς καὶ νομίζουσιν, ἱερὸν Ἀφροδίτης ζῶον εἶναι τὴν περιστερὰν, καὶ τὸν δράκοντα τῆς Ἀθηνᾶς, καὶ τὸν κόρακα τοῦ Ἀπόλλωνος, καὶ τὸν κύνα τῆς Ἀρτέμιδος, ὡς Εὐριπίδης·

Ἑκάτης ἄγαλμα φωσφόρου κύων ἔσῃ.

*Αἰγυπτίων δὲ οἱ πολλοὶ θεραπεύοντες αὐτὰ τὰ ζῶα, καὶ περιέποντες ὡς θεοὺς, οὐ γέλωτος μόνον, οὐδὲ χλευασμοῦ, καταπεπλήκασι τὰς ἱερουργίας· ἀλλὰ τοῦτο τῆς ἀβελτηρίας ἐλάχιστόν ἐστι κακόν· δόξα δ᾽ ἐμφύεται δεινὴ, τοὺς μὲν ἀσθενεῖς καὶ ἀκάκους εἰς ἄκρατον ὑπερείπουσα τὴν δεισιδαιμονίαν, τοῖς δὲ δριμυτέροις καὶ θρασυτέροις εἰς ἀθέους ἐμπίπτουσα καὶ θηριώδεις λογισμούς. ἢ καὶ περὶ τούτων τὰ εἰκότα διελθεῖν οὐκ ἀνάρμοστόν ἐστι.*

LXXII. *Τὸ μὲν γὰρ εἰς ταῦτα τὰ ζῶα τοὺς θεοὺς τὸν Τυφῶνα δείσαντας μεταβαλεῖν, οἷον ἀποκρύπτοντας ἑαυτοὺς σώμασιν ἴβεων καὶ κυνῶν καὶ ἱεράκων, πᾶσαν ὑπερπέπαικε τερατείαν καὶ μυθολογίαν· καὶ τὸ ταῖς ψυχαῖς τῶν θανόντων ὅσαι διαμένουσιν, εἰς ταῦτα μόνα γίνεσθαι τὴν παλιγγενεσίαν, ὁμοίως ἄπιστον. τῶν δὲ βουλομένων πολιτικήν τινα λέγειν αἰτίαν, οἱ μὲν Ὄσιριν ἐν τῇ μεγάλῃ στρατιᾷ φασὶν εἰς μέρη πολλὰ διανείμαντα τὴν δύναμιν, (λόχους καὶ τάξεις Ἑλληνικῶς καλοῦσιν) ἐπίσημα δοῦναι ζωόμορφα πᾶσιν, ὧν ἕκαστον τῷ γένει τῶν συννεμηθέντων ἱερὸν γενέσθαι καὶ τίμιον. οἱ δὲ τοὺς ὕστερον βασιλεῖς, ἐκπλήξεως ἕνεκα τῶν πολεμίων, ἐν ταῖς μάχαις ἐπιφαίνεσθαι θηρίων χρυσᾶς προτομὰς καὶ ἀργυρᾶς περιτιθεμένους. ἄλλοι δὲ τῶν δεινῶν τινα καὶ πανούργων βασιλέων ἱστοροῦσι, τοὺς Αἰγυπτίους καταμαθόντα τῇ μὲν φύσει κούφους, καὶ πρὸς μεταβολὴν καὶ νεωτερισμὸν ὀξυῤῥόπους ὄντας, ἄμαχον δὲ καὶ δυςκάθεκτον ὑπὸ πλήθους δύναμιν ἐν τῷ συμφρονεῖν καὶ κοινοπραγεῖν ἔχοντας,*

ἴδιον αὐτοῖς ἐγκατασπεῖραι, δείξαντα δεισιδαιμονίαν, διαφορᾶς ἀπαύστου πρόφασιν. τῶν γὰρ θηρίων, ἃ προσέταξεν ἄλλοις ἄλλα τιμᾷν καὶ σέβεσθαι, δυσμενῶς καὶ πολεμικῶς ἀλλήλοις προσφερομένων, καὶ τροφὴν ἑτέραν ἑτέρων προσίεσθαι πεφυκότων, ἀμύνοντες ἀεὶ τοῖς οἰκείοις ἕκαστοι, καὶ χαλεπῶς ἀδικουμένων φέροντες, ἐλάνθανον ταῖς τῶν θηρίων ἔχθραις συνελκόμενοι καὶ συνεκπολεμούμενοι πρὸς ἀλλήλους. μόνοι γὰρ ἔτι νῦν Αἰγυπτίων Λυκοπολῖται πρόβατον ἐσθίουσιν, ἐπεὶ καὶ λύκος, ὃν θεὸν νομίζουσιν· οἱ δὲ Ὀξυρυγχῖται καθ᾽ ἡμᾶς, τῶν Κυνοπολιτῶν τὸν ὀξύρυγχον ἰχθὺν ἐσθιόντων, κύνας συλλαβόντες καὶ θύσαντες, ὡς ἱερεῖον κατέφαγον. ἐκ δὲ τούτου καταστάντες εἰς πόλεμον, ἀλλήλους τε διέθηκαν κακῶς, καὶ ὕστερον ὑπὸ Ῥωμαίων κολαζόμενοι διετέθησαν.

LXXIII. Πολλῶν δὲ λεγόντων εἰς ταῦτα τὰ ζῶα τὴν τοῦ Τυφῶνος αὐτοῦ διῃρῆσθαι ψυχὴν, αἰνίττεσθαι δόξειεν ἂν ὁ μῦθος, ὅτι πᾶσα φύσις ἄλογος καὶ θηριώδης τῆς τοῦ κακοῦ δαίμονος γέγονε μοίρας, κἀκεῖνον ἐκμειλισσόμενοι καὶ παρηγοροῦντες περιέπουσι ταῦτα καὶ θεραπεύουσιν· ἂν δὲ πολὺς ἐμπίπτῃ καὶ χαλεπὸς αὐχμὸς, ἐπάγων ὑπερβαλλόντως ἢ νόσους ὀλεθρίους ἢ συμφορὰς ἄλλας παραλόγους καὶ ἀλλοκότους, ἔνια τῶν τιμωμένων οἱ ἱερεῖς ἀπάγοντες ὑπὸ σκότους μετὰ σιωπῆς καὶ ἡσυχίας, ἀπειλοῦσι καὶ δεδίττονται τοπρῶτον, ἂν δ᾽ ἐπιμείνῃ, καθιεροῦσι καὶ σφάττουσιν, ὡς δή τινα κολασμὸν ὄντα τοῦ δαίμονος τοῦτον, ἢ καθαρμὸν ἄλλως μέγαν

ἐπὶ μεγίστοις· καὶ γὰρ ἐν Εἰληθυίας πόλει ζῶντας ἀνθρώπους κατεπίμπρασαν, ὡς Μανεθὼς ἱστόρηκε, Τυφωνίους καλοῦντες, καὶ τὴν τέφραν αὐτῶν λικμῶντες ἠφάνιζον καὶ διέσπειρον. ἀλλὰ τοῦτο μὲν ἐδρᾶτο φανερῶς καὶ καθ' ἕνα καιρὸν ἐν ταῖς κυνάσιν ἡμέραις· αἱ δὲ τῶν τιμωμένων ζώων καθιερεύσεις ἀπόῤῥητοι καὶ χρόνοις ἀτάκτοις πρὸς τὰ συμπίπτοντα γινόμεναι, τοὺς πολλοὺς λανθάνουσι, πλὴν ὅταν ταφὰς ἔχωσι, καὶ τῶν ἄλλων ἀναδεικνύντες ἔνια πάντων παρόντων συνεμβάλωσιν, οἰόμενοι τοῦ Τυφῶνος ἀντιλυπεῖν καὶ κολούειν τὸ ἡδόμενον. ὁ γὰρ Ἆπις δοκεῖ μετ' ὀλίγων ἄλλων ἱερὸς εἶναι τοῦ Ὀσίριδος· ἐκείνῳ δὲ τὰ πλεῖστα προσνέμουσι. κἂν ἀληθὴς ὁ λόγος οὗτος, σημαίνειν ἡγοῦμαι τὸ ζητούμενον ἐπὶ τῶν ὁμολογουμένων καὶ κοινὰς ἐχόντων τὰς τιμάς. οἷόν ἐστιν ἶβις καὶ ἱέραξ καὶ κυνοκέφαλος, αὐτὸς ὁ Ἆπις. οὕτω δὴ γὰρ τὸν ἐν Μένδητι τράγον καλοῦσι.

LXXIV. Λείπεται δὲ δὴ τὸ χρειῶδες καὶ τὸ συμβολικὸν, ὧν ἔνια θατέρου, πολλὰ δ' ἀμφοῖν μετέσχηκε. βοῦν μὲν οὖν καὶ πρόβατον καὶ ἰχνεύμονα δῆλον ὅτι χρείας ἕνεκα καὶ ὠφελείας ἐτίμησαν· ὡς Λήμνιοι κορύδους, τὰ τῶν ἀττελάβων εὑρίσκοντας ὠὰ καὶ κόπτοντας· Θεσσαλοὶ δὲ πελαργοὺς, ὅτι πολλοὺς ὄφεις τῆς γῆς ἀναδιδούσης ἐπιφανέντες ἐξώλεσαν ἅπαντας· διὸ καὶ νόμον ἔθεντο φεύγειν, ὅστις ἂν ἀποκτείνῃ πελαργόν. ἀσπίδα δὲ καὶ γαλῆν καὶ κάνθαρον, εἰκόνας τινὰς ἐν αὐτοῖς ἀμαυρὰς, ὥσπερ ἐν σταγόσιν ἡλίου, τῆς τῶν θεῶν δυνάμεως κατιδόν-

τες· τὴν μὲν γὰρ γαλῆν ἔτι πολλοὶ νομίζουσι καὶ λέγουσι κατὰ τὸ οὖς ὀχευομένην, τῷ δὲ στόματι τίκτουσαν, εἴκασμα τῆς τοῦ λόγου γενέσεως εἶναι· τὸ δὲ κανθάρων γένος οὐκ ἔχειν θήλειαν, ἄῤῥενας δὲ πάντας ἀφιέναι τὸν γόνον εἰς τὴν σφαιροποιουμένην ὕλην, ἣν κυλινδοῦσιν ἀντιβάδην ὠθοῦντες, ὥςπερ δοκεῖ τὸν οὐρανὸν ὁ ἥλιος ἐς τοὐναντίον περιστρέφειν, αὐτὸς ἀπὸ δυσμῶν ἐπὶ τὰς ἀνατολὰς φερόμενος. ἀσπίδα δὲ, ὡς ἀγήρω καὶ χρωμένην κινήσεσιν ἀνοργάνοις μετ' εὐπετείας καὶ ὑγρότητος ἄςρῳ προςείκασαν.

LXXV. Οὐ μὴν οὐδὲ ὁ κροκόδειλος αἰτίας πιθανῆς ἀμοιροῦσαν ἔσχηκε τιμήν; ἀλλὰ μίμημα θεοῦ λέγεται γεγονέναι, μόνος μὲν ἄγλωσσος ὤν. φωνῆς γὰρ ὁ θεῖος λόγος ἀπροςδεής ἐστι, καὶ δι' ἀψόφου βαίνων κελεύθου καὶ δίκης τὰ θνητὰ ἄγει κατὰ δίκην. μόνου δέ φασιν ἐν ὑγρῷ διαιτωμένου τὰς ὄψεις ὑμένα λεῖον καὶ διαφανῆ παρακαλύπτειν ἐκ τοῦ μετώπου κατερχόμενον, ὥςτε βλέπειν μὴ βλεπόμενον, ὃ τῷ πρώτῳ θεῷ συμβέβηκεν. ὅπου δ' ἂν ἡ θήλεια τῆς χώρας ἀποτέκῃ, τοῦτο Νείλου πέρας ἐπίσταται τῆς αὐξήσεως γενόμενον. ἐν ὑγρῷ γὰρ οὐ δυνάμεναι, πόῤῥω δὲ φοβούμεναι τίκτειν, οὕτως ἀκριβῶς προαισθάνονται τὸ μέλλον, ὥςτε τῷ ποταμῷ προςελθόντι χρῆσθαι λοχευόμεναι καὶ θάλπουσαι, τὰ δ' ᾠὰ ξηρὰ καὶ ἄβρεκτα φυλάσσειν. ἑξήκοντα δὲ τίκτουσιν· καὶ τοσαύταις ἡμέραις ἐκλέπουσι, καὶ τοσούτους ζῶσιν ἐνιαυτοὺς οἱ μακρότατον ζῶντες, ὃ τῶν μέτρων πρῶτόν ἐστι τοῖς περὶ τὰ οὐράνια πρα-

γματευομένοις. ἀλλὰ μὴν τῶν δι' ἀμφότερα τιμωμένων, περὶ μὲν τοῦ κυνὸς εἴρηται πρόσθεν· ἡ δ' ἶβις ἀποκτείνουσα μὲν τὰ θανατηφόρα τῶν ἑρπετῶν, ἐδίδαξε πρώτη κενώματος ἰατρικοῦ χρείαν κατιδόντας, οὕτω κλυζομένην καὶ καθαιρομένην ὑφ' ἑαυτῆς, οἱ δὲ νομιμώτατοι τῶν ἱερέων καθάρσιον ὕδωρ ἁγνιζόμενοι λαμβάνουσιν, ὅθεν ἶβις πέπωκεν. οὐ πίνει γὰρ ἢ νοσῶδες, ἢ πεφαρμαγμένον, οὐδὲ πρόςεισι· τῇ δὲ τῶν ποδῶν διαβάσει πρὸς ἀλλήλους καὶ τὸ ῥύγχος ἰσόπλευρον ποιεῖ τρίγωνον. ἔτι δὲ ἡ τῶν μελάνων πτερῶν περὶ τὰ λευκὰ ποικιλία καὶ μίξις ἐμφαίνει σελήνην ἀμφίκυρτον. οὐ δεῖ δὲ θαυμάζειν, εἰ γλίσχρας ὁμοιότητας οὕτως ἠγάπησαν Αἰγύπτιοι. καὶ Ἕλληνες ἔν τε γραπτοῖς ἔν τε πλαστοῖς, εἰκάσμασι θεῶν ἐχρήσαντο πολλοῖς τοιούτοις. οἷον ἐν Κρήτῃ Διὸς ἦν ἄγαλμα μὴ ἔχον ὦτα· τῷ γὰρ ἄρχοντι καὶ κυρίῳ πάντων, οὐδενὸς ἀκούειν προςήκει. τῷ δὲ τῆς Ἀθηνᾶς, τὸν δράκοντα Φειδίας παρέθηκε· τῷ δὲ τῆς Ἀφροδίτης ἐν Ἤλιδι, τὴν χελώνην, ὡς τὰς μὲν παρθένους φυλακῆς δεομένας, ταῖς δὲ γαμεταῖς οἰκουρίαν καὶ σιωπὴν πρέπουσαν. ἡ δὲ τοῦ Ποσειδῶνος τρίαινα σύμβολόν ἐστι τῆς τρίτης χώρας, ἣν θάλαττα κατέχει μετὰ τὸν οὐρανὸν καὶ τὸν ἀέρα τεταγμένη. διὸ καὶ τὴν ἀμφιτρίτην καὶ τοὺς τρίτωνας οὕτως ὠνόμασαν. οἱ δὲ Πυθαγόρειοι καὶ ἀριθμοὺς καὶ σχήματα θεῶν ἐκόσμησαν προςηγορίαις. τὸ μὲν γὰρ ἰσόπλευρον τρίγωνον, ἐκάλουν Ἀθηνᾶν κορυφαγενῆ καὶ τριτογένειαν, ὅτι τρισὶ καθέτοις ἀπὸ τῶν τριῶν γωνιῶν ἀγομέναις δι-

αἱρεῖται· τὸ δὲ ἓν, Ἀπόλλωνα, πείθουσα προφάσει καὶ διπλοτάτοις μονάδος· ἔριν δὲ, τὴν δυάδα καὶ τόλμαν· δίκην δὲ, τὴν τριάδα. τοῦ γὰρ ἀδικεῖν καὶ ἀδικεῖσθαι κατ᾽ ἔλλειψιν καὶ ὑπερβολὴν ὄντος, ἰσότητι δίκαιον ἐν μέσῳ γέγονεν· ἡ δὲ καλουμένη τετρακτὺς τὰ ἓξ καὶ τριάκοντα, μέγιστος ἦν ὅρκος, ὡς τεθρύλληται· καὶ κόσμος ὠνόμασται, τεσσάρων μὲν ἀρτίων τῶν πρώτων, τεσσάρων δὲ τῶν περισσῶν εἰς τὸ αὐτὸ συντιθεμένων, ἀποτελούμενος.

LXXVI. Εἴπερ οὖν οἱ δοκιμώτατοι τῶν φιλοσόφων, οὐδ᾽ ἐν ἀψύχοις καὶ ἀσωμάτοις πράγμασιν αἴνιγμα τοῦ θείου κατιδόντες ἠξίουν ἀμελεῖν οὐδὲν, οὐδ᾽ ἀτιμάζειν, ἔτι μᾶλλον οἴομαι τὰς ἐν αἰσθανομέναις καὶ ψυχὴν ἐχούσαις καὶ πάθος καὶ ἦθος φύσεσιν ἰδιότητας κατὰ τὸ ἦθος. ἀγαπητέον οὖν οὐ ταῦτα τιμῶντας, ἀλλὰ διὰ τούτων τὸ θεῖον, ὡς ἐναργεστέρων ἐσόπτρων καὶ φύσει γεγονότων, ὡς ὄργανον ἢ τέχνην ἀεὶ τοῦ πάντα κοσμοῦντος θεοῦ νομίζειν καλῶς. ἄξιόν τε μηδὲν ἄψυχον ἐμψύχου, μηδ᾽ ἀναίσθητον αἰσθανομένου κρεῖττον εἶναι· μηδ᾽ ἄν τὸν σύμπαντά τις χρυσὸν ὁμοῦ καὶ σμάραγδον εἰς ταὐτὸ συμφορήσῃ. οὐκ ἐν χροιαῖς γὰρ, οὐδ᾽ ἐν σχήμασιν, οὐδ᾽ ἐν λειότησιν ἐγγίνεται τὸ θεῖον, ἀλλ᾽ ἀτιμοτέραν ἔχει νεκρῶν μοῖραν, ὅσα μὴ μετέσχε, μηδὲ μετέχειν τοῦ ζῆν πέφυκεν. ἡ δὲ ζῶσα καὶ βλέπουσα καὶ κινήσεως ἀρχὴν ἐξ αὐτῆς ἔχουσα, καὶ γνῶσιν οἰκείων καὶ ἀλλοτρίων φύσις, ἄλλως τε ἔσπακεν ἀποῤῥοὴν καὶ μοῖραν ἐκ τοῦ φρονοῦντος, ὅπως κυβερνᾶται τὸ σύμπαν καθ᾽ Ἡράκλειτον. ὅθεν οὐ χεῖρον ἐν τού-

τοις εἰκάζεται τὸ θεῖον, ἢ χαλκείοις καὶ λιθίνοις δημιουργήμασιν, ἃ φθορὰς μὲν ὁμοίως δέχεται καὶ ἐπιχρώσεις, αἰσθήσεως δὲ πάσης φύσει καὶ συνέσεως ἐστέρηται. περὶ μὲν οὖν τῶν τιμωμένων ζώων ταῦτα δοκιμάζω μάλιστα τῶν λεγομένων.

LXXVII. Στολαὶ δὲ αἱ μὲν Ἴσιδος, ποικίλαι ταῖς βαφαῖς· (περὶ γὰρ ὕλην ἡ δύναμις αὐτῆς, πάντα γινομένην καὶ δεχομένην, φῶς, σκότος· ἡμέραν, νύκτα· πῦρ, ὕδωρ· ζωήν, θάνατον· ἀρχήν, τελευτήν) ἡ δ' Ὀσίριδος οὐκ ἔχει σκιὰν, οὐδὲ ποικιλμὸν, ἀλλὰ ἓν ἁπλοῦν τὸ φωτοειδές· ἄκρατον γὰρ ἡ ἀρχὴ, καὶ ἀμιγὲς τὸ πρῶτον καὶ νοητόν. ὅθεν ἅπαξ ταῦτα ἀναλαβόντες, ἀποτίθενται καὶ φυλάττουσιν, τὸ γὰρ νοητὸν ἀόρατον καὶ ἄψαυστον· τοῖς δ' Ἰσιακοῖς χρῶνται πολλάκις, ἐν χρήσει γὰρ τὰ αἰσθητὰ καὶ πρόχειρα ὄντα πολλὰς ἀναπτύξεις καὶ θέας αὐτῶν ἄλλοτ' ἄλλως ἀμειβομένων δίδωσιν. ἡ δὲ τοῦ νοητοῦ καὶ εἰλικρινοῦς καὶ ἁγίου νόησις, ὥςπερ ἀστραπὴ διαλάμψασα, τῇ ψυχῇ ἅπαξ ποτὲ θιγεῖν καὶ προςιδεῖν παρέσχε. διὸ καὶ Πλάτων καὶ Ἀριστοτέλης ἐποπτικὸν τοῦτο τὸ μέρος τῆς φιλοσοφίας καλοῦσιν, ὡς οἱ τὰ δοξαστὰ καὶ μικτὰ καὶ παντοδαπὰ ταῦτα παραμειψάμενοι τῷ λόγῳ, πρὸς τὸ πρῶτον ἐκεῖνο καὶ ἁπλοῦν καὶ ἄϋλον ἐξάλλονται, καὶ θιγόντες ἄλλως τῆς περὶ αὐτὸ καθαρᾶς ἀληθείας, οἷον ἐντελῆ τέλος ἔχειν φιλοσοφίαν νομίζουσι.

LXXVIII. Καὶ τοῦτο ὅπερ οἱ νῦν ἱερεῖς ἀφοσιούμενοι καὶ παρακαλυπτόμενοι μετ' εὐλαβείας ὑποδηλοῦσιν, ὡς ὁ θεὸς οὗτος ἄρχει καὶ βασιλεύει τῶν

τεθνηκότων, οὐχ ἕτερος ὢν τοῦ καλουμένου παρ' Ἕλλησιν ᾅδου καὶ Πλούτωνος, ἀγνοούμενον, ὅπως ἀληθές ἐστι, διαταράττει τοὺς πολλοὺς ὑπονοοῦντας ἐν γῇ καὶ ὑπὸ γῆν τὸν ἱερὸν καὶ ὅσιον ὡς ἀληθῶς Ὄσιριν οἰκεῖν, ὅπου τὰ σώματα κρύπτεται τῶν τέλος ἔχειν δοκούντων. ὁ δ' ἔστι μὲν αὐτὸς ἀπωτάτω τῆς γῆς ἄχραντος καὶ ἀμίαντος καὶ καθαρὸς οὐσίας ἁπάσης φθορὰν δεχομένης καὶ θάνατον. ἀνθρώπων δὲ ψυχαῖς ἐνταυθοῖ μὲν ὑπὸ σωμάτων καὶ παθῶν περιεχομέναις οὐκ ἔστι μετουσία τοῦ θεοῦ, πλὴν ὅσον ὀνείρατος ἀμαυροῦ θιγεῖν νοήσει διὰ φιλοσοφίας. ὅταν δ' ἀπολυθεῖσαι μεταστῶσιν εἰς τὸ ἀειδὲς καὶ ἀόρατον καὶ ἀπαθὲς καὶ ἁγνὸν, οὗτος αὐταῖς ἡγεμών ἐστι καὶ βασιλεὺς ὁ θεὸς, ἐξηρτημέναις ὡς ἂν ἀπ' αὐτοῦ καὶ θεωμέναις ἀπλήστως καὶ ποθούσαις τὸ μὴ φατὸν, μηδὲ ῥητὸν ἀνθρώποις κάλλος· οὗ τὴν Ἶσιν ὁ παλαιὸς ἀποφαίνει λόγος ἐρῶσαν ἀεὶ καὶ διώκουσαν καὶ συνοῦσαν, ἀναπιμπλάναι τὰ ἐνταῦθα πάντων καλῶν καὶ ἀγαθῶν, ὅσα γενέσεως μετέσχηκε. ταῦτα μὲν οὖν οὕτως ἔχει τὸν μάλιστα θεοῖς πρέποντα λόγον.

LXXX. Εἰ δὲ δεῖ καὶ περὶ τῶν θυμιωμένων ἡμέρας ἑκάστης εἰπεῖν, ὥσπερ ὑπεσχόμην, ἐκεῖνο διανοηθείη τις πρότερον, ὡς ἀεὶ μὲν οἱ ἄνδρες ἐν σπουδῇ μεγίστῃ τίθενται τὰ πρὸς ὑγίειαν ἐπιτηδεύματα, μάλιστα δὲ ταῖς ἱερουργίαις καὶ ταῖς ἁγνείαις καὶ διαίταις οὐχ ἧττόν ἐστι τουτὶ τοῦ ὁσίου τὸ ὑγιεινόν. οὐ γὰρ ᾤοντο καλῶς ἔχειν οὔτε σώμασιν, οὔτε ψυχαῖς ὑπούλοις καὶ νοσώδεσι θεραπεύειν τὸ καθαρὸν

καὶ ἀβλαβὲς πάντη καὶ ἀμίαντον. ἐπεὶ τοίνυν ὁ ἀὴρ, ᾧ πλεῖστα χρώμεθα καὶ σύνεσμεν, οὐκ ἀεὶ τὴν αὐτὴν ἔχει διάθεσιν καὶ κρᾶσιν, ἀλλὰ νύκτωρ πυκνοῦται καὶ πιέζει τὸ σῶμα καὶ συνάγει τὴν ψυχὴν εἰς τὸ δύσθυμον καὶ πεφροντικὸς, οἷον ἀχλυώδη γινομένην καὶ βαρεῖαν, ἀναστάντες εὐθὺς ἐπιθυμιῶσι ῥητίνην, θεραπεύοντες καὶ καθαίροντες τὸν ἀέρα τῇ διακρίσει, καὶ τὸ σύμφυτον τῷ σώματι πνεῦμα μεμαρασμένον ἀναζῤιπίζοντες, ἐχούσης τι τῆς ὀσμῆς σφοδρὸν καὶ καταπληκτικόν. αὖθις δὲ μεσημβρίας αἰσθανόμενοι σφόδρα πολλὴν καὶ βαρεῖαν ἀναθυμίασιν ἀπὸ γῆς ἕλκοντα βίᾳ τὸν ἥλιον καὶ καταμιγνύοντα τῷ ἀέρι, τὴν σμύρναν ἐπιθυμιῶσι. διαλύει γὰρ ἡ θερμότης καὶ σκίδνησι τὸ συνιστάμενον ἐν τῷ περιέχοντι θολερὸν καὶ ἰλυῶδες. καὶ γὰρ οἱ ἰατροὶ πρὸς τὰ λοιμικὰ πάθη βοηθεῖν δοκοῦσι φλόγα πολλὴν ποιοῦντες ὡς λεπτύνουσαν τὸν ἀέρα. λεπτύνει δὲ βέλτιον, ἐὰν εὐώδη ξύλα καίωσιν, οἷα κυπαρίττου καὶ ἀρκεύθου καὶ πεύκης. Ἄκρωνα γοῦν τὸν ἰατρὸν ἐν Ἀθήναις ὑπὸ τὸν μέγαν λοιμὸν εὐδοκιμῆσαι λέγουσι, πῦρ κελεύοντα παρακαίειν τοῖς νοσοῦσιν· ὤνησε γὰρ οὐκ ὀλίγους. Ἀριστοτέλης δέ φησι καὶ μύρων καὶ ἀνθέων καὶ λειμώνων εὐώδεις ἀποπνοίας οὐκ ἔλαττον ἔχειν τοῦ πρὸς ἡδονὴν τὸ πρὸς ὑγείαν, ψυχρὸν ὄντα φύσει καὶ παγετώδη τὸν ἐγκέφαλον ἠρέμα τῇ θερμότητι καὶ λειότητι διαχεούσας. εἰ δὲ καὶ τὴν σμύρναν παρ' Αἰγυπτίοις Βὰλ καλοῦσιν, ἐξερμηνευθὲν δὲ τοῦτο μάλιστα φράζει τῆς ληρήσεως

ἐκσκορπισμὸν, ἔστιν ἣν καὶ τοῦτο μαρτυρίαν τῷ λόγῳ τῆς αἰτίας δίδωσιν.

LXXXI. Τὸ δὲ Κῦφι, μίγμα μὲν ἑκκαίδεκα μνῶν συντιθεμένων ἐστὶ, μέλιτος καὶ οἴνου καὶ σταφίδος καὶ κυπέρου, ῥητίνης τε καὶ σμύρνης καὶ ἀσπαλάθου καὶ σεσέλεως, ἔτι δὲ σχίνου τε καὶ ἀσφάλτου καὶ θρύου καὶ λαπάθου, πρὸς δὲ τούτοις, ἀρκευθίδων ἀμφοῖν (ὧν τὴν μὲν, μείζονα, τὴν δὲ, ἐλάττονα καλοῦσι) καὶ καρδαμώμου καὶ καλάμου: συντίθενται δ᾽ οὐχ ὅπως ἔτυχεν, ἀλλὰ γραμμάτων ἱερῶν τοῖς μυρεψοῖς, ὅταν ταῦτα μιγνύωσιν, ἀναγινωσκομένων. τὸν δ᾽ ἀριθμὸν, εἰ καὶ πάνυ δοκεῖ τετράγωνος ἀπὸ τετραγώνου, καὶ μόνος ἔχων τὸν ἴσον ἰσάκις ἀριθμὸν τῷ χωρίῳ τὴν περίμετρον ἴσην ἀγαγέσθαι προσηκόντως, ἐλάχιστα ῥητέον εἴς γε τοῦτο συνεργεῖν, ἀλλὰ τὰ πλεῖστα τῶν συλλαμβανομένων, ἀρωματικὰς ἔχοντα δυνάμεις, γλυκὺ πνεῦμα καὶ χρηστὴν μεθίησιν ἀναθυμίασιν, ὑφ᾽ ἧς ὅ τε ἀὴρ τρεπόμενος καὶ τὸ σῶμα διὰ τῆς πνοῆς κινούμενον λείως καὶ προσηνῶς ὑπνοῦται καὶ κρᾶσιν ἐπαγωγὸν ἴσχει. καὶ τὰ λυπηρὰ καὶ σύντονα τῶν μεθημερινῶν φροντίδων ἄνευ μέθης, οἷον ἅμματα χαλᾷ καὶ διαλύει· καὶ τὸ φανταστικὸν καὶ δεκτικὸν ὀνείρων μόριον, ὥςπερ κάτοπτρον ἀπολεαίνει, καὶ ποιεῖ καθαρώτερον, οὐδὲν ἧττον, ἢ τὰ κρούματα τῆς λύρας, οἷς ἐχρῶντο πρὸ τῶν ὕπνων οἱ Πυθαγόρειοι, τὸ ἐμπαθὲς καὶ ἄλογον τῆς ψυχῆς ἐξεπᾴδοντες οὕτω καὶ θεραπεύοντες. τὰ γὰρ ὀσφραντὰ πολλάκις μὲν τὴν αἴσθησιν ἀπολείπουσαν ἀνακαλεῖται, πολλάκις δὲ

πάλιν ἀμβλύνει καὶ κατηρεμίζει διαχεομένων ἐν τῷ σώματι τῶν ἀναλωμάτων ὑπὸ λειότητος· ὥςπερ ἔνιοι τῶν ἰατρῶν τὸν ὕπνον ἐγγίνεσθαι λέγουσιν, ὅταν ἡ τῆς τροφῆς ἀναθυμίασις οἷον ἕρπουσα λείως περὶ τὰ σπλάγχνα, καὶ ψηλαφῶσα ποιῇ τινα γαργαλισμόν. τῷ δὲ κῦφι χρῶνται καὶ πόματι καὶ κράματι· πινόμενον γὰρ δοκεῖ τὰ ἐντὸς καθαίρειν, κοιλίας μαλακτικὸν ὄν. ἄνευ δὲ τούτων, ῥητίνη μέν ἐστιν ἔργον ἡλίου καὶ σμύρνα πρὸς τὴν εἵλην τῶν φυτῶν ἐκδακρυόντων. τῶν δὲ τὸ κῦφι συντιθέντων ἔστιν ἃ νυκτὶ χαίρει μᾶλλον, ὥςπερ ὅσα πνεύμασι ψυχροῖς καὶ σκιαῖς καὶ δρόσοις καὶ ὑγρότησι τρέφεσθαι πέφυκεν. ἐπεὶ τὸ τῆς ἡμέρας φῶς ἓν μέν ἐστι καὶ ἁπλοῦν (καὶ τὸν ἥλιον ὁ Πίνδαρος ὁρᾶσθαι φησὶν ἐρήμης δι᾽ αἰθέρος) ὁ δὲ νυκτερινὸς ἀὴρ κρᾶμα καὶ σύμμιγμα πολλῶν γέγονε φώτων καὶ δυνάμεων, οἷον σπερμάτων εἰς ἓν ἀπὸ παντὸς ἄστρου καταῤῥεόντων. εἰκότως οὖν ἐκεῖνα μὲν, ὡς ἁπλᾶ καὶ ἀφ᾽ ἡλίου τὴν γένεσιν ἔχοντα, δι᾽ ἡμέρας, ταῦτα δὲ ὡς μικτὰ καὶ παντοδαπὰ ταῖς ποιότησιν, ἀρχομένης νυκτὸς ἐπιθυμιῶσιν.

# ΠΛΟΥΤΑΡΧΟΥ
## ΠΕΡΙ
## ΤΟΥ ΕΙ ΤΟΥ ΕΝ ΔΕΛΦΟΙΣ.

Στιχιδίοις τισὶν οὐ φαύλως ἔχουσιν, ὦ φίλε Σαραπίων, ἐνέτυχον πρώην, ἃ Δικαίαρχος Εὐριπίδην οἴεται πρὸς Ἀρχέλαον εἰπεῖν·

Οὐ βούλομαι πλουτοῦντι δωρεῖσθαι πένης,
Μή μ᾽ ἄφρονα κρίνῃς, ἢ διδοὺς αἰτεῖν δοκῶ.

χαρίζεται μὲν γὰρ οὐδὲν ὁ διδοὺς ἀπ᾽ ὀλίγων μικρὰ τοῖς πολλὰ κεκτημένοις· ἀπιστούμενος δὲ ἀντὶ μηδενὸς διδόναι, κακοηθείας καὶ ἀνελευθερίας προςλαμβάνει δόξαν. ἄρα δὴ ὅσον ἐλευθεριότητι καὶ κάλλει τὰ χρηματικὰ δῶρα λείπεται τῶν ἀπὸ λόγου καὶ σοφίας, καὶ διδόναι καλόν ἐστι, καὶ διδόντας ἀνταιτεῖν ὅμοια παρὰ τῶν λαμβανόντων. ἐγὼ γοῦν πρός σε, καὶ διὰ σὲ, τοῖς αὐτόθι φίλοις τῶν Πυθικῶν λόγων ἐνίους, ὥςπερ ἀπαρχὰς ἀποστέλλων, ὁμολογῶ προςδοκᾷν ἑτέρους καὶ πλείονας καὶ βελτίονας παρ᾽ ὑμῶν, ἅτε δὴ καὶ πόλει χρωμένων μεγάλῃ, καὶ σχολῆς μᾶλλον ἐν βιβλίοις πολλοῖς καὶ παντοδαποῖς διατριβαῖς εὐπορούντων. ὁ δ᾽ οὖν φίλος Ἀπόλλων

ἔοικε τὰς μὲν περὶ τὸν βίον ἀπορίας ἰᾶσθαι καὶ διαλύειν, θεμιστεύων τοῖς χρωμένοις, τὰς δὲ περὶ τὸν λόγον αὐτὸς ἐνιέναι καὶ προβάλλειν τῷ φύσει φιλοσόφῳ τῆς ψυχῆς, ὄρεξιν ἐμποιῶν ἀγωγὸν ἐπὶ τὴν ἀλήθειαν, ὡς ἄλλοις τε πολλοῖς δῆλόν ἐστι καὶ τῇ περὶ τοῦ εἶ καθιερώσει. τοῦτο γὰρ εἰκὸς οὐ κατὰ τύχην, οὐδ' οἷον ἀπὸ κλήρου τῶν γραμμάτων μόνον ἐν προεδρίᾳ παρὰ τῷ θεῷ γενέσθαι, καὶ λαβεῖν ἀναθήματος τάξιν ἱεροῦ καὶ θεάματος· ἀλλ' ἢ δύναμιν αὐτοῦ κατιδόντας ἰδίαν καὶ περιττὴν, ἢ συμβόλῳ χρωμένους πρὸς ἕτερόν τι τῶν ἀξίων σπουδῆς τοὺς ἐν ἀρχῇ περὶ τὸν θεὸν φιλοσοφήσαντας, οὕτως προσέσθαι. πολλάκις οὖν ἄλλοτε τὸν λόγον ἐν τῇ σχολῇ προβαλλόμενον ἐκκλίνας ἀτρέμα καὶ παρελθὼν, ἔναγχος ὑπὸ τῶν υἱῶν ἐλήφθην ξένοις τισὶ συμφιλοτιμούμενος, οὓς εὐθὺς ἐκ Δελφῶν ἀπαίρειν μέλλοντας, οὐκ ἦν εὐπρεπὲς παράγειν, οὐδὲ παραιτεῖσθαι, πάντως ἀκοῦσαί τι προθυμουμένους. ὡς δὲ καθίσας περὶ τὸν νεὼν, τὰ μὲν αὐτὸς ἠρξάμην ζητεῖν, τὰ δ' ἐκείνους ἐρωτᾶν, ὑπὸ τοῦ τόπου καὶ τῶν λόγων αὐτῶν, ἃ πάλαι ποτὲ καθ' ὃν καιρὸν ἐπεδήμει Νέρων, ἠκούσαμεν Ἀμμωνίου καί τινων ἄλλων διεξιόντων, ἐνταῦθα τῆς αὐτῆς ἀπορίας ὁμοίως ἐμπεσούσης.

II. Ὅτι μὲν γὰρ οὐχ ἧττον ὁ θεὸς φιλόσοφος, ἢ μάντις, ἐδόκει πᾶσιν ὀρθῶς πρὸς τοῦτο τῶν ὀνομάτων ἕκαστον Ἀμμώνιος τίθεσθαι, καὶ διδάσκειν, ὡς Πύθιος μέν ἐστι τοῖς ἀρχομένοις μανθάνειν καὶ διαπυνθάνεσθαι· Δήλιος δὲ καὶ Φαναῖος, οἷς ἤδη

τι δηλοῦται καὶ ὑποφαίνεται τῆς ἀληθείας· Ἰσμήνιος δὴ τοῖς ἔχουσι τὴν ἐπιστήμην, καὶ Λεσχηνόριος δὲ, ὅταν ἐνεργῶσι καὶ ἀπολαύωσι, χρώμενοι τῷ διαλέγεσθαι καὶ φιλοσοφεῖν πρὸς ἀλλήλους. ἐπεὶ δὲ τοῦ φιλοσοφεῖν, ἔφη, τὸ ζητεῖν, τὸ θαυμάζειν καὶ ἀπορεῖν, εἰκότως τὰ πολλὰ τῶν περὶ τὸν θεὸν ἔοικεν αἰνίγμασι κατακεκρύφθαι, καὶ λόγον τινὰ ποθοῦντα διὰ τί, καὶ διδασκαλίαν τῆς αἰτίας· οἷον ἐπὶ τοῦ πυρὸς τοῦ ἀθανάτου, τὸ καίεσθαι μόνον αὐτόθι τῶν ξύλων ἐλάτην, καὶ δάφνην ἐπιθυμιᾶσθαι, καὶ τὸ δύο Μοίρας ἱδρῦσθαι, πανταχοῦ τριῶν νομιζομένων· καὶ τὸ μηδεμιᾷ γυναικὶ πρὸς τὸ χρηστήριον εἶναι προσελθεῖν· καὶ τὸ τοῦ τρίποδος· καὶ ὅσα τοιαῦτα, τοῖς μὴ παντάπασιν ἀλόγοις καὶ ἀψύχοις ὑφειμένα δελεάζει καὶ παρακαλεῖ πρὸς τὸ σκοπεῖν τι καὶ ἀκούειν καὶ διαλέγεσθαι περὶ αὐτῶν. ὅρα δὲ καὶ ταυτὶ τὰ προγράμματα, τὸ Γνῶθι σαυτὸν, καὶ τὸ Μηδὲν ἄγαν, ὅσας ζητήσεις κεκίνηκε φιλοσόφους, καὶ ὅσων λόγων πλῆθος ἀφ᾽ ἑκάστου, καθάπερ ἀπὸ σπέρματος ἀναπέφυκεν· ὧν οὐδενὸς ἧττον οἶμαι γόνιμον λόγον εἶναι τὸν νῦν ζητούμενον.

III. Εἰπόντος δὲ ταῦτα τοῦ Ἀμμωνίου, Λαμπρίας ὁ ἀδελφὸς εἶπεν· Καὶ μὴν ὃν ἡμεῖς ἀκηκόαμεν λόγον ἁπλοῦς τίς ἐστι καὶ κομιδῇ βραχύς. λέγουσι γὰρ ἐκείνους τοὺς σοφοὺς, οὓς ἔνιοι δὲ σοφιστὰς προσαγορεύουσιν, αὐτοὺς μὲν εἶναι πέντε, Χίλωνα καὶ Θαλῆν καὶ Σόλωνα καὶ Βίαντα καὶ Πιττακόν· ἐπεὶ δὲ Κλεόβουλος ὁ Λινδίων τύραννος, εἶτα Περίανδρος ὁ Κορίνθιος, οὐδὲν αὐτοῖς ἀρετῆς

μετὸν οὐδὲ σοφίας, ἀλλὰ δυνάμει καὶ φίλοις καὶ χάριτι καταβιαζόμενοι τὴν δόξαν, ἐνέβαλον εἰς τοὔνομα τῶν σοφῶν, καί τινας γνώμας καὶ λόγους ἐξέπεμπον, καὶ διέσπειρον εἰς τὴν Ἑλλάδα τοῖς ὑπ' ἐκείνων λεγομένοις ὁμοίους, δυσχεράναντας ἄρα τοὺς ἄνδρας, ἐξελέγχειν μὲν οὐκ ἐθέλειν τὴν ἀλαζονείαν, οὐδὲ φανερῶς ὑπὲρ δόξης ἀπεχθάνεσθαι καὶ διαμάχεσθαι πρὸς ἀνθρώπους μέγα δυναμένους· ἐνταῦθα δὲ συνελθόντας αὐτοὺς καθ' ἑαυτοὺς, καὶ διαλεχθέντας ἀλλήλοις, ἀναθεῖναι τῶν γραμμάτων ὃ τῇ τε τάξει πέμπτον ἐστὶ καὶ τοῦ ἀριθμοῦ τὰ πέντε δηλοῖ· μαρτυρομένους μὲν ὑπὲρ αὑτῶν πρὸς τὸν θεὸν, ὅτι πέντε εἰσὶ, τὸν δὲ ἕκτον καὶ τὸν ἕβδομον ἀποποιουμένους καὶ ἀποβάλλοντας, ὡς οὐ προσήκοντας αὑτοῖς. ὅτι δ' οὐκ ἄπο σκοποῦ ταῦτα λέγεται, γνοίη τις ἂν ἀκούσας τῶν κατὰ τὸ ἱερὸν τὸ μὲν χρυσοῦν εἶ Λιβίας τῆς Καίσαρος γυναικὸς ὀνομαζόντων· τὸ δὲ χαλκοῦν, Ἀθηναίων· τὸ δὲ πρῶτον καὶ παλαιότατον, τῇ δὲ οὐσίᾳ ξύλινον, ἔτι νῦν τῶν σοφῶν καλοῦσιν, οὐχ ἑνὸς, ἀλλὰ κοινὸν ἀνάθημα πάντων γενόμενον.

IV. Ὁ μὲν οὖν Ἀμμώνιος ἡσυχῇ διεμειδίασεν, ὑπονοήσας ἰδίᾳ τὸν Λαμπρίαν δόξῃ κεχρῆσθαι, πλάττεσθαι δ' ἱστορίαν καὶ ἀκοὴν ἑτέρων πρὸς τὸ ἀνυπεύθυνον. ἕτερος δέ τις ἔφη τῶν παρόντων, ὡς ὅμοια ταῦτ' ἐστιν οἷς πρώην ὁ Χαλδαῖος ἐφλυάρει ξένος, ἑπτὰ μὲν εἶναι τὰ φωνὴν ἰδίαν ἀφιέντα τῶν γραμμάτων, ἑπτὰ δὲ τοὺς κίνησιν αὐτοτελῆ καὶ ἀσύνδετον ἐν οὐρανῷ κινουμένους ἀστέρας· εἶναι δὲ τῇ τάξει δεύτερον τότε ει τῶν φωνηέντων ἀπ' ἀρχῆς,

καὶ τὸν ἥλιον ἀπὸ σελήνης τῶν πλανητῶν. ἡλίῳ δ' Ἀπόλλωνα τὸν αὐτόν, ὡς ἔπος εἰπεῖν, πάντας Ἕλληνας νομίζειν. ἀλλὰ ταυτὶ μὲν (ἔφη) παντάπασιν ἐκ πίνακος καὶ πυλαίας· ὁ δὲ Ἀμμώνιος ἔλαθεν, ὡς ἔοικε, τοὺς ἀφ' ἱεροῦ κινήσας ἐπὶ τὸν αὐτοῦ λόγον. ᾧ μὲν γὰρ ἐκεῖνος εἶπεν, οὐδεὶς ἐγίνωσκε Δελφῶν. τὴν δὲ κοινὴν καὶ περιηγητικὴν δόξαν εἰς τὸ μέσον προσῆγον, οὔτε τὴν ὄψιν ἀξιοῦντες, οὔτε τὸν φθόγγον, ἀλλὰ τοὔνομα μόνον τοῦ γράμματος ἔχειν τι σύμβολον.

V. Ἔστι γάρ, ὡς ὑπολαμβάνουσι Δελφοί, καὶ τότε προσηγορῶν ἔλεγε Νίκανδρος ὁ ἱερεύς, σχῆμα καὶ μορφὴ τῆς πρὸς τὸν θεὸν ἐντεύξεως, καὶ τάξιν ἡγεμονικὴν ἐν τοῖς ἐρωτήμασιν ἔχει τῶν χρωμένων ἑκάστοτε, καὶ διαπυνθανομένων, εἰ νικήσουσιν, εἰ γαμήσουσιν, εἰ συμφέρει πλεῖν, εἰ γεωργεῖν, εἰ ἀποδημεῖν. τοῖς δὲ διαλεκτικοῖς χαίρειν ἔλεγε σοφὸς ὢν ὁ θεός, οὐδὲν οἰομένοις ἐκ τοῦ εἰ μορίου, καὶ τοῦ μετ' αὐτοῦ ἀξιώματος πρᾶγμα γίνεσθαι, πάσας τὰς ἐρωτήσεις ὑποτεταγμένας τούτῳ, καὶ καθῶν ὡς πράγματα καὶ προσιέμενος. ἐπεὶ δ' ἴδιον τὸ ἐρωτᾷν ὡς πρὸς μάντιν ἐστὶν ἡμῖν, καὶ τὸ εὔχεσθαι κοινὸν ὡς πρὸς θεόν, οὐχ ἧττον οἴονται τῆς πευστικῆς τὴν εὐκτικὴν τὸ γράμμα περιέχειν δύναμιν. εἰ γὰρ ὤφελον, φησὶν ἕκαστος τῶν εὐχομένων, καὶ Ἀρχίλοχος·

Εἰ γὰρ ὡς ἐμοὶ γένοιτο χεῖρα Νεοβούλης θιγεῖν.

καὶ τοῦ εἴθε τὴν δευτέραν συλλαβὴν παρέλκεσθαι φασίν, οἷον τὸ Σώφρονος, ὅμα τέκνων θῆλυ δυναμένα: καὶ τὸ Ὁμηρικόν·

Ὣς θὴν καὶ σὸν ἐγὼ λύσω μένος — —

ἐν δὲ τῷ ΕΙ τὸ εὐκτικὸν καὶ ἀποχρώντως δηλοῦσθαι.

VI. Ταῦτα τοῦ Νικάνδρου διελθόντος, οἶσθα γὰρ δὴ Θέωνα τὸν ἑταῖρον, ἤρετο τὸν Ἀμμώνιον, εἰ διαλεκτικῇ παρρησίας μέτεστιν οὕτω περιυβρισμένῃ· τοῦ δ' Ἀμμωνίου λέγειν παρακελευομένου καὶ βοηθεῖν· Ἀλλ' ὅτι μὲν (ἔφη) διαλεκτικώτατος ὁ θεός ἐστιν, οἱ πολλοὶ τῶν χρησμῶν δηλοῦσιν. τοῦ γὰρ αὐτοῦ δήπουθέν ἐστι καὶ λύειν καὶ ποιεῖν ἀμφιβολίας. ἔτι δ', ὥσπερ Πλάτων ἔλεγε, χρησμοῦ δοθέντος, ὅπως τὸν ἐν Δήλῳ βωμὸν διπλασιάσωσιν, ὃ τῆς ἄκρας ἕξεως περὶ γεωμετρίαν ἔργον ἐστὶν, οὐ τοῦτο προστάττειν τὸν θεὸν, ἀλλὰ καὶ γεωμετρεῖν διακελεύεσθαι τοῖς Ἕλλησιν· οὕτως ἄρα χρησμοὺς ἀμφιβόλους ἐκφέρων ὁ θεὸς, αὔξει καὶ συνίστησι διαλεκτικὴν, ὡς ἀναγκαίαν τοῖς μέλλουσιν ὀρθῶς αὐτοῦ συνήσειν. ἐν δὲ διαλεκτικῇ δήπου μεγίστην ἔχει δύναμιν ὁ συναπτικὸς οὑτοσὶ σύνδεσμος, ἅτε δὴ τὸ λογικώτατον σχηματίζων ἀξίωμα. πῶς γὰρ οὐ τοιοῦτο τὸ συνημμένον, εἴ γε τῆς μὲν ὑπάρξεως τῶν πραγμάτων ἔχει καὶ τὰ θηρία γνῶσιν, ἀκολούθου δὲ θεωρίαν καὶ κρίσιν ἀνθρώπῳ μόνῳ παρέδωκεν ἡ φύσις. ὅτι γὰρ ἡμέρα ἐστὶ καὶ φῶς ἐστιν, αἰσθάνονται δή που καὶ λύκοι καὶ κύνες καὶ ὄρνιθες· ὅτι δὲ εἰ ἡμέρα, φῶς ἐστιν, οὐδὲν ἄλλο συνίησι, πλὴν ἄνθρωπος, ἡγουμένου καὶ λήγοντος, ἐμφάσεώς τε καὶ συναρτήσεως τούτων πρὸς ἄλληλα καὶ σχέσεως

καὶ διαφορᾶς μόνος ἔχων ἔννοιαν, ἐξ ὧν αἱ ἀποδείξεις τὴν κυριωτάτην ἀρχὴν λαμβάνουσιν. ἐπεὶ τοίνυν φιλοσοφία μὲν περὶ ἀλήθειάν ἐστιν, ἀληθείας δὲ φῶς ἀπόδειξις, ἀποδείξεως δ' ἀρχὴ τὸ συνημμένον, εἰκότως ἡ τοῦτο συνέχουσα καὶ ποιοῦσα δύναμις ὑπὸ σοφῶν ἀνδρῶν τῷ μάλιστα τὴν ἀλήθειαν ἠγαπηκότι θεῷ καθιερώθη· καὶ μάντις μὲν ὁ θεός, μαντικὴ δὲ τέχνη περὶ τὸ μέλλον, ἐκ τῶν παρόντων, ἢ παρῳχημένων. οὐδενὸς γὰρ οὔδ' ἀναίτιος ἡ γένεσις, οὔτ' ἄλογος ἡ πρόγνωσις· ἀλλ' ἐπεὶ πάντα τοῖς γεγονόσι τὰ γιγνόμενα, τά τε γενησόμενα τοῖς γιγνομένοις ἕπεται καὶ συνήρτηται, κατὰ διέξοδον ἀπ' ἀρχῆς εἰς τέλος περαίνουσαν, ὁ τὰς αἰτίας εἰς ταὐτὸ συνδεῖν τε πρὸς ἄλληλα καὶ συμπλέκειν φυσικῶς ἐπιστάμενος, οἶδε καὶ προλέγει

*Τά τε ὄντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα.*

καὶ καλῶς Ὅμηρος πρῶτον ἔταξε τὰ παρόντα, εἶτα τὸ μέλλον καὶ τὸ παρῳχημένον. ἀπὸ γὰρ τοῦ ὄντος ὁ συλλογισμὸς κατὰ τὴν τοῦ συνημμένου δύναμιν· ὡς, εἰ τόδ' ἐστί, τόδε προηγεῖται· καὶ πάλιν, εἰ τόδε ἐστί, τόδε γενήσεται. τὸ γὰρ τεχνικὸν καὶ λογικὸν (ὥσπερ εἴρηται) γνῶσις ἀκολουθίας· τὴν δὲ πρόσληψιν ἡ αἴσθησις τῷ λόγῳ δίδωσιν. ὅθεν (εἰ καὶ αἰσχρὸν εἰπεῖν) οὐκ ἀποστρέψομαι τοῦτον εἶναι τὸν τῆς ἀληθείας τρίποδα τὸν λόγον, ὃς τὴν τοῦ λήγοντος πρὸς τὸ προηγούμενον ἀκολουθίαν θέμενος, εἶτα προσλαβὼν τὴν ὕπαρξιν, ἐπάγει τὸ συμπέρασμα τῆς ἀποδείξεως. τὸν οὖν Πύθιον, εἰ δὴ μουσικῇ τε ἥδεται, καὶ κύκνων φωναῖς καὶ κιθάρας ψόφοις, τί θαυ-

ραστόν ἐστι διαλεκτικῆς φιλίᾳ τοῦτο ἀσπάζεσθαι τοῦ λόγου τὸ μέρος, καὶ ἀγαπῶν, ᾧ μάλιστα καὶ πλεῖστα προσχρωμένους ὁρᾷ τοὺς φιλοσόφους; ὁ δ' Ἡρακλῆς οὔπω τὸν Προμηθέα λελυκὼς, οὐδὲ τοῖς περὶ τὸν Χείρωνα καὶ Ἄτλαντα σοφισταῖς διειλεγμένος, ἀλλὰ νέος ὢν καὶ κομιδῇ Βοιώτιος, ἀναιρῶν τὴν διαλεκτικὴν καὶ καταγελῶν τοῦ ε τὸ πρῶτον, τὸ δεύτερον ὑποσπᾶν ἔδοξε βίᾳ τὸν τρίποδα καὶ διαμάχεσθαι πρὸς τὸν θεὸν ὑπὲρ τῆς τέχνης. ἐπεὶ προϊών γε τῷ χρόνῳ καὶ οὗτος ἔοικε μαντικώτατος ὁμοῦ γενέσθαι καὶ διαλεκτικώτατος.

VII. Παυσαμένου δὲ τοῦ Θέωνος, Εὔστροφον Ἀθηναῖον οἶμαι τὸν εἰπόντα εἶναι πρὸς ἡμᾶς· Ὁρᾷς, ὡς ἀμύνει τῇ διαλεκτικῇ Θέων προθύμως, μονονουχὶ τὴν λεοντῆν ἐπενδυσάμενος· οὕτως οὐδ' ἡμᾶς τοὺς πάντα συλλήβδην πράγματα καὶ φύσεις καὶ ἀρχὰς θείων ὁμοῦ καὶ ἀνθρωπείων ἐν ἀριθμῷ τιθεμένους, καὶ πολὺ μάλιστα τῶν καλῶν καὶ τιμίων, τοῦτον ἡγεμόνα ποιουμένους καὶ κύριον, εἰκὸς ἡσυχίαν ἄγειν, ἀλλ' ἀπάρξασθαι τῷ θεῷ τῆς φίλης μαθηματικῆς, αὐτὸ μὲν ἐφ' ἑαυτοῦ μήτε δυνάμει, μήτε μορφῇ, μήτε τῷ ῥήματι τὸ ε τῶν ἄλλων στοιχείων διαφέρειν ἡγουμένους, ὡς δὲ μεγάλου πρὸς τὰ ὅλα καὶ κυρίου σημεῖον ἀριθμοῦ προτετιμῆσθαι τῆς πεμπάδος, ἀφ' οὗ τὸ ἀριθμεῖν οἱ σοφοὶ πεμπάζειν ὀνόμαζον. ταῦτα δὲ πρὸς ἡμᾶς ἔλεγεν οὐ παίζων ὁ Εὔστροφος, ἀλλ' ἐπεὶ τηνικαῦτα προσεκείμην τοῖς μαθήμασιν ἐμπαθῶς, τάχα δὲ μέλλων εἰς πάντα τιμήσειν τὸ μηδὲν ἄγαν, ἐν Ἀκαδημίᾳ γενόμενος.

VIII. Εἶπον οὖν, μάλιστα τὸν Εὔστροφον τῷ ἀριθμῷ λύειν τὴν ἀπορίαν. ἐπεὶ γὰρ (ἔφην) εἰς τὸ ἄρτιον νενεμημένου παντὸς ἀριθμοῦ καὶ τὸ περιττὸν, ἡ μὲν μονὰς ἀμφοτέρων ἐπίκοινός ἐστι τῇ δυνάμει· διὸ καὶ προστιθεμένη τὸν μὲν περιττὸν ἀριθμὸν ἄρτιον ποιεῖ, τὸν δὲ ἄρτιον περιττόν· ἀρχὴν δὲ τοῦ μὲν ἀρτίου τὰ δύο, τοῦ δὲ περιττοῦ τὰ τρία ποιοῦνται· τὰ δὲ πέντε γεννᾶται τούτων πρὸς ἀλλήλους μιγνυμένων· εἰκότως ἔσχηκε τιμὴν, πρῶτος ἐκ πρώτων ἀποτελούμενος, καὶ γάμος ἐπωνόμασται τῇ τοῦ ἀρτίου πρὸς τὸ θῆλυ, περιττοῦ δὲ αὖ πρὸς τὸ ἄῤῥεν ὁμοιότητι· ταῖς γὰρ εἰς ἴσα τομαῖς τῶν ἀριθμῶν, ὁ μὲν ἄρτιος πάντη διϊστάμενος ὑπολείπει τινὰ δεκτικὴν ἀρχὴν οἷον ἐν ἑαυτῷ καὶ χώραν, ἐν δὲ τῷ περιττῷ τὸ αὐτὸ παθόντι, μέσον ἀεὶ περίεστι τῆς νεμήσεως γόνιμον· ᾗ γονιμώτερός ἐστι τοῦ ἑτέρου, καὶ μιγνύμενος ἀεὶ κρατεῖ, κρατεῖται δὲ οὐδέποτε· γίνεται γὰρ ἐξ ἀμφοῖν κατ' οὐδεμίαν μῖξιν ἄρτιος, ἀλλὰ κατὰ πάσας περιττός. ἔτι δὲ μᾶλλον αὐτὸς ἐπιβάλλων αὑτῷ καὶ συντιθέμενος, δείκνυσι τὴν διαφορὰν ἑκάτερος. ἄρτιος μὲν γὰρ οὐδεὶς ἀρτίῳ συνελθὼν περισσὸν παρέσχεν, οὐδ' ἐξέβη τὸ οἰκεῖον ὑπ' ἀσθενείας ἄγονος ὢν ἑτέρου καὶ ἀτελής· περισσοὶ δὲ μιγνύμενοι περισσοῖς, ἀρτίους πολλοὺς διὰ τὸ πάντη γόνιμον ἀποτελοῦσι. τὰς δ' ἄλλας οὐκ ἄν τις ἐν καιρῷ νῦν ἐπεξίοι δυνάμεις καὶ διαφορὰς τῶν ἀριθμῶν. ὡς οὖν ἄῤῥενος τοῦ πρώτου καὶ θήλεος ὁμοιότητι τὰ πέντε γινόμενα γάμον οἱ Πυθαγόρειοι προσεῖπον. ἔστι δὲ ᾗ καὶ φύσις λέλεκται τῷ περὶ

αὐτὸν πολυπλασιασμῷ πάλιν εἰς ἑαυτὸν περαίνων. ὡς γὰρ ἡ φύσις λαβοῦσα πυρὸν ἐν σπέρματι καὶ γεναμένη, πολλὰ μὲν ἐν μέσῳ φύει σχήματα καὶ εἴδη, δι' ὧν ἐπὶ τέλος ἐξάγει τὸ ἔργον, ἐπὶ πᾶσι δὲ πυρὸν ἀνέδειξεν, ἀποδοῦσα τὴν ἀρχὴν ἐν τῷ τέλει τοῦ παντός· οὕτω τῶν λοιπῶν ἀριθμῶν ὅταν αὐτοὺς πολλαπλασιάζωσιν εἰς ἑτέρους, τελευτώντων τῇ αὐξήσει, μόνος ὁ τῶν πέντε καὶ ἕξ γενόμενος τοσαυτάκις αὐτοὺς ἀναφέρουσι καὶ ἀνασώζουσιν. ἑξάκις γὰρ τὰ ἕξ, τριακονταὲξ, καὶ πεντάκις τὰ πέντε, εἰκοσιπέντε γίνεται. καὶ πάλιν ὁ μὲν τῶν ἕξ ἅπαξ τοῦτο ποιεῖ, καὶ μοναχῶς αὐτὸς ἀφ' ἑαυτοῦ τετράγωνος γινόμενος· τῇ δὲ πεντάδι καὶ τοῦτο μὲν συμβέβηκε κατὰ πολυπλασιασμὸν, ἰδίως δὲ τὸ κατὰ σύνθεσιν ἑαυτὴν, ἢ δεκάδα ποιεῖν παρὰ μέρος ἐπιβαλλούσης αὐτῇ, καὶ τοῦτο γίνεσθαι μέχρι παντὸς, ἀπομιμουμένου τοῦ ἀριθμοῦ τὴν τὰ ὅλα διακοσμοῦσαν ἀρχήν. ὡς γὰρ ἐκείνην φυλάττουσαν ἐκ μὲν ἑαυτῆς τὸν κόσμον, ἐκ δὲ τοῦ κόσμου πάλιν αὖ ἑαυτὴν ἀποτελεῖν, πυρός τ' ἀνταμείβεσθαι πάντα, φησὶν ὁ Ἡράκλειτος, καὶ πῦρ ἁπάντων, ὥςπερ χρυσοῦ χρήματα, καὶ χρημάτων χρυσός· οὕτως ἡ τῆς πεντάδος πρὸς ἑαυτὴν σύνοδος οὐδὲν οὔτε ἀτελὲς, οὔτε ἀλλότριον γεννᾷν πέφυκεν, ἀλλ' ὡρισμένας ἔχει μεταβολάς· ἢ γὰρ αὐτὴν ἢ τὴν δεκάδα γεννᾷ, τουτέστιν, ἢ τὸ οἰκεῖον ἢ τὸ τέλειον.

IX. Ἐὰν οὖν ἔρηταί τις, τί ταῦτα πρὸς τὸν Ἀπόλλωνα, φήσομεν, οὐχὶ μόνον, ἀλλὰ καὶ πρὸς τὸν Διόνυσον; ᾧ τῶν Δελφῶν οὐδὲν ἧττον ἢ τῷ Ἀπόλ-

ἔοικε μέτεστιν. ἀκούομεν οὖν τῶν θεολόγων τὰ μὲν ἐν ποιήμασι, τὰ δ' ἄνευ μέτρου λεγόντων καὶ ὑμνούντων, ὡς ἄφθαρτος ὁ θεὸς καὶ ἀΐδιος πεφυκὼς, ὑπὸ δή τινος εἱμαρμένης γνώμης καὶ λόγου μεταβολαῖς ἑαυτοῦ χρώμενος, ἄλλοτε μὲν εἰς πῦρ ἀνῆψε τὴν φύσιν πάντα ὁμοιώσας πᾶσιν, ἄλλοτε δὲ παντοδαπὸς ἔν τε μορφαῖς καὶ ἐν πάθεσι καὶ δυνάμεσι διαφόροις γιγνόμενος, ὡς γίνεται νῦν κόσμος, ὀνομάζεται δὲ τῷ γνωριμωτάτῳ τῶν ὀνομάτων. κρυπτόμενοι δὲ τοὺς πολλοὺς οἱ σοφώτεροι, τὴν μὲν εἰς πῦρ μεταβολὴν Ἀπόλλωνά τε τῇ μονώσει, Φοῖβόν τε τῷ καθαρῷ καὶ ἀμιάντῳ καλοῦσι. τῆς δ' εἰς πνεύματα καὶ ὕδωρ καὶ γῆν καὶ ἄστρα καὶ φυτῶν ζώων τε γενέσεις τροπῆς αὐτοῦ καὶ διακοσμήσεως, τὰ μὲν πάθημα καὶ τὴν μεταβολὴν, διασπασμόν τινα καὶ διαμελισμὸν αἰνίττονται· Διόνυσον δὲ καὶ Ζαγρέα καὶ Νυκτέλιον καὶ Ἰσοδαίτην αὐτὸν ὀνομάζουσι, καὶ φθοράς τινας καὶ ἀφανισμοὺς, καὶ τὰς ἀποβιώσεις καὶ παλιγγενεσίας, οἰκεῖα ταῖς εἰρημέναις μεταβολαῖς αἰνίγματα καὶ μυθεύματα, περαίνουσι· καὶ ᾄδουσι τῷ μὲν διθυραμβικὰ μέλη παθῶν μεστὰ καὶ μεταβολῆς, πλάνην τινὰ καὶ διαφόρησιν ἐχούσης· μιξοβόαν γὰρ, Αἰσχύλος φησὶ, πρέπει διθύραμβον ὁμαρτεῖν σύγκοινον Διονύσῳ· τῷ δὲ παιᾶνα τεταγμένην καὶ σώφρονα Μοῦσαν. ἀγήρω τε τοῦτον ἀεὶ καὶ νέον, ἐκεῖνον δὲ πολυειδῆ καὶ πολύμορφον ἐν γραφαῖς καὶ πλάσμασι δημιουργοῦσι· καὶ ὅλως τῷ μὲν ὁμοιότητα καὶ τάξιν καὶ σπουδὴν ἄκρατον, τῷ δὲ μεμιγμένην τινὰ παιδιᾷ καὶ ὕβρει καὶ σπουδῇ καὶ

μανίᾳ προσφέροντες ἀνωμαλίαν, εὔιον ὀρσιγύναικα μαινομέναις Διόνυσον ἀνθέοντα τιμαῖς ἀνακαλοῦσιν, οὐ φαύλως ἑκατέρας μεταβολῆς τὸ οἰκεῖον λαμβάνοντες. ἐπεὶ δ' οὐκ ἴσος ὁ τῶν περιόδων ἐν ταῖς μεταβολαῖς χρόνος, ἀλλὰ μείζων ὁ τῆς ἑτέρας, ἣν κόρον καλοῦσιν, ὁ δὲ τῆς χρησμοσύνης ἐλάττων, τὸ κατὰ λόγον τηροῦντες ἐνταῦθα, τὸν μὲν ἄλλον ἐνιαυτὸν παιᾶνι χρῶνται περὶ τὰς θυσίας, ἀρχομένου δὲ χειμῶνος ἐπεγείραντες τὸν διθύραμβον, τὸν δὲ παιᾶνα καταπαύσαντες, τρεῖς μῆνας ἀντ' ἐκείνου τοῦτον κατακαλοῦνται τὸν θεόν· ὅπερ τρία πρὸς ἕν, τοῦτο τὴν διακόσμησιν οἰόμενοι χρόνῳ πρὸς τὴν ἐκπύρωσιν εἶναι.

X. Ἀλλὰ ταῦτα μὲν ἱκανοῦ καιροῦ μᾶλλον ἀπομεμήκυνται· δῆλον δὲ, ὅτι συνοικειοῦσιν αὐτὸν τῇ πεντάδι, νῦν μὲν αὐτῇ ἑαυτὴν ὡς τὸ πῦρ, αὖθις δὲ τὴν δεκάδα ποιοῦσαν ἐξ ἑαυτῆς, ὡς τὸν κόσμον, λέγοντες. τῆς δὲ δὴ μάλιστα κεχαρισμένης τῷ θεῷ μουσικῆς οὐκ οἰόμεθα τούτῳ τῷ ἀριθμῷ μετεῖναι. τὸ γὰρ πλεῖστον, ὡς ἔνι εἰπεῖν, ἔργον ἁρμονικῆς περὶ τὰς συμφωνίας ἐστίν. αὗται δ' ὅτι πέντε καὶ οὐ πλείους, ὁ λόγος ἐξελέγχει, τὸν ἐν χορδαῖς καὶ τρυπήμασι ταῦτα θηρᾶν ἀλόγως τῇ αἰσθήσει βουλόμενον. πᾶσαι γὰρ ἐν λόγοις τὴν γένεσιν ἀριθμῶν λαμβάνουσιν, καὶ λόγος ἐστὶ τῆς μὲν διὰ τεσσάρων ἐπίτριτος· τῆς δὲ διὰ πέντε, ἡμιόλιος· διπλάσιος δὲ τῆς διὰ πασῶν· τῆς δὲ διὰ πασῶν καὶ διὰ πέντε τριπλάσιος· τῆς δὲ δὶς διὰ πασῶν, τετραπλάσιος· ἣν δὲ ταύταις ἐπεισάγουσιν οἱ ἁρμονικοὶ

διὰ πασῶν καὶ διὰ τεσσάρων ὀνομάζοντες; ἔξω μέτρου βαίνουσαν, οὐκ ἄξιόν ἐστι δέχεσθαι, τῆς ἀκοῆς τῷ ἀλόγῳ παρὰ τὸν λόγον, ὥσπερ νόμον, χαριζομένους. ἵνα τοίνυν ἀφῶ πέντε τετραχόρδων θέσεις, καὶ πέντε τοὺς πρώτους εἴτε τόνους, ἢ τρόπους, εἴτε ἁρμονίας χρὴ καλεῖν, ὧν ἐπιτάσει καὶ ὑφέσει τρεπομένων κατὰ τὸ μᾶλλον καὶ ἧττον, αἱ λοιπαὶ βαρύτητές εἰσι καὶ ὀξύτητες. ἆρ᾽ οὐχὶ πολλῶν, μᾶλλον δὲ ἀπείρων διαστημάτων ὄντων, τὰ μελῳδούμενα πέντε μόνα εἰσί; δίεσις καὶ ἡμιτόνιον, καὶ τόνος, καὶ τριημιτόνιον, καὶ δίτονον, ἄλλο δὲ οὐδὲν, οὔτε μικρότερον, οὔτε μεῖζον ἐν φωνῇ χωρίον ὀξύτητι καὶ βαρύτητι περατούμενον μελῳδητόν ἐστι.

IX. Πολλὰ δ᾽ ἄλλα τοιαῦτα, ἔφην ἐγὼ, παρελθὼν, τὸν Πλάτωνα προςάξομαι λέγοντα κόσμον ἕνα, ὡς εἴπερ εἰσὶ παρὰ τοῦτον ἕτεροι καὶ μὴ μόνος οὗτος εἷς, πέντε τοὺς πάντας ὄντας καὶ μὴ πλείονας. οὐ μὴν ἀλλὰ κἂν εἷς οὗτος ᾖ μονογενὴς, ὥς οἴεται καὶ Ἀριστοτέλης, τρόπον τινὰ καὶ τοῦτον ἐκ πέντε συγκείμενον κόσμων καὶ συνηρμοσμένον εἶναι. ὧν ὁ μέν ἐστι γῆς, ὁ δὲ ὕδατος, τρίτος δὲ πυρὸς, καὶ τέταρτος ἀέρος. τὸν δὲ πέμπτον, οὐρανὸν, οἱ δὲ φῶς, οἱ δ᾽ αἰθέρα καλοῦσιν, οἱ δ᾽ αὐτὸ τοῦτο, πέμπτην οὐσίαν, ᾗ τὸ κύκλῳ περιφέρεσθαι μόνῃ τῶν σωμάτων, κατὰ φύσιν ἐστὶν, οὐκ ἐξ ἀνάγκης οὐδ᾽ ἄλλως συμβεβηκότος. διὸ δὴ καὶ τὰ πέντε κάλλιστα καὶ τελεώτατα σχήματα τῶν ἐν τῇ φύσει κατανοήσας, πυραμίδα καὶ κύβον, καὶ ὀκτάεδρον, καὶ εἰκοσάε-

ἄκρον, καὶ δωδεκάεδρον, ἕκαστον οἰκεῖον ἑκάστῳ προσένειμαν.

XII. Εἰσὶ δ' αἳ καὶ τὰς τῶν αἰσθήσεων δυνάμεις ἰσαρίθμους οὔσας τοῖς πρώτοις ἐκείνοις συνοικειοῦσι, τὴν μὲν ἁφὴν ὁρῶντες ἀντίτυπον οὖσαν καὶ γεώδη· τὴν δὲ γεῦσιν ὑγρότητι τῶν γευστῶν τὰς ποιότητας προσιεμένην. ἀὴρ δὲ πληγεὶς ἐν ἀκοῇ γίνεται φωνὴ καὶ ψόφος. δυεῖν δὲ τῶν λοιπῶν, ὀσμὴ μὲν, ἣν ἡ ὄσφρησις εἴληχεν, ἀναθυμίασις οὖσα καὶ γεννωμένη θερμότητι, πυρώδης ἐστίν· αἰθέρι δὲ καὶ φωτὶ διὰ συγγένειαν διαλαμπούσης τῆς ὄψεως γίνεται κρᾶσις ἐξ ἀμφοῖν ὁμοιοπαθὴς καὶ σύμπληξις. ἄλλην δ' οὔτε τὸ ζῷον αἴσθησιν, οὔθ' ὁ κόσμος ἔχει φύσιν ἁπλῆν καὶ ἄμικτον· ἀλλὰ θαυμαστή τις, ὡς ἔοικε, διανομὴ γέγονε τῶν πέντε πρὸς τὰ πέντε καὶ σύλληξις.

XIII. Ἅμα δέ πως ἐπιστήσας καὶ διαλιπών· Οἷον, (εἶπον) ὦ Εὔστροφε, πεπόνθαμεν, ὀλίγου παρελθόντες τὸν Ὅμηρον, ὡς οὐχὶ πρῶτον εἰς πέντε νείμαντα μερίδας τὸν κόσμον, ὃς τὰς μὲν ἐν μέσῳ τρεῖς ἀποδίδωσι τοῖς τρισὶ θεοῖς, δύο δὲ τὰς ἄκρας ὄλυμπον καὶ γῆν, ὧν ἡ μὲν ἐστι τῶν κάτω πέρας, ἡ δὲ τῶν ἄνω, κοινὰς καὶ ἀνεμήτους ἀφῆκεν. ἀλλ' ἀνοιστέος ὁ λόγος, ὡς Εὐριπίδης φησίν. οἱ γὰρ τὴν τετράδα σεμνύνοντες, οὐ φαύλως διδάσκουσιν, ὅτι τῷ ταύτης λόγῳ πᾶν σῶμα γένεσιν ἔσχηκεν. ἐπεὶ γὰρ ἐν μήκει καὶ πλάτει βάθος λαβόντι πᾶν τὸ στερεόν ἐστι, καὶ μήκους μὲν προϋφίσταται στιγμὴ κατὰ μονάδα τεταγμένη· μῆκος δ' ἀπλατὲς ἡ γραμμὴ καλεῖται, καὶ

μῆκός ἐστιν· ἡ δ' ἐπὶ πλάτος γραμμῆς κίνησις ἐπιφανείας γένεσιν ἐν τριάδι παρέσχε· βάθους δὲ τοῖς προσγενομένου διὰ τεττάρων εἰς στερεὸν ἡ αὔξησις προβαίνει· παντὶ δῆλον, ὅτι μέχρι δεῦρο τὴν φύσιν ἡ τετρὰς προαγαγοῦσα μέχρι τοῦ σώματος τελειώσασα καὶ παρασχεῖν ἁπτὸν ὄγκον καὶ ἀντίτυπον, εἶτ' ἀπολέλοιπεν ἐνδεᾶ τοῦ μεγίστου. τὸ γὰρ ἄψυχον, ὡς ἁπλῶς εἰπεῖν, ὀρφανὸν καὶ ἀτελὲς καὶ πρὸς οὐδ' ὁτιοῦν, μὴ χρωμένης ψυχῆς, ἐπιτήδειον· ἡ δὲ τὴν ψυχὴν ἐμποιοῦσα κίνησις ἢ διάθεσις μεταβολὴ διὰ πέντε γινομένη, τῇ φύσει τὸ τέλειον ἀποδίδωσι, καὶ τοσούτῳ κυριώτερον ἔχει τῆς τετράδος λόγον, ὅσῳ τιμῇ διαφέρει τοῦ ἀψύχου τὸ ζῶον. ἔτι δ' ἰσχύσασα μᾶλλον ἡ τῶν πέντε συμμετρία καὶ δύναμις οὐκ εἴασεν εἰς ἄπειρα γένη προελθεῖν τὸ ἔμψυχον, ἀλλὰ πέντε τῶν ζώντων ἁπάντων ἰδέας παρέσχεν. εἰσὶ γὰρ θεοὶ δή που καὶ δαίμονες, καὶ ἥρωες, εἶτα μετὰ τούτους τὸ τέταρτον ἀνθρώποι γένος· ἔσχατον δὲ καὶ πέμπτον τὸ ἄλογον καὶ θηριῶδες. ἔτι δ' εἰ τὴν ψυχὴν αὐτὴν κατὰ φύσιν διαιρεῖς, πρῶτον αὐτῆς καὶ ἀμαυρότατόν ἐστι τὸ θρεπτικόν, δεύτερον δὲ τὸ αἰσθητικόν, εἶτα τὸ ἐπιθυμητικόν, εἶτα ἐπὶ τούτῳ τὸ θυμοειδές. εἰς δὲ τὴν τοῦ λογιστικοῦ δύναμιν, ἐξικομένη καὶ τελειώσασα τὴν φύσιν, ὥσπερ ἐν ἄκρῳ τῷ πέμπτῳ καταπέπαυκε.

XIV. Τοσαύτας δὲ καὶ τηλικαύτας ἔχοντος τοῦ ἀριθμοῦ δυνάμεις, καλὴ καὶ ἡ γένεσίς ἐστιν, οὐχ ἣν ἤδη διήλθομεν, ἐκ δυάδος οὖσα καὶ τριάδος, ἀλλ' ἣν ἀρχὴ τῷ πρώτῳ συνελθοῦσα τετραγώνῳ παρέ-

ἔχει. ἀρχὴ μὲν γὰρ ἀριθμοῦ παντὸς ἡ μονάς, τετράγωνος δὲ πρῶτος, ἡ τετράς· ἐκ δὲ τούτων, ὥσπερ ἰδέας καὶ ὕλης πέρας ἐχούσης, ἡ πεμπτάς. εἰ δὲ δὴ καὶ τὴν μονάδα τετράγωνον ὀρθῶς ἔνιοι τίθενται, δύναμιν οὖσαν ἑαυτῆς καὶ περαίνουσαν εἰς ἑαυτήν, ἐκ δυεῖν πεφυκυῖα τῶν πρώτων τετραγώνων ἡ πεμπτάς, οὐκ ἀπολέλοιπεν ὑπερβολὴν εὐγενείας.

XV. Τὸ δὲ μέγιστον, ἔφην, δέδια μὴ ῥηθὲν πιέζῃ τὸν Πλάτωνα ἡμῶν, ὡς ἐκεῖνος ἔλεγε πιέζεσθαι τῷ τῆς σελήνης ὀνόματι τὸν Ἀναξαγόραν, παμπάλαιον οὖσαν τινα τὴν περὶ τῶν φωτισμῶν δόξαν αὐτοῦ ἰδίαν ποιούμενον. ἢ γὰρ οὐ ταῦτα εἴρηκεν ἐν Κρατύλῳ; πάνυ μὲν οὖν· (ὁ Εὔστροφος ἔφη) τί δ' ὅμοιον πέφυκεν οὐ συνορῶ. καὶ μὴν οἶσθα δήπουθεν, ὅτι πέντε μὲν ἐν Σοφιστῇ τὰς κυριωτάτας ἀποδείκνυσιν ἀρχάς, τὸ ὄν, τὸ ταὐτόν, τὸ ἕτερον, τέταρτον δὲ καὶ πέμπτον ἐπὶ τούτοις κίνησιν καὶ στάσιν. ἄλλῳ δ' αὖ τρόπῳ διαιρέσεως ἐν Φιλήβῳ χρώμενος, ἓν μὲν εἶναί φησι τὸ ἄπειρον, ἕτερον δὲ, πέρας· τούτων δὲ μιγνυμένων πᾶσαν συνίστασθαι γένεσιν. αἰτίαν δ', ὑφ' ἧς μίγνυται, τέταρτον γένος τίθεται· καὶ πέμπτον ἡμῖν ὑπονοεῖν ἀπολέλοιπεν, ᾧ τὰ μιχθέντα πάλιν ἴσχει διάκρισιν καὶ διάστασιν. τεκμαίρομαι δὲ ταῦτ' ἐκείνων ὥσπερ εἰκόνας λέγεσθαι, τοῦ μὲν ὄντος τὸ γινόμενον, κινήσεως δὲ τὸ ἄπειρον, τὸ δὲ πέρας, τῆς στάσεως, ταὐτοῦ δὲ τὴν μιγνύουσαν ἀρχήν, θατέρου δὲ τὴν διακρίνουσαν. εἰ δ' ἕτερα ταῦτ' ἐστί, κἀκείνως ἂν εἴη καὶ οὕτως ἐν πέντε γενέσεσι καὶ διαφοραῖς. πυθόμενος (φησὶ)

δή τις ταῦτα πρότερος συνιδὼν Πλάτωνος, δύο ε καθιέρωσε τῷ θεῷ, δήλωμα καὶ σύμβολον τοῦ ἀριθμοῦ τῶν πάντων. ἀλλὰ μὴν καὶ τἀγαθὸν ἐν πέντε γενέσεσι φανταζόμενον κατανοήσας, ὧν πρῶτόν ἐστι τὸ μέτριον, δεύτερον δὲ τὸ σύμμετρον, καὶ τρίτον ὁ νοῦς, καὶ τέταρτον αἱ περὶ ψυχὴν ἐπιστῆμαι καὶ τέχναι καὶ δόξαι ἀληθεῖς, πέμπτον εἴ τις ἡδονὴ καθαρὰ καὶ πρὸς τὸ λυποῦν ἄκρατος, ἐνταῦθα λήγει τὸ Ὀρφικὸν ὑπειπών·

Ἕκτῃ δ' ἐν γενεᾷ καταπαύσατε θυμὸν ἀοιδῆς.

XVI. Ἐπὶ τούτοις, ἔφην, εἰρημένοις πρὸς ὑμᾶς ἐν βραχὺ τοῖς περὶ Νίκανδρον ᾄσω ξυνετοῖσι. τῆς γὰρ ἕκτης τοῦ νέου μηνὸς ὅταν κατάγῃ εἰς τὴν Πυθίαν εἰς τὸ πρυτανεῖον, ὁ πρῶτος ὑμῖν γίνεται τῶν τριῶν κλήρων εἰς τὰ πέντε πρὸς ἀλλήλους ἐκείνους τὰ τρία οὐδὲ τὰ δύο βάλλοντες. ἦ γὰρ οὐχ οὕτως ἔχει; καὶ ὁ Νίκανδρος· Οὕτως, εἶπεν· ἡ δ' αἰτία πρὸς ἑτέρους ἄρρητός ἐστι. Οὐκοῦν (ἔφην ἐγὼ μειδιάσας) ἄχρι οὗ τἀληθὲς ἡμῖν ὁ θεὸς ἱεροῖς γενομένοις γνῶναι παράσχῃ, προσθήσεται καὶ τοῦτο τοῖς ὑπὲρ τῆς πεντάδος λεγομένοις. τοιοῦτος μὲν καὶ ὁ τῶν ἀριθμητικῶν καὶ ὁ τῶν μαθηματικῶν ἐγκωμίων τοῦ ε λόγος, ὡς ἐγὼ μέμνημαι, πέρας ἔσχεν.

XVII. Ὁ δὲ Ἀμμώνιος, ἅτε δὴ καὶ αὐτὸς οὐ τὸ φαυλότατον ἐν μαθηματικῇ φιλοσοφίας τιθέμενος, ἥσθη τε τοῖς λεγομένοις καὶ εἶπεν· Οὐκ ἄξιον πρὸς ταῦτα λίαν ἀκριβῶς ἀντιλέγειν τοῖς νέοις, πλὴν ὅτι τῶν ἀριθμῶν ἕκαστος οὐκ ὀλίγα βουλομένοις καὶ ἡμῖν ἐπαινεῖν παρέξει. καὶ τί δεῖ περὶ τῶν ἄλλων

λέγειν; ἡ γὰρ ἱερὰ τοῦ Ἀπόλλωνος ἑβδομὰς ἀναλώσει τὴν ἡμέραν πρότερον, ἢ λόγῳ τὰς δυνάμεις αὐτῆς ἁπάσας ἐπεξελθεῖν. εἶτα τῷ κοινῷ νόμῳ πολεμοῦντας ἅμα καὶ τῷ πολλῷ χρόνῳ τοὺς σοφοὺς ἀποφανοῦμεν ἄνδρας, εἰ τὴν ἑβδομάδα τῆς προεδρίας παρώσαντες, τῷ θεῷ τὴν πεντάδα καθιέρωσαν, ὡς μᾶλλόν τι προσήκουσαν. οὔτ' οὖν ἀριθμὸν, οὔτε τάξιν, οὔτε σύνδεσμον, οὔτ' ἄλλο τῶν ἐλλειπῶν μορίων οὐδὲν οἶμαι τὸ γράμμα σημαίνειν. ἀλλ' ἔστιν αὐτοτελὴς τοῦ θεοῦ προσαγόρευσις καὶ προσφώνησις, ἅμα τῷ ῥήματι τὸν φθεγγόμενον εἰς ἔννοιαν καθιστᾶσα τῆς τοῦ θεοῦ δυνάμεως. ὁ μὲν γὰρ θεὸς ἕκαστον ἡμῶν ἐνταῦθα προσιόντα οἷον ἀσπαζόμενος προσαγορεύει τὸ, *Γνῶθι σαυτόν*· ὃ τοῦ χαῖρε δὴ, οὐθὲν μεῖόν ἐστιν. ἡμεῖς δὲ πάλιν ἀμειβόμενοι τὸν θεὸν, *Εἶ* φαμὲν, ὡς ἀληθῆ καὶ ἀψευδῆ καὶ μόνην μόνῳ προσήκουσαν τὴν τοῦ εἶναι προσαγόρευσιν ἀποδιδόντες.

XVIII. Ἡμῖν μὲν γὰρ ὄντως τοῦ εἶναι μέτεστιν οὐδὲν, ἀλλὰ πᾶσα θνητὴ φύσις ἐν μέσῳ γενέσεως καὶ φθορᾶς γενομένη, φάσμα παρέχει καὶ δόκησιν ἀμυδρὰν καὶ ἀβέβαιον αὐτῆς· ἂν δὲ τὴν διάνοιαν ἐπερείσῃς λαβέσθαι βουλόμενος, ὥσπερ ἡ σφοδρὰ περίδραξις ὕδατος τῷ πιέζειν εἰς ταὐτὸ καὶ συνάγειν διαῤῥέον ἀπόλλυσι τὸ περιλαμβανόμενον, οὕτω τῶν παθητῶν καὶ μεταβλητῶν ἑκάστου τὴν ἄγαν ἐνάργειαν ὁ λόγος διώκων ἀποσφάλλεται, τῇ μὲν εἰς τὸ γιγνόμενον αὐτοῦ, τῇ δ' εἰς τὸ φθειρόμενον, οὐδενὸς λαβέσθαι μένοντος, οὐδὲ ὄντος ὄντως δυνα-

μενος. Ποταμῷ γὰρ οὐκ ἔστιν ἐμβῆναι δὶς τῷ αὐτῷ, καθ' Ἡράκλειτον, οὐδὲ θνητῆς οὐσίας δὶς ἅψασθαι κατὰ ἕξιν· ἀλλ' ὀξύτητι καὶ τάχει μεταβολῆς σκίδνησι καὶ πάλιν συνάγει, μᾶλλον δὲ οὐδὲ πάλιν οὐδὲ ὕστερον, ἀλλ' ἅμα συνίσταται καὶ ἀπολείπει· πρόσεισι καὶ ἄπεισι· ὅθεν οὐδ' εἰς τὸ εἶναι περαίνει τὸ γιγνόμενον αὐτῆς, τῷ μηδέποτε λήγειν, μηδ' ἵστασθαι τὴν γένεσιν, ἀλλ' ἀπὸ σπέρματος ἀεὶ μεταβάλλουσαν, ἔμβρυον ποιεῖν, εἶτα βρέφος, εἶτα παῖδα, μειράκιον, ἐφεξῆς νεανίσκον, εἶτα ἄνδρα, πρεσβύτην, γέροντα, τὰς πρώτας φθείρουσαν γενέσεις καὶ ἡλικίας ταῖς ἐπιγιγνομέναις. ἀλλ' ἡμεῖς ἕνα φοβούμεθα γελοίως θάνατον, ἤδη τοσούτους τεθνηκότες καὶ θνήσκοντες. οὐ γὰρ μόνον (ὥς Ἡράκλειτος ἔλεγε) πυρὸς θάνατος, ἀέρι γένεσις, καὶ ἀέρος θάνατος, ὕδατι γένεσις, ἀλλ' ἔτι σαφέστερον ἐπ' αὐτῶν ἴδοις ἄν· φθείρεται μὲν ἀκμάζων γινομένου γέροντος, ἐφθάρη δ' ὁ νέος εἰς τὸν ἀκμάζοντα, καὶ ὁ παῖς εἰς τὸν νέον, εἰς δὲ τὸν παῖδα τὸ νήπιον· ὅ τε χθὲς εἰς τὸν σήμερον τέθνηκεν, ὁ δὲ σήμερον εἰς τὸν αὔριον ἀποθνήσκει· μένει δὲ οὐδεὶς, οὐδ' ἔστιν εἷς, ἀλλὰ γιγνόμεθα πολλοὶ, περὶ ἓν φάντασμα, καὶ κοινὸν ἐκμαγεῖον, ὕλης περιελαυνομένης καὶ ὀλισθαινούσης. ἐπεὶ πῶς οἱ αὐτοὶ μένοντες ἑτέροις χαίρομεν νῦν, ἑτέροις πρότερον, τἀναντία φιλοῦμεν, ἢ μισοῦμεν, καὶ θαυμάζομεν, καὶ ψέγομεν, ἄλλοις δὲ χρώμεθα λόγοις, ἄλλοις πάθεσιν, οὐκ εἶδος, οὐ μορφὴν, οὐ διάνοιαν ἔτι τὴν αὐτὴν ἔχοντες; οὔτε γὰρ ἄνευ μεταβολῆς ἕτερα πάσχειν εἰκός, οὔτε μετα-

μᾶλλον ὃ αὐτός ἐστιν· τὸ δ' ὁ αὐτὸς οὐκ ἔστιν, οὐδ' ἔστιν, ἀλλ' ἐκ τούτου αὐτοῦ μεταβάλλει, γιγνόμενος ἕτερος ἐξ ἑτέρου. ψεύδεται δ' ἡ αἴσθησις, ἀγνοίᾳ τοῦ ὄντος, εἶναι τὸ φαινόμενον.

XIX. Τί οὖν ὄντως ὄν ἐστι; τὸ ἀΐδιον καὶ ἀγένητον καὶ ἄφθαρτον, ᾧ χρόνος μεταβολὴν οὐδὲ εἷς ἐπάγει. κινητὸν γάρ τι, καὶ κινουμένῃ συμφανταζόμενον ὕλῃ, καὶ ῥέον ἀεὶ καὶ μὴ στέγον, ὥσπερ ἀγγεῖον φθορᾶς καὶ γενέσεως, ὁ χρόνος· οὗ γε δὴ τὸ μὲν ἔπειτα καὶ τὸ πρότερον, καὶ τὸ ἔσται λεγόμενον, καὶ τὸ γέγονεν, αὐτόθεν ἐξομολόγησίς ἐστι τοῦ μὴ ὄντος· τὸ γὰρ ἐν τῷ εἶναι τὸ μηδέπω γεγονὸς, ἢ πεπαυμένον ἤδη τοῦ εἶναι λέγειν, ὡς ἔστιν, εὔηθες καὶ ἄτοπον. ᾧ δὲ μάλιστα τὴν νόησιν ἐπερείδοντες τοῦ χρόνου, τὸ ἐνέστηκε, καὶ τὸ πάρεστι καὶ τὸ νῦν φθεγγόμεθα, τοῦτο αὖ πάλιν ἄγαν ἐκδυόμενος ὁ λόγος ἀπόλλυσιν. ἐκθλίβεται γὰρ εἰς τὸ μέλλον καὶ τὸ παρῳχημένον, ὥσπερ αὐγὴ, βουλομένοις ἰδεῖν, ἐξ ἀνάγκης διϊστάμενον. εἰ δὲ ταὐτὰ τῷ μετροῦντι πέπονθεν ἡ μετρουμένη φύσις, οὐδὲν αὐτῆς μένον οὐδὲ ὄν ἐστιν, ἀλλὰ γινόμενα πάντα καὶ φθειρόμενα κατὰ τὴν πρὸς τὸν χρόνον συννέμησιν. ὅθεν οὐδ' ὅσιόν ἐστιν οὐδὲν τοῦ ὄντος λέγειν, ὡς ἦν, ἢ ἔσται· ταῦτα γὰρ ἐγκλίσεις τινές εἰσι καὶ μεταβάσεις καὶ παραλλάξεις τοῦ μένειν ἐν τῷ εἶναι μὴ πεφυκότος.

XX. Ἀλλ' ἔστιν ὁ θεὸς, χρὴ φάναι, καὶ ἔστι κατ' οὐδένα χρόνον, ἀλλὰ κατὰ τὸν αἰῶνα τὸν ἀκίνητον καὶ ἄχρονον, καὶ ἀνέγκλιτον, καὶ οὐ πρότε-

ρον οὐδέν ἐστιν, οὐδ᾽ ὕστερον, οὐδὲ μέλλον, οὐδὲ παρῳχημένον, οὐδὲ πρεσβύτερον, οὐδὲ νεώτερον· ἀλλ᾽ εἷς ὢν ἑνὶ τῷ νῦν τὸ ἀεὶ πεπλήρωκε, καὶ μόνον ἐστὶ τὸ κατὰ τοῦτον ὄντως ὄν, οὐ γεγονὸς, οὐδ᾽ ἐσόμενον, οὐδ᾽ ἀρξάμενον, οὐδὲ παυσόμενον. οὕτως οὖν αὐτὸ δεῖ σεβομένους ἀσπάζεσθαι καὶ προσαγορεύειν, ἢ καὶ νὴ Δία, ὡς ἔνιοι τῶν παλαιῶν, εἶ ἕν. οὐ γὰρ πολλὰ τὸ θεῖόν ἐστιν, ὡς ἡμῶν ἕκαστος ἐκ μυρίων διαφορῶν ἐν πάθεσι γινομένων, ἄθροισμα παντοδαπὸν καὶ πανηγυρικῶς μεμιγμένον· ἀλλ᾽ ἓν εἶναι δεῖ τὸ ὄν, ὥσπερ ὂν τὸ ἕν. ἡ δ᾽ ἑτερότης, διαφορὰ τοῦ ὄντος, εἰς γένεσιν ἐξίσταται τοῦ μὴ ὄντος. ὅθεν εὖ καὶ τὸ πρῶτον ἔχει τῷ θεῷ τῶν ὀνομάτων, καὶ τὸ δεύτερον καὶ τὸ τρίτον. Ἀπόλλων μὲν γὰρ, οἷον ἀρνούμενος τὰ πολλὰ καὶ τὸ πλῆθος ἀποφάσκων ἐστίν· Ἤϊος δὲ, ὡς εἷς καὶ μόνος· φοῖβον δὲ δή που τὸ καθαρὸν καὶ ἁγνὸν οἱ παλαιοὶ πᾶν ὠνόμαζον, ὡς ἔτι Θεσσαλοὶ τοὺς ἱερέας ἐν ταῖς ἀποφράσιν ἡμέραις αὐτοὺς ἐφ᾽ ἑαυτῶν ἔξω διατρίβοντας, οἶμαι, φοιβονομεῖσθαι λέγουσι. τὸ δὲ ἓν, εἰλικρινὲς καὶ καθαρόν· ἑτέρου γὰρ μίξει πρὸς ἕτερον ὁ μιασμὸς, ὥς που καὶ Ὅμηρος ἐλέφαντά τινα φοινισσόμενον βαφῇ μιαίνεσθαί φησι· καὶ τὰ μιγνύμενα τῶν χρωμάτων οἱ βαφεῖς, φθείρεσθαι, καὶ φθορὰν τὴν μίξιν ὀνομάζουσιν. οὐκοῦν ἕν τε εἶναι καὶ ἄκρατον ἀεὶ τῷ ἀφθάρτῳ καὶ καθαρῷ προσήκει.

XXI. Τοὺς δ᾽ Ἀπόλλωνα καὶ ἥλιον ἡγουμένους τὸν αὐτὸν, ἀσπάζεσθαι μὲν ἄξιόν ἐστι καὶ φιλεῖν δι᾽ εὐφημίαν, ὃ μάλιστα τιμῶσιν ὧν ἴσασι καὶ ποθοῦ-

σιν, εἰς τοῦτο τιθέντας τοῦ θεοῦ τὴν ἐπίνοιαν. ὡς δὲ νῦν ἐν τῷ καλλίστῳ τῶν ἐνυπνίων τὸν θεὸν ὀνειροπολοῦντες, ἐγείρωμεν καὶ παρακαλῶμεν ἀνωτέρω προςάγειν, καὶ θεάσασθαι τὸ ὑπὲρ αὐτοὺς καὶ τὴν οὐσίαν· τιμᾶν δὲ καὶ τὴν εἰκόνα τήνδε, καὶ σέβεσθαι τὸ περὶ αὐτὴν γόνιμον, ὡς ἄνυστόν ἐστιν αἰσθητῷ νοητοῦ, καὶ φερομένῳ μένοντος, ἐμφάσεις τινὰς καὶ εἴδωλα διαλάμπουσαν ἁμωσγέπως τῆς περὶ ἐκεῖνον εὐμενείας καὶ μακαριότητος. ἐκστάσεις δ' αὐτοῦ καὶ μεταβολὰς πῦρ ἀφιέντος, αἳ αὐτὸν ἅμα σπῶσιν, ὥς λέγουσιν, αὖθίς τε καταθλίβοντος, ἐνταῦθα κατατείνοντος εἰς γῆν καὶ θάλασσαν καὶ ἀνέμους καὶ ζῶα καὶ τὰ δεινὰ παθήματα, καὶ ζώων καὶ φυτῶν, οὐδ' ἀκούειν ὅσιον· ἢ τοῦ ποιητικοῦ παιδὸς ἔσται φαυλότερος, ἣν ἐκεῖνος ἔν τινι ψαμάθῳ συντιθεμένῃ καὶ διαχεομένῃ πάλιν ὑφ' ἑαυτοῦ παίζει παιδιάν, ταύτῃ περὶ τὰ ὅλα χρώμενος ἀεί· καὶ τὸν κόσμον, οὐκ ὄντα πλάττων, εἶτ' ἀπολλύων γενόμενον. τοὐναντίον γὰρ ὅσον ἁμωσγέπως ἐγγέγονε τῷ κόσμῳ, τοῦτο συνδεῖ τὴν οὐσίαν καὶ κρατεῖ τῆς περὶ τὸ σωματικὸν ἀσθενείας ἐπὶ φθορὰν φερομένης. καί μοι δοκεῖ μάλιστα πρὸς τοῦτον τὸν λόγον ἀντιταττόμενον τὸ ῥῆμα καὶ μαρτυρόμενον, Εἶ φάναι πρὸς τὸν θεὸν, ὡς οὐδέποτε γενομένης περὶ αὐτὸν ἐκστάσεως καὶ μεταβολῆς, ἀλλ' ἑτέρῳ τινὶ θεῷ, μᾶλλον δὲ δαίμονι τεταγμένῳ περὶ τὴν ἐν φθορᾷ καὶ γενέσει φύσιν τοῦτο ποιεῖν καὶ πάσχειν προςῆκον· ὡς δῆλόν ἐστιν ἀπὸ τῶν ὀνομάτων εὐθὺς, οἷον ἐναντίων ὄντων καὶ ἀντιφώνων. λέγεται γὰρ ὁ μὲν,

G 2

47550

Ἀπόλλων, ὁ δὲ, Πλούτων· καὶ ὁ μὲν, Δήλιος, ὁ δὲ, Ἀϊδωνεύς· καὶ ὁ μὲν, Φοῖβος, ὁ δὲ, Σκότιος· καὶ παρ᾽ ᾧ μὲν αἱ Μοῦσαι καὶ ἡ Μνημοσύνη, παρ᾽ ᾧ δὲ ἡ Λήθη καὶ ἡ Σιωπή· καὶ ὁ μὲν Θεώριος καὶ Φαναῖος, ὁ δὲ Νυκτὸς ἀϊδνᾶς ἀεργηλοῖό τε Ὕπνου κοίρανος· καὶ ὁ μὲν

— Βροτοῖσι θεῶν ἔχθιστος ἁπάντων·

πρὸς ὃν δὲ Πίνδαρος εἴρηκεν, οὐκ ἀηδῶς,

Κατεκρίθη, θνατοῖς ἀγανώτατος ἔμμεν.

εἰκότως οὖν ὁ Εὐριπίδης εἶπεν·

Λοιβαὶ νεκύων φθιμένων
Ἀοιδαί, ἃς ὁ χρυσοκόμας
Ἀπόλλων οὐκ ἐνδέχεται.

καὶ πρότερος ἔτι τούτου ὁ Στησίχορος,

Μάλα τοι (μάλιστα) παιγμοσύνας φιλεῖ μολπάς τε Ἀπόλλων,
Κήδεα τε στοναχάς τε Ἀΐδας ἔλαχε.

Σοφοκλῆς δὲ καὶ τῶν ὀργάνων ἑκατέρῳ προσνέμων αὐτὸν δῆλός ἐστι διὰ τούτων·

Οὐ νάβλα κωκυτοῖσιν, οὐ λύρα φίλα,

καὶ γὰρ ὁ αὐλὸς ὀψὲ καὶ πρώην ἐτόλμησε φωνὴν ἐφ᾽ ἱμερτοῖσιν ἀφιέναι. τὸν δὲ πρῶτον χρόνον εἵλκετο πρὸς τὰ πένθη, καὶ τὴν περὶ ταῦτα αὐτουργίαν οὐ μάλα ἔντιμον, οὐδὲ φαιδρὰν εἶχεν, εἶτ᾽ ἐμίχθη παντάπασι. μάλιστα δὲ τὰ θεῖα πρὸς τὰ δαιμόνια συγχέοντες, εἰς ταραχὴν αὐτοὺς κατέστησαν. Ἀλλά γε τῷ Ε τὸ Γνῶθι σεαυτὸν ἔοικέ πως ἀντικεῖσθαι, καὶ τρόπον τινὰ πάλιν συνᾴδειν. τὸ μὲν γὰρ ἐκπλήξει καὶ σεβασμῷ πρὸς τὸν θεὸν, ὡς ὄντα διαπαντὸς,

ἀναπεφώνηται, τὸ δ' ὑπόμνησίς ἐστι τῷ θνητῷ τῆς περὶ αὐτὸ φύσεως καὶ ἀσθενείας.

# ΠΛΟΥΤΑΡΧΟΥ
## ΠΕΡΙ ΤΟΥ ΜΗ ΧΡΑΙΝ ΕΜΜΕΤΡΑ ΝΥΝ ΤΗΝ ΠΥΘΙΑΝ.

ΒΑΣΙΛΟΚΛΗΣ.

Ἑσπέραν ἐποιήσατε βαθεῖαν, ὦ Φιλῖνε, διὰ τῶν ἀναθημάτων παραπέμποντες τὸν ξένον. ἐγὼ γὰρ ὑμᾶς ἀναμένων ἀπηγόρευσα.

ΦΙΛΙΝΟΣ. Βραδέως γὰρ ὡδεύομεν, ὦ Βασιλόκλεις, σπείροντες λόγους καὶ θερίζοντες εὐθὺς μετὰ μάχης ὑπούλους καὶ πολεμικούς, ὥσπερ οἱ Σπαρτοὶ, βλαστάνοντας ἡμῖν καὶ ὑποφυομένους κατὰ τὴν ὁδόν.

ΒΑΣ. Ἕτερόν οὖν δεήσει τινὰ παρακαλεῖν τῶν παραγεγονότων, ἢ σὺ βούλει χαριζόμενος ἡμῖν διελθεῖν, τίνες ἦσαν οἱ λόγοι, καὶ τίνες οἱ λέγοντες;

ΦΙΛ. Ἐμὸν, ὡς ἔοικεν, ὦ Βασιλόκλεις, τὸ ἔργον. τῶν γὰρ ἄλλων οὐδενὶ ῥᾳδίως ἂν ἐντύχοις κατὰ πόλιν. τοὺς γὰρ πλείστους ἑώρων αὖθις εἰς τὸ Κωρύκιον τῷ ξένῳ καὶ τὴν Λυκουρίαν συναναβαίνοντας.

ΒΑΣ. Ἦ φιλοθεάμων τις ἡμῖν καὶ περιττῶς φιλήκοός ἐστιν ὁ ξένος;

ΦΙΛ. Φιλόλογος δὲ καὶ φιλομαθής ἐστι μᾶλλον. οὐ μὴν ταῦτα μάλιστα θαυμάζειν ἄξιον, ἀλλὰ πρᾳότης τε πολλὴν χάριν ἔχουσα, καὶ τὸ μάχιμον καὶ διαπορητικὸν ὑπὸ συνέσεως, οὔτε δύσκολον, οὔτε ἀντίτυπον πρὸς τὰς ἀποκρίσεις· ὥστε καὶ βραχὺ συγγενόμενον, εὐθὺς εἰπεῖν· Τέκος ἀγαθοῦ πατρός. οἶσθα γὰρ Διογενιανὸν ἀνδρῶν ἄριστον.

ΒΑΣ. Αὐτὸς μὲν οὐκ εἶδον, ὦ Φιλῖνε, πολλοῖς δὲ ἐντετύχηκα καὶ τὸν λόγον καὶ τὸ ἦθος τοῦ ἀνδρὸς ἰσχυρῶς ἀποδεχομένων, ὅμοια δὲ τούτοις ἕτερα περὶ τοῦ νεανίσκου λέγουσιν. ἀλλὰ τίνα ἀρχὴν ἔσχον οἱ λόγοι καὶ πρόφασιν;

II. ΦΙΛ. Ἐπέραινον οἱ περιηγηταὶ τὰ συντεταγμένα, μηδὲν ἡμῶν φροντίσαντες δεηθέντων ἐπιτεμεῖν τὰς ῥήσεις καὶ τὰ πολλὰ τῶν ἐπιγραμμάτων. τὸν δὲ ξένον ἡ μὲν ἰδέα καὶ τὸ τεχνικὸν τῶν ἀνδριάντων μετρίως προσήγετο, πολλῶν καὶ καλῶν ἔργων, ὡς ἔοικε, θεατὴν γεγενημένον. ἐθαύμαζε δὲ τοῦ χαλκοῦ τὸ ἀνθηρὸν, ὡς οὐ πίνῳ προσεοικὸς οὐδὲ ἰῷ, βαφῇ δὲ κυανοῦ στίλβοντος, ὥστε καὶ πέμψαι τι πρὸς τοὺς ναυάρχους, (ἀπ᾽ ἐκείνων γὰρ ἦρκται τῆς θέας) οἷον ἀτεχνῶς θαλαττίους τῇ χρόᾳ καὶ βυθίους ἑστῶτας. Ἆρ᾽ οὖν (ἔφη) κρᾶσίς τις ἦν καὶ φάρμαξις τῶν πάλαι τεχνιτῶν περὶ τὸν χαλκόν; ὥσπερ ἡ λεγομένη τῶν ξιφῶν στόμωσις, ἧς ἐκλειπούσης ἐκεχειρίαν ἔσχε πολεμικῶν ἔργων ὁ χαλκός; τὸν μὲν γὰρ Κορίνθιον, οὐ τέχνῃ, ἀλλὰ συντυχίᾳ τῆς χρόας

λαβεῖν τὸ κάλλος, ἐπινειμαμένου πυρὸς οἰκίαν ἔχουσάν τι χρυσοῦ καὶ ἀργύρου, πλεῖστον δὲ χαλκὸν ἀποκείμενον. ὧν συγχυθέντων καὶ συντακέντων, ὄνομα τοῦ χαλκοῦ τῷ μείζονι τὸ πλῆθος παρέσχεν. ὁ δὲ Θέων ὑπολαβών· Ἄλλον (ἔφη) λόγον ἡμεῖς ἀκηκόαμεν πανουργέστερον· ὡς ἀνὴρ ἐν Κορίνθῳ χαλκοτύπος, ἐπιτυχὼν θήκῃ χρυσίον ἐχούσῃ πολὺ, καὶ δεδοικὼς φανερὸς γενέσθαι, κατὰ μικρὸν ἀποκόπτων καὶ ὑπομιγνὺς ἀτρέμα τῷ χαλκῷ, θαυμαστὴν λαμβάνοντι κρᾶσιν, ἐπίπρασκε πολλοῦ διὰ τὴν χρόαν καὶ τὸ κάλλος ἀγαπώμενον. ἀλλὰ καὶ ταῦτα κἀκεῖνα μῦθός ἐστιν. ἦν δέ τις (ὡς ἔοικε) μίξις καὶ ἄρτυσις, ὥς που καὶ νῦν ἀνακεραννύντες ἀργύρῳ χρυσὸν, ἰδίαν τινὰ καὶ περιττὴν, ἐμοὶ δὲ φαινομένην νοσώδη χλωρότητα καὶ φθορὰν ἄκαλλῆ παρέχουσι.

III. Τίνα οὖν αἰτίαν (ἔφη ὁ Διογενιανὸς) οἴει τῆς ἐνταῦθα τοῦ χαλκοῦ χροιᾶς γεγονέναι; καὶ ὁ Θέων· Ὅταν (ἔφη) τῶν πρώτων καὶ φυσικωτάτων καὶ ἐσομένων καὶ ὄντων, πυρὸς καὶ γῆς καὶ ἀέρος καὶ ὕδατος, μηδὲν ἄλλο τῷ χαλκῷ πλησιάζῃ, μηδὲ ὁμιλῇ, πλὴν μόνος ὁ ἀὴρ, δῆλός ἐστιν ὑπὸ τούτου πεπονθὼς, καὶ διὰ τοῦτον ἐσχηκὼς ἣν ἔχει διαφορὰν ἀεὶ συνόντα καὶ προσκείμενον, ἢ τοῦτο μὲν ᾔδεις, πρὶν Θεόγνιν γεγονέναι, κατὰ τὸν κωμικόν· ἣν δ' ἔχων φύσιν ὁ ἀὴρ, ᾗ τε χρώμενος δυνάμει κατὰ τὰς ἐπιψαύσεις ἐπικέχρωκε τὸν χαλκὸν ἐπιθυμεῖς μαθεῖν; φήσαντος δὲ τοῦ Διογενιανοῦ· Καὶ γὰρ ἐγὼ, (εἶπεν) ὦ παῖ· ζητῶμεν οὖν κοινῇ καὶ πρότερον, εἰ βούλει, δι' ἣν αἰτίαν μάλιστα τῶν ὑγρῶν ἀναπίμπλησιν ἰοῦ

τοὔλαιον. οὐ γάρ αὐτό γε δή που τῷ χαλκῷ προςτρίβεσθαι τὸν ἰὸν, ἅτε δὴ καθαρὸν αὐτῷ καὶ ἀμίαντον πλησιάζοντα. Οὐδαμῶς, (εἶπεν ὁ νεανίας) ἄλλο δ' αὐτῷ δοκεῖ τούτου τὸ αἴτιον ὑπάρχειν· λεπτῷ γὰρ ὄντι καὶ καθαρῷ καὶ διαυγεῖ προςπίπτων ὁ ἰὸς, ἐκφανέστατός ἐστιν, ἐν δὲ τοῖς ἄλλοις ὑγροῖς ἀφανίζεται. καὶ ὁ Θέων· Εὖγε (εἶπεν) ὦ παῖ, καὶ καλῶς· σκόπει δὲ, εἰ βούλει, καὶ τὴν ὑπὸ Ἀριστοτέλους αἰτίαν λεγομένην. Ἀλλὰ βούλομαι, εἶπε. φησὶ τοίνυν τῶν μὲν ἄλλων ὑγρῶν ἐπιόντα διέχειν ἀδήλως καὶ διαπείρεσθαι τὸν ἰὸν, ἀνωμάλων καὶ μανῶν ὄντων. τοῦ δ' ἐλαίου τῇ πυκνότητι στέγεσθαι, καὶ διαμένειν ἀθροιζόμενον. ἂν οὖν καὶ αὐτοί τι τοιοῦτον ὑποθέσθαι δυνηθῶμεν, οὐ παντάπασιν ἀπορήσομεν ἐπῳδῆς καὶ παραμυθίας πρὸς τὴν ἀπορίαν.

IV. Ὡς οὖν ἐκελεύομεν καὶ συνεχωροῦμεν, ἔφη· τὸν ἀέρα τὸν ἐν Δελφοῖς πυκνὸν ὄντα καὶ συνεχῆ, καὶ τόνον ἔχοντα, διὰ τὴν ὑπὸ τῶν ὀρῶν ἀνάκλασιν καὶ ἀντέρεισιν, ἔτι καὶ δηκτικὸν, λεπτὸν εἶναι, ὥσπερ μαρτυρεῖ καὶ τὰ περὶ τὰς πέψεις τροφῆς. ἐνδυόμενον οὖν ὑπὸ λεπτότητος καὶ τέμνοντα τὸν χαλκὸν, ἀναχαράσσειν πολὺν ἰὸν ἐξ αὐτοῦ καὶ γεώδη, στέγειν δὲ τοῦτον αὖ πάλιν καὶ πιέζειν τῆς πυκνότητος διάχυσιν μὴ διδούσης, τὸν δὲ ὑφιστάμενον αὐτὴν διὰ πλῆθος ἐξανθεῖν, καὶ λαμβάνειν αὐγὴν καὶ γάνωμα περὶ τὴν ἐπιφάνειαν. ἀποδεξαμένων δὲ ἡμῶν, ὁ ξένος ἔφη τὴν ἑτέραν ἀρκεῖν ὑπόθεσιν πρὸς τὸν λόγον. Ἡ δὲ λεπτότης (ἔφη) δόξει μὲν ὑπεναντιοῦσθαι καὶ πρὸς τὴν λεγομένην πυκνότητα τοῦ ἀέρος, λαμβάνε-

ται δ' οὐκ ἀναγκαίως. αὐτὸς γὰρ ὑφ' ἑαυτοῦ παλαιούμενος ὁ χαλκὸς ἀποπνεῖ καὶ μεθίησι τὸν ἰὸν, ὃν ἡ πυκνότης συνέχουσα καὶ παχνοῦσα, ποιεῖ ἐκφανῆ διὰ τὸ πλῆθος. ὑπολαβὼν δὲ ὁ Θέων, τί γὰρ, (εἶπεν) ὦ ξένε, κωλύει ταὐτὸ εἶναι καὶ λεπτὸν καὶ πυκνὸν, ὥςπερ τὰ σηρικὰ καὶ τὰ βύσσινα τῶν ὑφασμάτων, ἐφ' ὧν καὶ Ὅμηρος εἶπε·

Καιροσέων δ' ὀθονῶν ἀπολείβεται ὑγρὸν ἔλαιον, ἐνδεικνύμενος τὴν ἀκρίβειαν καὶ λεπτότητα τοῦ ὕφους, τῷ μὴ προςμένειν τὸ ἔλαιον, ἀλλ' ἀποῤῥεῖν καὶ ἀπολισθαίνειν, τῆς πυκνότητος οὐ διείσης. καὶ μὴν οὐ μόνον πρὸς τὴν ἀναχάραξιν τοῦ ἰοῦ χρήσαιτο ἂν τῇ λεπτότητι τοῦ ἀέρος, ἀλλὰ καὶ τὴν χρόαν αὐτὴν ποιεῖν ἔοικεν ἡδίονα καὶ γλαυκοτέραν, ἀναμιγνύουσα τῷ κυανῷ φῶς καὶ αὐγήν.

V. Ἐκ τούτου γενομένης σιωπῆς, πάλιν οἱ περιηγηταὶ προςεχειρίζοντο τὰς ῥήσεις. χρησμοῦ δέ τινος ἐμμέτρου λεχθέντος, οἶμαι, περὶ τῆς Αἴγωνος τοῦ Ἀργείου βασιλείας, πολλάκις ἔφη θαυμάσαι τῶν ἐπῶν ὁ Διογενιανὸς, ἐν οἷς οἱ χρησμοὶ λέγονται, τὴν φαυλότητα καὶ τὴν εὐτέλειαν. καίτοι μουσηγέτης ὁ θεὸς, καὶ τῆς λεγομένης λογιότητος οὐχ ἧττον αὐτῷ τὸ καλὸν, ἢ τῆς περὶ μέλη καὶ ᾠδὰς καὶ εὐφωνίας μετεῖναι, καὶ πολὺ τὸν Ἡσίοδον εὐεπείᾳ καὶ τὸν Ὅμηρον ὑπερφθέγγεσθαι· τοὺς δὲ πολλοὺς τῶν χρησμῶν ὁρῶμεν καὶ τοῖς μέτροις καὶ τοῖς ὀνόμασι πλημμελείας καὶ φαυλότητος ἀναπεπλησμένους. παρὼν οὖν Ἀθήνηθεν ὁ ποιητὴς Σεραπίων· Εἶτα (ἔφη) ταῦτα τὰ ἔπη τοῦ θεοῦ πιστεύοντες εἶναι,

τὸ ἄσωμον οὖν πάλιν, ὡς λέγεται, κάλλει τῶν Ὁμήρου καὶ Ἡσιόδου λέγειν, οὐ χρησόμεθα τούτοις ὡς ἄριστα καὶ κάλλιστα πεποιημένοις, ἐπανορθούμενοι τὴν αὐτῶν κρίσιν προκατειλημμένην ὑπὸ φαύλης συνηθείας. ὑπολαβὼν οὖν Βόηθος ὁ γεωμέτρης· (οἶσθα γὰρ τὸν ἄνδρα μεταταττόμενον ἤδη πρὸς τὸν Ἐπίκουρον) Ἆρ᾽ οὖν, ἔφη, τὸ τοῦ ζωγράφου Παύσωνος ἀκήκοας; Οὐκ ἔγωγε (εἶπεν ὁ Σεραπίων) Ἀλλὰ μὴν ἄξιον. ἐκλαβὼν γὰρ, ὡς ἔοικεν, ἵππον ἀλινδούμενον γράψαι, τρέχοντα ἔγραψεν. ἀγανακτοῦντος δὲ τοῦ ἀνθρώπου, γελάσας ὁ Παύσων κατέστρεψε τὸν πίνακα· καὶ γενομένων ἄνω τῶν κάτω, πάλιν ὁ ἵππος οὐ τρέχων, ἀλλ᾽ ἀλινδούμενος ἐφαίνετο. τοῦτό φησιν ὁ Βίων ἐνίους τῶν λόγων πάσχειν, ὅταν ἀναστραφῶσι. διὸ καὶ τοὺς χρησμοὺς ἔνιοι οὐ φήσουσιν καλῶς ἔχειν, ὅτι τοῦ θεοῦ εἰσιν· ἀλλὰ τοῦ θεοῦ μὴ εἶναι, ὅτι φαύλως ἔχουσιν. ἐκεῖνο μὲν γὰρ ἐν ἀδήλῳ· τὸ δὲ τὰ ἔπη οὐκ εὖ πεποιῆσθαι τὰ περὶ τοὺς χρησμοὺς, καί σοι κριτῇ δήπουθεν, ὦ φίλε Σεράπιον, (εἶπεν) ἐναργές ἐστι. ποιήματα γὰρ γράφεις, τοῖς μὲν πράγμασι φιλοσόφως καὶ αὐστηρῶς, δυνάμει δὲ καὶ χάριτι καὶ κατασκευῇ περὶ λέξιν ἐοικότα τοῖς Ὁμήρου καὶ Ἡσιόδου μᾶλλον, ἢ τοῖς ὑπὸ τῆς Πυθίας ἐκφερομένοις.

VI. Καὶ ὁ Σεραπίων· Νοσοῦμεν γὰρ, εἶπεν, ὦ Βόηθε, καὶ τὰ ὦτα καὶ τὰ ὄμματα, συνειθισμένοι διὰ τρυφὴν καὶ μαλακίαν τὰ ἡδίω καλὰ νομίζειν καὶ ἀποφαίνεσθαι. τάχα δὴ μεμψόμεθα τὴν Πυθίαν, ὅτι Γλαύκης οὐ φθέγγεται τῆς κιθαρῳδοῦ

λιγυρώτερον, οὐδὲ χριομένη μύροις, οὐδὲ ἁλουργίδας ἀμπεχομένη κάτεισιν εἰς τὸ ἄδυτον, οὐδ' ἐπιθυμιᾷ κασσίαν, ἢ λήδανον, ἢ λιβανωτὸν, ἀλλὰ δάφνην καὶ κρίθινον ἄλευρον. οὐχ ὁρᾷς, (εἶπεν) ὅσην χάριν ἔχει τὰ Σαπφικὰ μέλη, κηλοῦντα καὶ καταθέλγοντα τοὺς ἀκροωμένους; Σίβυλλα δὲ μαινομένῳ στόματι, καθ' Ἡράκλειτον, ἀγέλαστα καὶ ἀκαλλώπιστα καὶ ἀμύριστα φθεγγομένη, χιλίων ἐτῶν ἐξικνεῖται τῇ φωνῇ διὰ τὸν θεόν. ὁ δὲ Πίνδαρος ἀκοῦσαι φησὶ τοῦ θεοῦ τὸν Κάδμον οὐ μουσικὰν ὀρθὰν, οὐχ ἡδεῖαν, οὐδὲ τρυφερὰν, οὐδὲ ἐπικεκλασμένην τοῖς μέλεσιν. ἡδονὴν γὰρ οὐ προσίεται τὸ ἀπαθὲς καὶ ἁγνὸν, ἀλλ' ἐνταῦθα μετὰ τῆς ἄτης ἐῤῥίφη καὶ τὸ πλεῖστον αὐτῆς, καὶ, ὡς ἔοικεν, εἰς τὰ ὦτα τῶν ἀνθρώπων συνεῤῥύηκεν.

VII. Εἰπόντος δὲ ταῦτα τοῦ Σεραπίωνος, ὁ Θέων μειδιάσας· Ὁ Σεραπίων μὲν (εἶπε) τὸ εἰωθὸς ἀποδέδωκε τῷ τρόπῳ, λόγου περὶ αὐτῆς τῆς ἡδονῆς παραπεσόντος ἀπολαύσας· ἡμεῖς δὲ, ὦ Βόηθε, κἂν ᾖ φαυλότερα τῶν Ὁμήρου ταῦτα τὰ ἔπη, μὴ νομίζωμεν αὐτὰ πεποιηκέναι τὸν θεὸν, ἀλλὰ ἐκείνου τὴν ἀρχὴν τῆς κινήσεως ἐνδιδόντος, ὡς ἑκάστη πέφυκε κινεῖσθαι τῶν προφητίδων. καὶ γὰρ εἰ γράφειν ἔδει μὴ λέγειν τοὺς χρησμοὺς, οὐκ ἂν, οἶμαι, τοῦ θεοῦ τὰ γράμματα νομίζοντες ἐψέγομεν, ὅτι λείπεται καλλιγραφία τῶν βασιλικῶν. οὐ γάρ ἐστι θεοῦ ἡ γῆρυς, οὐδὲ ὁ φθόγγος, οὐδὲ ἡ λέξις, οὐδὲ τὸ μέτρον, ἀλλὰ τῆς γυναικός· ἐκεῖνος δὲ μόνας τὰς φαντασίας παρίστησι, καὶ φῶς ἐν τῇ ψυχῇ ποιεῖ πρὸς τὸ μέλ-

λον. ὁ γὰρ ἐνθουσιασμὸς τοιοῦτόν ἐστι. καθόλου δὲ εἰπεῖν, ὑμᾶς τοὺς τοῦ Ἐπικούρου προφήτας (δῆλος γὰρ εἶ καὶ αὐτὸς ὑποφερόμενος) οὐκ ἔστι διαφυγεῖν, ἀλλὰ κακίας αἰτιᾶσθε τὰς πάλαι προφήτιδας, ὡς φαύλοις ποιήμασι χρωμένας, καὶ τὰς νῦν, καταλογάδην καὶ διὰ τῶν ἐπιτυχόντων ὀνομάτων τοὺς χρησμοὺς λεγούσας, ὅπως ὑμῖν ἀκεφάλων καὶ λαγαρῶν μέτρων καὶ μειούρων εὐθύνας μὴ ὑπέχωσι. καὶ ὁ Διογενιανός· Μὴ παῖζε (εἶπεν) ὦ πρὸς θεῶν, ἀλλὰ διάλυσον ἡμῖν ταύτην τὴν ἀπορίαν κοινὴν οὖσαν. οὐδεὶς γάρ ἐστιν ἄλλων, ὃς οὐκ αἰτίαν ἐπιζητεῖ καὶ λόγον, ὡς πέπαυται τὸ μαντεῖον ἔπεσι καὶ λόγοις χρώμενον. ὑπολαβὼν οὖν ὁ Θέων· Ἀλλὰ καὶ νῦν, (εἶπεν) ὦ παῖ, δοκοῦμεν ἐπηρείᾳ τινὶ τοὺς περιηγητὰς ἀφαιρεῖσθαι τὸ οἰκεῖον ἔργον. ἔασον οὖν γενέσθαι τὸ τούτων πρότερον, εἶτα περὶ ὧν βούλει καθ' ἡσυχίαν διαπορήσεις.

VIII. Ἤδη δὲ προϊόντες ἦμεν κατὰ τὸν Ἱέρωνος ἀνδριάντα τοῦ τυράννου· καὶ τῶν μὲν ἄλλων ὁ ξένος, εἰδὼς ἅπαντα, παρεῖχεν ὅμως ὑπὸ εὐκολίας ἀκροατὴν αὐτόν. ἀκούσας δὲ, ὅτι κίων τις ἑστὼς ἄνω χαλκοῦς Ἱέρωνος ἔπεσεν αὐτομάτως τῆς ἡμέρας ἐκείνης, ᾗ τὸν Ἱέρωνα συνέβαινεν ἐν Συρακούσαις τελευτᾶν, ἐθαύμασε. κἀγὼ τῶν ὁμοίων ἅμα συνανεμίμνησκον, οἷα δὴ τοῦ Ἱέρωνος μὲν τοῦ Σπαρτιάτου, ὅτι πρὸ τῆς ἐν Λεύκτροις αὐτῷ γενομένης τελευτῆς ἐξέπεσον οἱ ὀφθαλμοὶ τοῦ ἀνδριάντος· οἱ δὲ ἀστέρες ἠφανίσθησαν, οὓς Λύσανδρος ἀνέθηκεν ἀπὸ τῆς ἐν Αἰγὸς ποταμοῖς ναυμαχίας. ὁ δὲ αὐτοῦ τοῦ

Λυσάνδρου λίθινος ἀνδριὰς ἐξήνθησεν ἀγρίαν λόχμην καὶ πόαν τοσαύτην τὸ πλῆθος, ὥστε κατακρύψαι τὸ πρόσωπον. ἐν δὲ τοῖς Σικελικοῖς τῶν Ἀθηναίων ἀτυχήμασιν αἵ τε χρυσαῖ τοῦ φοίνικος ἀπέῤῥεον βάλανοι, καὶ τὴν ἀσπίδα τοῦ παλλαδίου κόρακες περιέκοπτον. ὁ δὲ Κνιδίων στέφανος, ὃν Φαρσαλίᾳ τῇ ὀρχηστρίδι Φιλόμηλος, ὁ Φωκέων τύραννος, ἐδωρήσατο, μεταστᾶσαν αὐτὴν ἐκ τῆς Ἑλλάδος εἰς τὴν Ἰταλίαν, ἀπώλεσεν ἐν Μεταποντίῳ παίζουσαν περὶ τὸν νεὼν τοῦ Ἀπόλλωνος· ὁρμήσαντες γὰρ ἐπὶ τὸν στέφανον οἱ νεανίσκοι, καὶ μαχόμενοι περὶ τοῦ χρυσίου πρὸς ἀλλήλους, διέσπασαν τὴν ἄνθρωπον. Ἀριστοτέλης μὲν οὖν μόνον Ὅμηρον ἔλεγε κινούμενα ποιεῖν ὀνόματα διὰ τὴν ἐνάργειαν· ἐγὼ δὲ φαίην ἂν καὶ τῶν ἀναθημάτων τὰ ἐνταυθοῖ μάλιστα συγκινεῖσθαι καὶ συνεπισημαίνειν τῇ τοῦ θεοῦ προνοίᾳ· καὶ τούτων μέρος μηθὲν εἶναι κενὸν, μηδὲ ἀναίσθητον, ἀλλὰ πεπλῆσθαι πάντα θειότητος. καὶ ὁ Βόηθος· Ναί· (εἶπεν) οὐ γὰρ ἀρκεῖ τὸν θεὸν εἰς σῶμα καθειργνύναι θνητὸν ἅπαξ ἑκάστου μηνὸς, ἀλλὰ καὶ λίθῳ παντὶ καὶ χαλκῷ συμφυράσομεν αὐτὸν, ὥσπερ οὐκ ἔχοντες ἀξιόχρεω τῶν τοιούτων συμπτωμάτων τὴν τύχην δημιουργὸν καὶ τὸ αὐτόματον. εἶτα (ἔφην ἐγὼ) τύχῃ σοι δοκεῖ καὶ αὐτομάτῳ τῶν τοιούτων ἕκαστον ἐοικέναι, καὶ πιθανόν ἐστι τὰς ἀτόμους ἐξολισθεῖν καὶ διαλυθῆναι καὶ παρεγκλῖναι, μήτε πρότερον μήτε ὕστερον, ἀλλὰ κατ᾽ ἐκεῖνον τὸν χρόνον, ἐν ᾧ τῶν ἀναθέντων ἕκαστος ἢ χεῖρον ἔμελλε πράξειν ἢ βέλτιον; καὶ σὲ μὲν Ἐπίκουρος

Ἀπόλλων, ὁ δὲ, Πλούτων· καὶ ὁ μὲν, Δήλιος, ὁ δὲ, Ἀϊδωνεύς· καὶ ὁ μὲν, Φοῖβος, ὁ δὲ, Σκότιος· καὶ παρ᾽ ᾧ μὲν αἱ Μοῦσαι καὶ ἡ Μνημοσύνη, παρ᾽ ᾧ δὲ ἡ Λήθη καὶ ἡ Σιωπή· καὶ ὁ μὲν Θεώριος καὶ Φαναῖος, ὁ δὲ Νυκτὸς ἀϊδνᾶς ἀεργηλοῖό τε Ὕπνου κοίρανος· καὶ ὁ μὲν

— Βροτοῖσι θεῶν ἔχθιστος ἁπάντων·

πρὸς ὃν δὲ Πίνδαρος εἴρηκεν, οὐκ ἀηδῶς,

Κατεκρίθη, θνατοῖς ἀγανώτατος ἔμμεν.

εἰκότως οὖν ὁ Εὐριπίδης εἶπεν·

Λοιβαὶ νεκύων φθιμένων
Ἀοιδαὶ, ἃς ὁ χρυσοκόμας
Ἀπόλλων οὐκ ἐνδέχεται.

καὶ πρότερος ἔτι τούτου ὁ Στησίχορος,

Μάλα τοι (μάλιστα) παιγμοσύνας φιλεῖ μολπάς τε Ἀπόλλων,
Κήδεα τε στοναχάς τε Ἀΐδας ἔλαχε.

Σοφοκλῆς δὲ καὶ τῶν ὀργάνων ἑκατέρῳ προσνέμων ἑκάτερον δῆλός ἐστι διὰ τούτων·

Οὐ νάβλα κωκυτοῖσιν, οὐ λύρα φίλα,

καὶ γὰρ ὁ αὐλὸς ὀψὲ καὶ πρώην ἐτόλμησε φωνὴν ἐφ᾽ ἱμερτοῖσιν ἀφιέναι. τὸν δὲ πρῶτον χρόνον εἵλκετο πρὸς τὰ πένθη, καὶ τὴν περὶ ταῦτα αὐτουργίαν οὐ μάλα ἔντιμον, οὐδὲ φαιδρὰν εἶχεν, εἶτ᾽ ἐμίχθη παντάπασι. μάλιστα δὲ τὰ θεῖα πρὸς τὰ δαιμόνια συγχέοντες, εἰς ταραχὴν αὐτοὺς κατέστησαν. Ἀλλά γε τῷ Ε τὸ Γνῶθι σεαυτὸν ἔοικέ πως ἀντικεῖσθαι, καὶ τρόπον τινὰ πάλιν συνᾴδειν. τὸ μὲν γὰρ ἐκπλήξει καὶ σεβασμῷ πρὸς τὸν θεὸν, ὡς ὄντα διαπαντὸς,

ἀναπεφώνηται, τὸ δ' ὑπόμνησίς ἐστι τῷ θνητῷ τῆς περὶ αὐτὸ φύσεως καὶ ἀσθενείας.

# ΠΛΟΥΤΑΡΧΟΥ
## ΠΕΡΙ ΤΟΥ
## ΜΗ ΧΡΑΙΝ ΕΜΜΕΤΡΑ ΝΥΝ ΤΗΝ ΠΥΘΙΑΝ.

### ΒΑΣΙΛΟΚΛΗΣ.

Ἑσπέραν ἐποιήσατε βαθεῖαν, ὦ Φιλῖνε, διὰ τῶν ἀναθημάτων παραπέμποντες τὸν ξένον. ἐγὼ γὰρ ὑμᾶς ἀναμένων ἀπηγόρευσα.

ΦΙΛΙΝΟΣ. Βραδέως γὰρ ὡδεύομεν, ὦ Βασιλόκλεις, σπείροντες λόγους καὶ θερίζοντες εὐθὺς μετὰ μάχης ὑπούλους καὶ πολεμικοὺς, ὥσπερ οἱ Σπαρτοὶ, βλαστάνοντας ἡμῖν καὶ ὑποφυομένους κατὰ τὴν ὁδόν.

ΒΑΣ. Ἕτερόν οὖν δεήσει τινὰ παρακαλεῖν τῶν παραγεγονότων, ἢ σὺ βούλει χαριζόμενος ἡμῖν διελθεῖν, τίνες ἦσαν οἱ λόγοι, καὶ τίνες οἱ λέγοντες;

ΦΙΛ. Ἐμὸν, ὡς ἔοικεν, ὦ Βασιλόκλεις, τὸ ἔργον. τῶν γὰρ ἄλλων οὐδενὶ ῥᾳδίως ἂν ἐντύχοις κατὰ πόλιν. τοὺς γὰρ πλείστους ἑώρων αὖθις εἰς τὸ Κωρύκιον τῷ ξένῳ καὶ τὴν Λυκουρίαν συναναβαίνοντας.

*ΒΑΣ.* Ἡ φιλοθεάμων τις ἡμῖν καὶ περιττῶς φιλήκοός ἐστιν ὁ ξένος;

*ΦΙΛ.* Φιλόλογος δὲ καὶ φιλομαθής ἐστι μᾶλλον. οὐ μὴν ταῦτα μάλιστα θαυμάζειν ἄξιον, ἀλλὰ πρᾳότης τε πολλὴν χάριν ἔχουσα, καὶ τὸ μάχιμον καὶ διαπορητικὸν ὑπὸ συνέσεως, οὔτε δύςκολον, οὔτε ἀντίτυπον πρὸς τὰς ἀποκρίσεις· ὥςτε καὶ βραχὺ συγγενόμενον, εὐθὺς εἰπεῖν· Τέκος ἀγαθοῦ πατρός. οἶσθα γὰρ Διογενιανὸν ἀνδρῶν ἄριστον.

*ΒΑΣ.* Αὐτὸς μὲν οὐκ εἶδον, ὦ Φιλῖνε, πολλοῖς δὲ ἐντετύχηκα καὶ τὸν λόγον καὶ τὸ ἦθος τοῦ ἀνδρὸς ἰσχυρῶς ἀποδεχομένων, ὅμοια δὲ τούτοις ἕτερα περὶ τοῦ νεανίσκου λέγουσιν. ἀλλὰ τίνα ἀρχὴν ἔσχον οἱ λόγοι καὶ πρόφασιν;

II. *ΦΙΛ.* Ἐπέραινον οἱ περιηγηταὶ τὰ συντεταγμένα, μηδὲν ἡμῶν φροντίσαντες δεηθέντων ἐπιτεμεῖν τὰς ῥήσεις καὶ τὰ πολλὰ τῶν ἐπιγραμμάτων. τὸν δὲ ξένον ἡ μὲν ἰδέα καὶ τὸ τεχνικὸν τῶν ἀνδριάντων μετρίως προςήγετο, πολλῶν καὶ καλῶν ἔργων, ὡς ἔοικε, θεατὴν γεγενημένον. ἐθαύμαζε δὲ τοῦ χαλκοῦ τὸ ἀνθηρὸν, ὡς οὐ πίνῳ προςεοικὸς οὐδὲ ἰῷ, βαφῇ δὲ κυανοῦ στίλβοντος, ὥστε καὶ πέμψαι τι πρὸς τοὺς ναυάρχους, (ἀπ᾽ ἐκείνων γὰρ ἦρκται τῆς θέας) οἷον ἀτεχνῶς θαλαττίους τῇ χρόᾳ καὶ βυθίους ἑστῶτας. Ἆρ᾽ οὖν (ἔφη) κρᾶσίς τις ἦν καὶ φάρμαξις τῶν πάλαι τεχνιτῶν περὶ τὸν χαλκὸν; ὥςπερ ἡ λεγομένη τῶν ξιφῶν στόμωσις, ἧς ἐκλειπούσης ἐκεχειρίαν ἔσχε πολεμικῶν ἔργων ὁ χαλκός; τὸν μὲν γὰρ Κορίνθιον, οὐ τέχνῃ, ἀλλὰ συντυχίᾳ τῆς χρόας

λαβεῖν τὸ κάλλος, ἐπινειμαμένου πυρὸς οἰκίαν ἔχουσάν τι χρυσοῦ καὶ ἀργύρου, πλεῖστον δὲ χαλκὸν ἀποκείμενον. ὧν συγχυθέντων καὶ συντακέντων, ὄνομα τοῦ χαλκοῦ τῷ μείζονι τὸ πλῆθος παρέσχεν. ὁ δὲ Θέων ὑπολαβών· Ἄλλον (ἔφη) λόγον ἡμεῖς ἀκηκόαμεν πανουργέστερον· ὡς ἀνὴρ ἐν Κορίνθῳ χαλκοτύπος, ἐπιτυχὼν θήκῃ χρυσίον ἐχούσῃ πολὺ, καὶ δεδοικὼς φανερὸς γενέσθαι, κατὰ μικρὸν ἀποκόπτων καὶ ὑπομιγνὺς ἀτρέμα τῷ χαλκῷ, θαυμαστὴν λαμβάνοντι κρᾶσιν, ἐπίπρασκε πολλοῦ διὰ τὴν χρόαν καὶ τὸ κάλλος ἀγαπώμενον. ἀλλὰ καὶ ταῦτα κἀκεῖνα μῦθός ἐστιν. ἦν δέ τις (ὡς ἔοικε) μίξις καὶ ἄρτυσις, ὥς που καὶ νῦν ἀνακεραννύντες ἀργύρῳ χρυσὸν, ἰδίαν τινὰ καὶ περιττὴν, ἐμοὶ δὲ φαινομένην νοσώδη χλωρότητα καὶ φθορὰν ἀκαλλῆ παρέχουσι.

III. Τίνα οὖν αἰτίαν (ἔφη ὁ Διογενιανὸς) οἴει τῆς ἐνταῦθα τοῦ χαλκοῦ χροιᾶς γεγονέναι; καὶ ὁ Θέων· Ὅταν (ἔφη) τῶν πρώτων καὶ φυσικωτάτων καὶ ἐσομένων καὶ ὄντων, πυρὸς καὶ γῆς καὶ ἀέρος καὶ ὕδατος, μηδὲν ἄλλο τῷ χαλκῷ πλησιάζῃ, μηδὲ ὁμιλῇ, πλὴν μόνος ὁ ἀὴρ, δῆλός ἐστιν ὑπὸ τούτου πεπονθὼς, καὶ διὰ τοῦτον ἐσχηκὼς ἣν ἔχει διαφορὰν ἀεὶ συνόντα καὶ προσκείμενον, ἢ τοῦτο μὲν ᾔδεις, πρὶν Θέογνιν γεγονέναι, κατὰ τὸν κωμικόν· ἣν δ᾽ ἔχων φύσιν ὁ ἀὴρ, ᾗ τε χρώμενος δυνάμει κατὰ τὰς ἐπιψαύσεις ἐπικέχρωκε τὸν χαλκὸν ἐπιθυμεῖς μαθεῖν; φήσαντος δὲ τοῦ Διογενιανοῦ· Καὶ γὰρ ἐγὼ, (εἶπεν) ὦ παῖ· ζητῶμεν οὖν κοινῇ καὶ πρότερον, εἰ βούλει, δι᾽ ἣν αἰτίαν μάλιστα τῶν ὑγρῶν ἀναπίμπλησιν ἰοῦ

τοὔλαιον. οὐ γάρ αὐτό γε δή που τῷ χαλκῷ προςτρίβεσθαι τὸν ἰόν, ἅτε δὴ καθαρὸν αὐτῷ καὶ ἀμίαντον πλησιάζοντα. Οὐδαμῶς, (εἶπεν ὁ νεανίας) ἄλλο δ' αὐτῷ δοκεῖ τούτου τὸ αἴτιον ὑπάρχειν· λεπτῷ γὰρ ὄντι καὶ καθαρῷ καὶ διαυγεῖ προςπίπτων ὁ ἰός, ἐκφανέστατός ἐστιν, ἐν δὲ τοῖς ἄλλοις ὑγροῖς ἀφανίζεται. καὶ ὁ Θέων· Εὖγε (εἶπεν) ὦ παῖ, καὶ καλῶς· σκόπει δέ, εἰ βούλει, καὶ τὴν ὑπὸ Ἀριστοτέλους αἰτίαν λεγομένην. Ἀλλὰ βούλομαι, εἶπε. φησὶ τοίνυν τῶν μὲν ἄλλων ὑγρῶν ἐπιόντα διέχειν ἀδήλως καὶ διασπείρεσθαι τὸν ἰόν, ἀνωμάλων καὶ μανῶν ὄντων. τοῦ δ' ἐλαίου τῇ πυκνότητι στέγεσθαι, καὶ διαμένειν ἀθροιζόμενον. ἂν οὖν καὶ αὐτοί τι τοιοῦτον ὑποθέσθαι δυνηθῶμεν, οὐ παντάπασιν ἀπορήσομεν ἐπῳδῆς καὶ παραμυθίας πρὸς τὴν ἀπορίαν.

IV. Ὡς οὖν ἐκελεύομεν καὶ συνεχωροῦμεν, ἔφη· τὸν ἀέρα τὸν ἐν Δελφοῖς πυκνὸν ὄντα καὶ συνεχῆ, καὶ τόνον ἔχοντα, διὰ τὴν ἀπὸ τῶν ὀρῶν ἀνάκλασιν καὶ ἀντέρεισιν, ἔτι καὶ δηκτικόν, λεπτὸν εἶναι, ὥσπερ μαρτυρεῖ καὶ τὰ περὶ τὰς πέψεις τροφῆς. ἐνδυόμενον οὖν ὑπὸ λεπτότητος καὶ τέμνοντα τὸν χαλκόν, ἀναχαράσσειν πολὺν ἰὸν ἐξ αὐτοῦ καὶ γεώδη, στέγειν δὲ τοῦτον αὖ πάλιν καὶ πιέζειν τῆς πυκνότητος διάχυσιν μὴ διδούσης, τόνδε ὑφιστάμενον αὐτὴν διὰ πλῆθος ἐξανθεῖν, καὶ λαμβάνειν αὐγὴν καὶ γάνωμα περὶ τὴν ἐπιφάνειαν. ἀποδεξαμένων δὲ ἡμῶν, ὁ ξένος ἔφη τὴν ἑτέραν ἀρκεῖν ὑπόθεσιν πρὸς τὸν λόγον. Ἡ δὲ λεπτότης (ἔφη) δόξει μὲν ὑπεναντιοῦσθαι καὶ πρὸς τὴν λεγομένην πυκνότητα τοῦ ἀέρος, λαμβάνε-

ται δ' οὐκ ἀναγκαίως. αὐτὸς γὰρ ὑφ' ἑαυτοῦ παλαιούμενος ὁ χαλκὸς ἀποπνεῖ καὶ μεθίησι τὸν ἰὸν, ὃν ἡ πυκνότης συνέχουσα καὶ παχνοῦσα, ποιεῖ ἐκφανῆ διὰ τὸ πλῆθος. ὑπολαβὼν δὲ ὁ Θέων, τί γὰρ, (εἶπεν) ὦ ξένε, κωλύει ταὐτὸ εἶναι καὶ λεπτὸν καὶ πυκνὸν, ὥςπερ τὰ σηρικὰ καὶ τὰ βύσσινα τῶν ὑφασμάτων, ἐφ' ὧν καὶ Ὅμηρος εἶπε·

Καιροσίων δ' ὀθονῶν ἀπολείβεται ὑγρὸν ἔλαιον, ἐνδεικνύμενος τὴν ἀκρίβειαν καὶ λεπτότητα τοῦ ὕφους, τῷ μὴ προςμένειν τὸ ἔλαιον, ἀλλ' ἀποῤῥεῖν καὶ ἀπολισθαίνειν, τῆς πυκνότητος οὐ διείσης. καὶ μὴν οὐ μόνον πρὸς τὴν ἀναχάραξιν τοῦ ἰοῦ χρήσαιτο ἂν τῇ λεπτότητι τοῦ ἀέρος, ἀλλὰ καὶ τὴν χρόαν αὐτὴν ποιεῖν ἔοικεν ἡδίονα καὶ γλαυκοτέραν, ἀναμιγνύουσα τῷ κυανῷ φῶς καὶ αὐγήν.

V. Ἐκ τούτου γενομένης σιωπῆς, πάλιν οἱ περιηγηταὶ προςεχειρίζοντο τὰς ῥήσεις. χρησμοῦ δέ τινος ἐμμέτρου λεχθέντος, οἶμαι, περὶ τῆς Αἴγωνος τοῦ Ἀργείου βασιλείας, πολλάκις ἔφη θαυμάσαι τῶν ἐπῶν ὁ Διογενιανὸς, ἐν οἷς οἱ χρησμοὶ λέγονται, τὴν φαυλότητα καὶ τὴν εὐτέλειαν. καίτοι μουσηγέτης ὁ θεὸς, καὶ τῆς λεγομένης λογιότητος οὐχ ἧττον αὐτῷ τὸ καλὸν, ἢ τῆς περὶ μέλη καὶ ᾠδὰς καὶ εὐφωνίας μετεῖναι, καὶ πολὺ τὸν Ἡσίοδον εὐεπείᾳ καὶ τὸν Ὅμηρον ὑπερφθέγγεσθαι· τοὺς δὲ πολλοὺς τῶν χρησμῶν ὁρῶμεν καὶ τοῖς μέτροις καὶ τοῖς ὀνόμασι πλημμελείας καὶ φαυλότητος ἀναπεπλησμένους. παρὼν οὖν Ἀθήνηθεν ὁ ποιητὴς Σεραπίων· Εἶτα (ἔφη) ταῦτα τὰ ἔπη τοῦ θεοῦ πιστεύοντες εἶναι,

τὸ ἄσωμον οὖν πάλιν, ὡς λέγεται, κάλλει τῶν Ὁμήρου καὶ Ἡσιόδου λέγειν, οὐ χρησόμεθα τούτοις ὡς ἄριστα καὶ κάλλιστα πεποιημένοις, ἐπανορθούμενοι τὴν αὐτῶν κρίσιν προκατειλημμένην ὑπὸ φαύλης συνηθείας. ὑπολαβὼν οὖν Βόηθος ὁ γεωμέτρης· (οἶσθα γὰρ τὸν ἄνδρα μετατασσόμενον ἤδη πρὸς τὸν Ἐπίκουρον) Ἆρ᾽ οὖν, ἔφη, τὸ τοῦ ζωγράφου Παύσωνος ἀκήκοας; Οὐκ ἔγωγε (εἶπεν ὁ Σεραπίων) Ἀλλὰ μὴν ἄξιον. ἐκλαβὼν γὰρ, ὡς ἔοικεν, ἵππον ἀλινδούμενον γράψαι, τρέχοντα ἔγραψεν. ἀγανακτοῦντος δὲ τοῦ ἀνθρώπου, γελάσας ὁ Παύσων κατέστρεψε τὸν πίνακα· καὶ γενομένων ἄνω τῶν κάτω, πάλιν ὁ ἵππος οὐ τρέχων, ἀλλ᾽ ἀλινδούμενος ἐφαίνετο. τοῦτό φησιν ὁ Βίων ἐνίους τῶν λόγων πάσχειν, ὅταν ἀναστραφῶσι. διὸ καὶ τοὺς χρησμοὺς ἔνιοι οὐ φήσουσιν καλῶς ἔχειν, ὅτι τοῦ θεοῦ εἰσιν· ἀλλὰ τοῦ θεοῦ μὴ εἶναι, ὅτι φαύλως ἔχουσιν. ἐκεῖνο μὲν γὰρ ἐν ἀδήλῳ· τὸ δὲ τὰ ἔπη οὐκ εὖ πεποιῆσθαι τὰ περὶ τοὺς χρησμοὺς, καί σοι κριτῇ δήπουθεν, ὦ φίλε Σεράπιον, (εἶπεν) ἐναργές ἐστι. ποιήματα γὰρ γράφεις, τοῖς μὲν πράγμασι φιλοσόφως καὶ αὐστηρῶς, δυνάμει δὲ καὶ χάριτι καὶ κατασκευῇ περὶ λέξιν ἐοικότα τοῖς Ὁμήρου καὶ Ἡσιόδου μᾶλλον, ἢ τοῖς ὑπὸ τῆς Πυθίας ἐκφερομένοις.

VI. Καὶ ὁ Σεραπίων· Νοσοῦμεν γὰρ, εἶπεν, ὦ Βόηθε, καὶ τὰ ὦτα καὶ τὰ ὄμματα, συνειθισμένοι διὰ τρυφὴν καὶ μαλακίαν τὰ ἡδίω καλὰ νομίζειν καὶ ἀποφαίνεσθαι. τάχα δὴ μεμψόμεθα τὴν Πυθίαν, ὅτι Γλαύκης οὐ φθέγγεται τῆς κιθαρῳδοῦ

λιγυρώτερον, οὐδὲ χριομένη μύροις, οὐδὲ ἁλουργίδας ἀμπεχομένη κάτεισιν εἰς τὸ ἄδυτον, οὐδ' ἐπιθυμιᾷ κασσίαν, ἢ λήδανον, ἢ λιβανωτὸν, ἀλλὰ δάφνην καὶ κρίθινον ἄλευρον. οὐχ ὁρᾷς, (εἶπεν) ὅσην χάριν ἔχει τὰ Σαπφικὰ μέλη, κηλοῦντα καὶ καταθέλγοντα τοὺς ἀκροωμένους; Σίβυλλα δὲ μαινομένῳ στόματι, καθ' Ἡράκλειτον, ἀγέλαστα καὶ ἀκαλλώπιστα καὶ ἀμύριστα φθεγγομένη, χιλίων ἐτῶν ἐξικνεῖται τῇ φωνῇ διὰ τὸν θεόν. ὁ δὲ Πίνδαρος ἀκοῦσαι φησὶ τοῦ θεοῦ τὸν Κάδμον οὐ μουσικὰν ὀρθὰν, οὐχ ἡδεῖαν, οὐδὲ τρυφερὰν, οὐδὲ ἐπικεκλασμένην τοῖς μέλεσιν. ἡδονὴν γὰρ οὐ προςίεται τὸ ἀπαθὲς καὶ ἁγνὸν, ἀλλ' ἐνταῦθα μετὰ τῆς Ἄτης ἐῤῥίφη καὶ τὸ πλεῖστον αὐτῆς, καὶ, ὡς ἔοικεν, εἰς τὰ ὦτα τῶν ἀνθρώπων συνεῤῥύηκεν.

VII. Εἰπόντος δὲ ταῦτα τοῦ Σεραπίωνος, ὁ Θέων μειδιάσας· Ὁ Σεραπίων μὲν (εἶπε) τὸ εἰωθὸς ἀποδέδωκε τῷ τρόπῳ, λόγου περὶ αὐτῆς τῆς ἡδονῆς παραπεσόντος ἀπολαύσας· ἡμεῖς δὲ, ὦ Βόηθε, κἂν ᾖ φαυλότερα τῶν Ὁμήρου ταῦτα τὰ ἔπη, μὴ νομίζωμεν αὐτὰ πεποιηκέναι τὸν θεὸν, ἀλλὰ ἐκείνου τὴν ἀρχὴν τῆς κινήσεως ἐνδιδόντος, ὡς ἑκάστη πέφυκε κινεῖσθαι τῶν προφητίδων. καὶ γὰρ εἰ γράφειν ἔδει μὴ λέγειν τοὺς χρησμοὺς, οὐκ ἂν, οἶμαι, τοῦ θεοῦ τὰ γράμματα νομίζοντες ἐψέγομεν, ὅτι λείπεται καλλιγραφία τῶν βασιλικῶν. οὐ γάρ ἐστι θεοῦ ἡ γῆρυς, οὐδὲ ὁ φθόγγος, οὐδὲ ἡ λέξις, οὐδὲ τὸ μέτρον, ἀλλὰ τῆς γυναικός· ἐκεῖνος δὲ μόνας τὰς φαντασίας παρίστησι, καὶ φῶς ἐν τῇ ψυχῇ ποιεῖ πρὸς τὸ μέλ-

λον. ὁ γὰρ ἐνθουσιασμὸς τοιοῦτόν ἐστι. καθόλου δὲ εἰπεῖν, ὑμᾶς τοὺς τοῦ Ἐπικούρου προφήτας (δῆλος γὰρ εἶ καὶ αὐτὸς ὑποφερόμενος) οὐκ ἔστι διαφυγεῖν, ἀλλὰ κακίας αἰτιᾶσθε τὰς πάλαι προφήτιδας, ὡς φαύλοις ποιήμασι χρωμένας, καὶ τὰς νῦν, καταλογάδην καὶ διὰ τῶν ἐπιτυχόντων ὀνομάτων τοὺς χρησμοὺς λεγούσας, ὅπως ὑμῖν ἀκεφάλων καὶ λαγαρῶν μέτρων καὶ μειούρων εὐθύνας μὴ ὑπέχωσι. καὶ ὁ Διογενιανός· Μὴ παῖζε (εἶπεν) ὦ πρὸς θεῶν, ἀλλὰ διάλυσον ἡμῖν ταύτην τὴν ἀπορίαν κοινὴν οὖσαν. οὐδεὶς γάρ ἐστιν ἄλλων, ὃς οὐκ αἰτίαν ἐπιζητεῖ καὶ λόγον, ὡς πέπαυται τὸ μαντεῖον ἔπεσι καὶ λόγοις χρώμενον. ὑπολαβὼν οὖν ὁ Θέων· Ἀλλὰ καὶ νῦν, (εἶπεν) ὦ παῖ, δοκοῦμεν ἐπηρείᾳ τινὶ τοὺς περιηγητὰς ἀφαιρεῖσθαι τὸ οἰκεῖον ἔργον. ἔασον οὖν γενέσθαι τὸ τούτων πρότερον, εἶτα περὶ ὧν βούλει καθ᾽ ἡσυχίαν διαπορήσεις.

VIII. Ἤδη δὲ προϊόντες ἦμεν κατὰ τὸν Ἱέρωνος ἀνδριάντα τοῦ τυράννου· καὶ τῶν μὲν ἄλλων ὁ ξένος, εἰδὼς ἅπαντα, παρεῖχεν ὅμως ὑπὸ εὐκολίας ἀκροατὴν αὑτόν. ἀκούσας δὲ, ὅτι κίων τις ἑστὼς ἄνω χαλκοῦς Ἱέρωνος ἔπεσεν αὐτομάτως τῆς ἡμέρας ἐκείνης, ᾗ τὸν Ἱέρωνα συνέβαινεν ἐν Συρακούσαις τελευτᾶν, ἐθαύμασε. κἀγὼ τῶν ὁμοίων ἅμα συνανεμίμνησκον, οἷα δὴ τοῦ Ἱέρωνος μὲν τοῦ Σπαρτιάτου, ὅτι πρὸ τῆς ἐν Λεύκτροις αὐτῷ γενομένης τελευτῆς ἐξέπεσον οἱ ὀφθαλμοὶ τοῦ ἀνδριάντος· οἱ δὲ ἀστέρες ἠφανίσθησαν, οὓς Λύσανδρος ἀνέθηκεν ἀπὸ τῆς ἐν Αἰγὸς ποταμοῖς ναυμαχίας. ὁ δὲ αὐτοῦ τοῦ

Λυσάνδρου λίθινος ἀνδριὰς ἐξήνθησεν ἀγρίαν λόχμην καὶ πόαν τοσαύτην τὸ πλῆθος, ὥςτε κατακρύψαι τὸ πρόσωπον. ἐν δὲ τοῖς Σικελικοῖς τῶν Ἀθηναίων ἀτυχήμασιν αἵ τε χρυσαῖ τοῦ φοίνικος ἀπέῤῥεον βάλανοι, καὶ τὴν ἀσπίδα τοῦ παλλαδίου κόρακες περιέκοπτον. ὁ δὲ Κνιδίων στέφανος, ὃν Φαρσαλίᾳ τῇ ὀρχηστρίδι Φιλόμηλος, ὁ Φωκέων τύραννος, ἐδωρήσατο, μεταστᾶσαν αὐτὴν ἐκ τῆς Ἑλλάδος εἰς τὴν Ἰταλίαν, ἀπώλεσεν ἐν Μεταποντίῳ παίζουσαν περὶ τὸν νεὼν τοῦ Ἀπόλλωνος· ὁρμήσαντες γὰρ ἐπὶ τὸν στέφανον οἱ νεανίσκοι, καὶ μαχόμενοι περὶ τοῦ χρυσίου πρὸς ἀλλήλους, διέσπασαν τὴν ἄνθρωπον. Ἀριστοτέλης μὲν οὖν μόνον Ὅμηρον ἔλεγε κινούμενα ποιεῖν ὀνόματα διὰ τὴν ἐνάργειαν· ἐγὼ δὲ φαίην ἂν καὶ τῶν ἀναθημάτων τὰ ἐνταυθοῖ μάλιστα συγκινεῖσθαι καὶ συνεπισημαίνειν τῇ τοῦ θεοῦ προνοίᾳ· καὶ τούτων μέρος μηθὲν εἶναι κενὸν, μηδὲ ἀναίσθητον, ἀλλὰ πεπλῆσθαι πάντα θειότητος. καὶ ὁ Βόηθος· Ναί· (εἶπεν) οὐ γὰρ ἀρκεῖ τὸν θεὸν εἰς σῶμα καθειργνύναι θνητὸν ἅπαξ ἑκάστου μηνὸς, ἀλλὰ καὶ λίθῳ παντὶ καὶ χαλκῷ συμφυράσομεν αὐτὸν, ὥςπερ οὐκ ἔχοντες ἀξιόχρεω τῶν τοιούτων συμπτωμάτων τὴν τύχην δημιουργὸν καὶ τὸ αὐτόματον. εἶτα (ἔφην ἐγὼ) τύχῃ σοι δοκεῖ καὶ αὐτομάτῳ τῶν τοιούτων ἕκαστον ἐοικέναι, καὶ πιθανόν ἐστι τὰς ἀτόμους ἐξολισθεῖν καὶ διαλυθῆναι καὶ παρεγκλῖναι, μήτε πρότερον μήτε ὕστερον, ἀλλὰ κατ' ἐκεῖνον τὸν χρόνον, ἐν ᾧ τῶν ἀναθέντων ἕκαστος ἢ χεῖρον ἔμελλε πράξειν ἢ βέλτιον; καὶ σὲ μὲν Ἐπίκουρος

ὠφελεῖ νῦν, ὥς ἔοικεν, ἀφ᾽ ὧν εἶπεν, ἢ ἔγραψε, πρὸ ἐτῶν τριακοσίων· ὁ θεὸς δὲ, εἰ μὴ συνείρξει φέρων ἑαυτὸν εἰς ἅπαντα, μηδὲ ἀνακραθείη πᾶσιν, οὐκ ἂν σοι δοκεῖ κινήσεως ἀρχὴν καὶ πάθους αἰτίαν παρασχεῖν οὐδενὶ τῶν ὄντων;

IX. Τοιαῦτα μὲν ἐγὼ πρὸς τὸν Βόηθον ἀπεκρινάμην· ὅμοια δὲ περὶ τῶν Σιβυλλείων. ἐπειδὴ γὰρ ἔστημεν κατὰ τὴν πέτραν γενόμενοι τὴν κατὰ τὸ βουλευτήριον, ἐφ᾽ ἧς λέγεται καθίζεσθαι τὴν πρώτην Σίβυλλαν ἐκ τοῦ Ἑλικῶνος παραγενομένην, ὑπὸ τῶν Μουσῶν τραφεῖσαν, (ἔνιοι δὲ φασιν εἰς Μαλεῶνα ἀφικέσθαι, Λαμίας οὖσαν θυγατέρα τῆς Ποσειδῶνος) ὁ μὲν Σεραπίων ἐμνήσθη τῶν ἐπῶν, ἐν οἷς ὕμνησεν ἑαυτὴν, ὡς οὐδὲ ἀποθανοῦσα λήξει μαντικῆς· ἀλλ᾽ αὕτη μὲν ἐν τῇ σελήνῃ περίεισι τὸ καλούμενον φαινόμενον γενομένη πρόσωπον, τῷ δὲ ἀέρι τὸ πνεῦμα συγκραθὲν, ἐν φήμαις ἀεὶ φορήσεται καὶ κληδόσιν· ἐκ δὲ τοῦ σώματος μεταβαλόντος ἐν τῇ γῇ πόας καὶ ὕλης ἀναφυομένης, βοσκήσεται ταύτην ἱερὰ θρέμματα, χρόας τε παντοδαπὰς ἴσχοντα καὶ μορφὰς καὶ ποιότητας ἐπὶ τῶν σπλάγχνων, ἀφ᾽ ὧν αἱ προδηλώσεις ἀνθρώποις τοῦ μέλλοντος. ὁ δὲ Βόηθος ἔτι μᾶλλον ἦν φανερὸς καταγελῶν· τοῦ δὲ ξένου εἰπόντος, ὡς, εἰ καὶ ταῦτα μύθοις ἔοικεν, ἀλλὰ ταῖς γε μαντείαις ἐπιμαρτυροῦσι πολλαὶ μὲν ἀναστάσεις καὶ μετοικισμοὶ πόλεων Ἑλληνίδων, πολλαὶ δὲ βαρβαρικῶν στρατιῶν ἐπιφάνειαι, καὶ ἀναιρέσεις ἡγεμονιῶν. ταυτὶ δὲ τὰ πρόσφατα καὶ νέα πάθη περί τε Κύμην καὶ Δικαιαρχίαν, οὐχ ὑμνούμενα πά-

λαι καὶ ᾀδόμενα διὰ τῶν Σιβυλλείων ὁ χρόνος ὥςπερ ὀφείλων ἀποδέδωκεν; ἐκρήξεις πυρὸς ὀρείου, καὶ ζέσεις θαλασσίας, καὶ πετρῶν καὶ φλεγμονῶν ὑπὸ πνεύματος ἀναῤῥίψεις, καὶ φθορὰς πόλεων ἅμα τοσούτων καὶ τηλικούτων, ὥς μεθ᾽ ἡμέραν ἐπελθοῦσιν ἄγνοιαν εἶναι καὶ ἀσάφειαν ὅπου κατῴκηντο τῆς χώρας συγκεχυμένης. ταῦτα γὰρ εἰ γέγονε πιστεῦσαι χαλεπόν ἐστι, μήτοι γε προειπεῖν ἄνευ θειότητος.

X. Καὶ ὁ Βόηθος· Ποῖον γάρ, (εἶπεν) ὦ δαιμόνιε, τῇ φύσει πάθος ὁ χρόνος οὐκ ὀφείλει; τί δέ ἐστι τῶν ἀτόπων καὶ ἀπροσδοκήτων περὶ γῆν ἢ θάλασσαν, ἢ πόλεις, ἢ ἄνδρας, ὃ τὶς ἂν προειπὼν οὐ τύχοι γενομένου; καίτοι τοῦτό γε σχεδὸν οὐδὲ προειπεῖν ἐστιν, ἀλλ᾽ εἰπεῖν, μᾶλλον δὲ ῥίψαι καὶ διασπεῖραι λόγους οὐκ ἔχοντας ἀρχὴν εἰς τὸ ἄπειρον· οἷς πλανωμένοις ἀπήντησε πολλάκις ἡ τύχη καὶ συνέπεσεν αὐτομάτως. διαφέρει γὰρ (οἶμαι) γενέσθαι τὸ ῥηθέν, ἢ ῥηθῆναι τὸ γενησόμενον. ὁ γὰρ εἰπὼν τὰ μὴ ὑπάρχοντα λόγος ἐν ἑαυτῷ τὸ ἡμαρτημένον ἔχων, οὐ δικαίως ἀναμένει τὴν ἐκ τοῦ αὐτομάτου πίστιν, οὐδὲ ἀληθεῖ τεκμηρίῳ χρῆται τοῦ προειπεῖν ἐπιστάμενος τὸ μετὰ τὸ εἰπεῖν γενησόμενον, πάντα τῆς ἀπειρίας φερούσης· μᾶλλον δὲ ὁ μὲν εἰκάζων καλῶς, ὃν ἄριστον μάντιν ἀνηγόρευκεν ἡ παροιμία, ἰχνοσκοποῦντι καὶ στιβεύοντι διὰ τῶν εὐλόγων τὸ μέλλον ὅμοιός ἐστι. Σίβυλλαι δὲ αὗται καὶ Βάκιδες ὥςπερ εἰς πόντον ἀτεκμάρτως τὸν χρόνον κατέβαλον καὶ διέσπειραν ὡς ἔτυχε παντοδαπῶν ὀνόματα καὶ

ῥήματα παθῶν καὶ συμπτωμάτων. οἷς, γινομένων ἐνίων ἀπὸ τύχης, ὁμοίως ψεῦδός ἐστι τὸ νῦν λεγόμενον, κἂν ὕστερον ἀληθὲς, εἰ τύχοι, γένηται.

XI. Τοιαῦτα τοῦ Βοήθου διελθόντος, ὁ Σεραπίων, Δίκαιον (ἔφη) τὸ ἀξίωμα περὶ τῶν οὕτως, ὡς λέγει Βόηθος, ἀορίστως καὶ ἀνυποθέτως λεγομένων· εἰ νίκη στρατηγῷ προείρηται, νενίκηκεν· εἰ πόλεως ἀναίρεσις, ἀπόλωλεν. ὅπου δὲ οὐ μόνον λέγεται τὸ γενησόμενον, ἀλλὰ καὶ πῶς καὶ πότε καὶ μετὰ τί καὶ μετὰ τίνος, οὐκ ἔστιν εἰκασμὸς τῶν τάχα γενησομένων, ἀλλὰ τῶν πάντως ἐσομένων προδήλωσις. καὶ ταῦτα ἔστιν εἰς τὴν Ἀγησιλάου χωλότητα·

Φράζεο δὴ, Σπάρτη, καίπερ μεγάλαυχος ἐοῦσα,
Μὴ σέθεν ἀρτίποδος βλάψῃ χωλὴ βασιλεία.
Δηρὸν γὰρ μόχθοι σε κατασχήσουσιν ἄελπτοι,
Φθισίβροτόν τ᾽ ἐπὶ κῦμα κυλινδομένου πολέμοιο.

καὶ τὰ περὶ τῆς νήσου πάλιν, ἣν ἀνῆκεν ἡ πρὸ Θήρας καὶ Θηρασίας θάλασσα, καὶ περὶ τῶν Φιλίππου καὶ Ῥωμαίων πολέμων.

Ἀλλ᾽ ὁπότε Τρώων γενεὰ καθύπερθε γένηται,
Φοινίκων ἐν ἀγῶνι, τότ᾽ ἔσσεται ἔργα ἄπιστα·
Πόντος μὲν λάμψει πῦρ ἄσπετον, ἐκ δὲ κεραυνῶν
Πρηστῆρες μὲν ἄνω διὰ κύματος ἀΐξουσιν
Ἄμμιγα σὺν πέτρᾳ, ἡ δὲ στηρίξεται αὐτοῦ,
Οὐ φατὸς ἀνθρώποις νῆσος, καὶ χείρονες ἄνδρες
Χερσὶ βιησάμενοι τὸν κρείσσονα νικήσουσι.

τὸ γὰρ ἐν ὀλίγῳ χρόνῳ Ῥωμαίους τε Καρχηδονίων περιγενέσθαι καταπολεμήσαντας Ἀννίβαν, καὶ Φίλιππον Αἰτωλοῖς συμβαλόντα καὶ Ῥωμαίοις, μάχῃ

κρατηθῆναι, καὶ τέλος ἐκ βυθοῦ νῆσον ἀναδῦναι μετὰ πυρὸς πολλοῦ καὶ κλύδωνος ἐπιζέσαντος, οὐκ ἄν εἴποι τὶς, ὡς ἀπήντησεν ἅμα πάντα καὶ συνέπεσε κατὰ τύχην αὐτομάτως, ἀλλ' ἡ τάξις ἐμφαίνει τὴν πρόγνωσιν. καὶ τὸ Ῥωμαίοις πρὸ ἐτῶν ὁμοῦ τι πεντακοσίων προειπεῖν τὸν χρόνον, ἐν ᾧ ἅπαντα τὰ ἔθνη πολεμήσοιεν ἅμα· τοῦτο δὲ ἦν τὸ πολεμῆσαι τοῖς οἰκέταις ἀποστᾶσιν. ἐν τούτοις γὰρ οὐθὲν ἀτέκμαρτον, οὐδὲ τυφλὸν, ἀμφί τε τύχην ζητεῖν ἐν ἀπειρίᾳ ὁ λόγος· ἀλλὰ πολλὰ τῆς πείρας ἐνέχυρα δίδωσι, καὶ δείκνυσι τὴν ὁδὸν, ᾗ βαδίζει τὸ πεπρωμένον. οὐ γὰρ οἶμαί τινα ἐρεῖν, ὅτι μετὰ τούτων ὡς προεῤῥήθη συνέπεσε κατὰ τύχην. ἐπεὶ τί κωλύει εἰπεῖν ἕτερον, ὡς οὐκ ἔγραψε τὰς κυρίας ἡμῖν Ἐπίκουρος, ὦ Βόηθε, δόξας, ἀλλ' ἀπὸ τύχης καὶ αὐτομάτως οὕτω πρὸς ἄλληλα τῶν γραμμάτων συνεμπεσόντων, ἀπετελέσθη τὸ βιβλίον;

XII. Ἅμα δὲ τούτων λεγομένων προήειμεν. ἐν δὲ τῷ Κορινθίων οἴκῳ τὸν φοίνικα θεωμένοις τὸν χαλκοῦν, ὅςπερ ἔτι λοιπός ἐστι τῶν ἀναθημάτων, οἱ περὶ τὴν ῥίζαν ἐντορνευόμενοι βάτραχοι καὶ ὕδροι θαῦμα τῷ Διογενιανῷ παρεῖχον, ἀμέλει δὲ καὶ ἡμῖν. οὔτε γὰρ φοίνιξ, ὡς ἕτερα δένδρα, λιμναῖόν ἐστι καὶ φίλυδρον φυτὸν, οὔτε Κορινθίοις τὶ βάτραχοι προςήκουσιν, ὥςτε σύμβολον ἢ παράσημον εἶναι τῆς πόλεως· ὥςπερ ἀμέλει Σελινούντιοί ποτε χρυσοῦν σέλινον ἀναθεῖναι λέγονται, καὶ Τενέδιοι τὸν πέλεκυν ἀπὸ τῶν καρκίνων τῶν γινομένων περὶ τὸ καλούμενον Ἀστέριον παρ' αὐτοῖς· μόνοι γὰρ, ὡς ἔοικεν, ἐν

τῷ χελωνίῳ τύπον πελέκεως ἔχουσι. καὶ μὴν αὐτῷ γε τῷ θεῷ κόρακας καὶ κύκνους καὶ λύκους καὶ ἱέρακας καὶ πάντα μᾶλλον ἢ ταῦτα εἶναι προςφιλῆ τὰ θηρία νομίζομεν. εἰπόντος δὲ τοῦ Σεραπίωνος, ὅτι τὴν ἐξ ὑγρῶν ᾐνίξατο τροφὴν τοῦ ἡλίου καὶ γένεσιν καὶ ἀναθυμίασιν ὁ δημιουργὸς, εἴτε Ὁμήρου λέγοντος ἀκηκοώς·

Ἠέλιος δ᾽ ἀπόρουσε λιπὼν περικαλλέα λίμνην·

εἴτ᾽ Αἰγυπτίους ἑωρακὼς ἀρχὴν ἀνατολῆς παιδίον νεογνὸν γράφοντας ἐπὶ λωτῷ καθεζόμενον· γελάσας ἐγώ· Ποῦ σὺ πάλιν, (εἶπον) ὦ χρηστὲ, τὴν Στοὰν δευρὶ παρωθεῖς, καὶ ὑποβάλλεις ἀτρέμα τῷ λόγῳ, τὰς ἀνάψεις καὶ ἀναθυμιάσεις; οὐχ ὥςπερ αἱ Θετταλαὶ κατάγων τὴν σελήνην καὶ τὸν ἥλιον, ὡς ἐντεῦθεν ἀπὸ γῆς καὶ ὑδάτων βλαστάνοντας καὶ ἀρχομένους. ὁ μὲν γὰρ Πλάτων καὶ τὸν ἄνθρωπον, οὐράνιον ὠνόμασε φυτὸν, ὥςπερ ἐκ ῥίζης ἄνω τῆς κεφαλῆς ὀρθούμενον· ὑμεῖς δὲ τοῦ μὲν Ἐμπεδοκλέους καταγελᾶτε, φάσκοντος τὸν ἥλιον περὶ γῆν ἀνακλάσει φωτὸς οὐρανίου γενόμενον, αὖθις ἀνταυγεῖν πρὸς Ὄλυμπον ἀταρβήτοις προσώποις· αὐτοὶ δὲ γηγενὲς ζῶον, ἢ φυτὸν ἕλειον, ἀποφαίνετε τὸν ἥλιον, εἰς βατράχων πατρίδα ἢ ὕδρων ἐγγράφοντες. ἀλλὰ ταῦτα μὲν εἰς τὴν Στωϊκὴν ἀναθώμεθα τραγῳδίαν· τὰ δὲ τῶν χειροτέχνων πάρεργα παρέργως ἐξετάσωμεν. ἐν πολλοῖς γάρ εἰσι κομψοὶ, τὸ δὲ ψυχρὸν οὐ πανταχοῦ καὶ περίεργον ἐκπεφεύγασιν. ὥςπερ οὖν ὁ τὸν ἀλεκτρυόνα ποιήσας ἐπὶ τῆς χειρὸς τοῦ Ἀπόλλωνος ἑωθινὴν ὑπεδήλωσεν ὥραν, καὶ καιρὸν ἐπιού-

σης ἀνατολῆς· οὕτως ἐνταῦθα τοὺς βατράχους ἐαρινῆς ὥρας φαίη τις ἂν γεγονέναι σύμβολον, ἐν ᾗ κρατεῖν ἄρχεται τοῦ ἀέρος ὁ ἥλιος, καὶ τὸν χειμῶνα διαλύειν· εἴγε δεῖ καθ᾽ ὑμᾶς τὸν Ἀπόλλω καὶ τὸν ἥλιον, μὴ δύο θεοὺς, ἀλλ᾽ ἕνα νομίζειν. καὶ ὁ Σεραπίων· Σὺ γὰρ (εἶπεν) οὐχ οὕτω νομίζεις; ἀλλὰ οἴει τὸν ἥλιον διαφέρειν τοῦ Ἀπόλλωνος; Ἔγωγε, (εἶπεν) ὡς τοῦ ἡλίου τὴν σελήνην. ἀλλ᾽ αὕτη μὲν οὐ πολλάκις οὐδὲ πᾶσιν ἀποκρύπτει τὸν ἥλιον, ὁ δὲ ἥλιος ὁμοῦ τι πάντας ἀγνοεῖν τὸν Ἀπόλλωνα πεποίηκεν, ἀποστρέφων τῇ αἰσθήσει τὴν διάνοιαν ἀπὸ τοῦ ὄντος ἐπὶ τὸ φαινόμενον.

XIII. Ἐκ τούτου τοὺς περιηγητὰς ὁ Σεραπίων ἤρετο, τί δὴ τὸν οἶκον, οὐ Κυψέλλου τοῦ ἀναθέντος, ἀλλὰ Κορινθίων ὀνομάζουσιν. ἀπορίᾳ δ᾽ αἰτίας ἐμοὶ γοῦν δοκεῖ σιωπώντων ἐκείνων, ἐπιγελάσας ἐγώ· Τί δὲ (εἶπον) ἔτι τούτους οἰόμεθα γινώσκειν, ἢ μνημονεύειν, ἐκπεπληγμένους παντάπασιν, ὑμῶν μετεωρολεσχούντων; ἐπεὶ πρότερόν γε αὐτῶν ἠκούομεν λεγόντων, ὅτι, τῆς τυραννίδος καταλυθείσης, ἐβούλοντο Κορίνθιοι καὶ τὸν ἐν Πίσῃ χρυσοῦν ἀνδριάντα καὶ τὸν ἐνταῦθα τουτονὶ θησαυρὸν ἐπιγράψαι τῆς πόλεως. Δελφοὶ μὲν οὖν ἔδοσαν, ὡς δίκαιον, καὶ συνεχώρησαν, Ἠλείους δὲ φθονήσαντας ἐψηφίσαντο μὴ μετέχειν Ἰσθμίων. ὅθεν οὐδεὶς ἐξ ἐκείνου γέγονεν Ἰσθμίων ἀγωνιστὴς Ἠλεῖος. ὁ δὲ Μολιονιδῶν φόνος ὑφ᾽ Ἡρακλέους περὶ Κλεωνὰς, οὐδέν ἐστι μεταίτιος (ὡς ἔνιοι νομίζουσιν) Ἠλείοις τοῦ εἴργεσθαι. τοὐναντίον γὰρ ἦν αὐτοῖς προσῆκον εἴργειν,

εἰ διὰ τοῦτο Κορινθίοις προςκεκρούκεσαν. ἐγὼ μὲν οὖν ταῦτα εἶπον.

XIV. Ἐπεὶ δὲ τὸν Ἀκανθίων καὶ Βρασίδου παρελθοῦσιν οἶκον ἡμῖν ἔδειξεν ὁ περιηγητὴς χωρίον, ἐν ᾧ Ῥοδώπιδος ἔκειντο ποτὲ τῆς ἑταίρας ὀβελίσκοι σιδηροῖ, δυσχεράνας ὁ Διογενιανός· Ἦν ἄρα τῆς αὐτῆς (ἔφη) πόλεως Ῥοδώπιδι μὲν χώραν παρασχεῖν, ὅπου τὰς δεκάτας φέρουσα καταθήσεται τῶν μισθῶν, Αἴσωπον δὲ ἀπολέσαι τὸν ὁμόδουλον αὐτῆς. καὶ ὁ Σεραπίων· Τί δὲ ταῦτα (ἔφη) μακάριε, δυσχεραίνεις; ἐκεῖ βλέψον ἄνω, καὶ τὴν χρυσῆν ἐν τοῖς στρατηγοῖς καὶ βασιλεῦσι θέασαι Μνησαρέτην, ἣν Κράτης εἶπε τῆς τῶν Ἑλλήνων ἀκρασίας ἀνακεῖσθαι τρόπαιον. ἰδὼν οὖν ὁ νεανίας· Εἶτα περὶ Φρύνης (ἔφη) τοῦτο ἦν εἰρημένον τῷ Κράτητι; Ναί· (εἶπεν ὁ Σεραπίων) Μνησαρέτη γὰρ ἐκαλεῖτο, τὴν δὲ Φρύνην ἐπίκλησιν ἔσχε διὰ τὴν ὠχρότητα. πολλὰ δὲ, ὡς ἔοικε, τῶν ὀνομάτων ἀποκρύπτουσιν αἱ παρωνυμίαι. τὴν γοῦν Ἀλεξάνδρου μητέρα, Πολυξέναν, εἶτα Μυρτάλην, Ὀλυμπιάδα τε καὶ Στρατονίκην κληθῆναι λέγουσι· τὴν δὲ Κορινθίαν Εὔμητιν, ἄχρι νῦν Κλεοβούλην πατρόθεν οἱ πλεῖστοι καλοῦσιν· Ἡροφίλην δὲ τὴν Ἐρυθραίαν, μαντικὴν γενομένην, Σίβυλλαν προςηγόρευσαν. τῶν δὲ γραμματικῶν ἀκούσῃ καὶ τὴν Λήδαν, Μνησινόην, καὶ τὸν Ὀρέστην, Ἀχαιὸν ὠνομάσθαι φασκόντων. Ἀλλὰ πῶς, ἔφη, διανοῇ σὺ, βλέψας πρὸς τὸν Θέωνα, τουτὶ διαλῦσαι τὸ περὶ Φρύνης αἰτίαμα;

XV. Κἀκεῖνος διαμειδιάσας· Οὕτως, (εἶπεν)

ὥς γε καὶ σοὶ προςεγκαλεῖν τὰ μικρότατα τῶν Ἑλληνικῶν πλημμελημάτων ἐλέγχοντι. καθάπερ γὰρ ὁ Σωκράτης ἑστιώμενος ἐν Καλλίου τῷ μύρῳ πολεμεῖ μόνον, ὀρχήσεις δὲ παίδων καὶ κυβιστήσεις, καὶ φιλήματα καὶ γελωτοποιοὺς ὁρῶν ἀνέχεται· καὶ σύ μοι δοκεῖς ὁμοίως γύναιον εἴργειν τοῦ ἱεροῦ χρησάμενον ὥρᾳ σώματος οὐκ ἐλευθερίως, φόνων δὲ καὶ πολέμων καὶ λεηλασιῶν ἀπαρχαῖς καὶ δεκάταις κύκλῳ περιεχόμενον τὸν θεὸν ὁρῶν, καὶ τὸν νεὼν σκύλων Ἑλληνικῶν ἀνάπλεω καὶ λαφύρων, οὐ δυσχεραίνεις· οὐδὲ οἰκτείρεις τοὺς Ἕλληνας, ἐπὶ τῶν καλῶν ἀναθημάτων αἰσχίστας ἀναγινώσκων ἐπιγραφὰς, Βρασίδας καὶ Ἀκάνθιοι ἀπὸ Ἀθηναίων, καὶ Ἀθηναῖοι ἀπὸ Κορινθίων, καὶ Φωκεῖς ἀπὸ Θεσσαλῶν, Ὀρνεᾶται δ' ἀπὸ Σικυωνίων, Ἀμφικτυόνες δ' ἀπὸ Φωκέων. ἀλλὰ Πραξιτέλης, ὡς ἔοικε, μόνος ἠνίασε Κράτητα τῇ ἐρωμένῃ τυχὼν αὐτόθι δωρεᾶς, ὃν ἐπαινεῖν ὤφειλε Κράτης, ὅτι τοῖς χρυσοῖς βασιλεῦσι τούτοις παρέστησε χρυσῆν ἑταῖραν, ἐξονειδίζων τὸν πλοῦτον ὡς οὐδὲν ἔχοντα θαυμάσιον οὐδὲ σεμνόν. δικαιοσύνης γὰρ ἀναθήματα καὶ σωφροσύνης καὶ μεγαλονοίας καλῶς ἔχει τίθεσθαι παρὰ τὸν θεὸν, καὶ τοὺς βασιλεῖς καὶ τοὺς ἄρχοντας, οὐ χρυσῆς καὶ τρυφώσης εὐπορίας, ἧς μέτεστι καὶ τοῖς αἴσχιστα βεβιωκόσιν.

XVI. Ἐκεῖνο δὲ οὐ λέγεις, (εἶπεν ἅτερος τῶν περιηγητῶν) ὅτι Κροῖσος ἐνταῦθα καὶ τῆς ἀρτοποιοῦ χρυσῆν εἰκόνα ποιησάμενος ἀνέθηκε, πλὴν οὐκ ἐντρυφῶν τῷ ἱερῷ, καλὴν δὲ λαβὼν αἰτίαν καὶ δικαίαν. λέγεται γὰρ Ἀλυάττην τὸν πατέρα τοῦ

Κροίσου δευτέραν ἀγαγέσθαι γυναῖκα, καὶ παῖδας ἑτέρους τρέφειν· ἐπιβουλεύουσαν οὖν τῷ Κροίσῳ τὴν ἄνθρωπον, φάρμακον δοῦναι τῇ ἀρτοποιῷ, καὶ κελεῦσαι διαπλάσασαν ἄρτον ἐξ αὐτοῦ, τῷ Κροίσῳ παραθεῖναι· τὴν δ' ἀρτοποιὸν κρύφα τῷ Κροίσῳ φράσαι, παραθεῖναι δὲ τοῖς ἐκείνης παισὶ τὸν ἄρτον· ἀνθ' ὧν βασιλεύσαντα τὸν Κροῖσον, οἷον ἐπὶ μάρτυρι τῷ θεῷ τὴν χάριν ἀμείψασθαι τῆς γυναικὸς, εὖγε ποιοῦντα ἐκεῖνον. ὅθεν (εἶπεν) ἄξιον δὴ καὶ τῶν πόλεων εἴ τι τοιοῦτόν ἐστιν ἀνάθημα τιμᾷν καὶ ἄγασθαι, οἷον τὸ Ὀπουντίων. ἐπεὶ γὰρ οἱ Φωκέων τύραννοι πολλὰ τῶν χρυσῶν καὶ ἀργυρῶν ἀναθημάτων συγχέαντες ἔκοψαν νόμισμα καὶ διέσπειραν εἰς τὰς πόλεις, Ὀπούντιοι συναγαγόντες ὅσον ἀργύριον, ὑδρίαν ἀνέπεμψαν ἐνθάδε τῷ θεῷ καὶ καθιέρωσαν. ἐγὼ δὲ καὶ Μυριναίους ἐπαινῶ καὶ Ἀπολλωνιάτας, θέρη χρυσᾶ δεῦρο πέμψαντας· ἔτι δὲ μᾶλλον Ἐρετριεῖς καὶ Μάγνητας, ἀνθρώπων ἀπαρχαῖς δωρησαμένους τὸν θεὸν, ὡς καρπῶν δοτῆρα, καὶ πατρῷον καὶ γενέσιον καὶ φιλάνθρωπον· αἰτιῶμαι δὲ Μεγαρεῖς, ὅτι μόνοι σχεδὸν ἐνταῦθα λόγχην ἔχοντα τὸν θεὸν ἔστησαν ἀπὸ τῆς μάχης, ἣ Ἀθηναίους μετὰ τὰ Περσικὰ τὴν πόλιν ἔχοντας αὐτῶν, νικήσαντες ἐξέβαλον. ὕστερον μέντοι πλῆκτρον ἀνέθηκαν τῷ θεῷ χρυσοῦν ἐπιστήσαντες, ὡς ἔοικε, Σκυθινῷ λέγοντι περὶ τῆς λύρας, ἣν ἁρμόζεται Ζηνὸς εὐειδὴς Ἀπόλλων, πᾶσαν ἀρχὴν καὶ τέλος συλλαβών· ἔχει δὲ λαμπρὸν πλῆκτρον ἡλίου φάος.

**XVII.** Ἐπιβάλλοντος δὲ τοῦ Σεραπίωνος εἰπεῖν

τι περὶ τούτων, ὁ ξένος· Ἡδὺ μὲν (ἔφη) τὸ τοιούτων ἀκροᾶσθαι λόγων, ἐμοὶ δὲ ἀναγκαῖόν ἐστι τὴν πρώτην ὑπόσχεσιν ἀπαιτῆσαι περὶ τῆς αἰτίας, ᾗ πέπαυκε τὴν Πυθίαν ἐν ἔπεσι καὶ μέτροις ἄλλοις θεσπίζουσαν· ὥςτε, εἰ δοκεῖ, τὰ λειπόμενα τῆς θέας ὑπερθέμενοι, περὶ τούτων ἀκούσωμεν, ἐνταῦθα καθίσαντες. οὗτος γάρ ἐστιν ὁ μάλιστα πρὸς τὴν τοῦ χρηστηρίου πίστιν ἀντιβαίνων λόγος· ὡς δυοῖν θάτερον, ἢ τῆς Πυθίας τῷ χωρίῳ μὴ πελαζούσης, ἐν ᾧ τὸ θεῖόν ἐστιν, ἢ τοῦ πνεύματος παντάπασιν ἀπεσβεσμένου, καὶ τῆς δυνάμεως ἐκλελοιπυίας. περιελθόντες οὖν ἐπὶ τῶν μεσημβρινῶν καθεζόμεθα κρηπίδων νεὼ πρὸς τὸ τῆς γῆς ἱερὸν τό τε ὕδωρ ἀποβλέποντες· ὥςτε εὐθὺς εἰπεῖν τὸν Βόηθον, ὅτι καὶ ὁ τόπος τῆς ἀπορίας συνεπιλαμβάνεται τῷ ξένῳ. Μουσῶν γὰρ ἦν ἱερὸν ἐνταῦθα περὶ τὴν ἀναπνοὴν τοῦ νάματος, ὅθεν ἐχρῶντο πρός τε τὰς λοιβὰς τῷ ὕδατι τούτῳ, ὥς φησι Σιμωνίδης· Ἔνθα χερνίβεσσιν ἀρύεται Μουσᾶν καλλικόμων ὑπένερθεν ἁγνὸν ὕδωρ. μικρῷ δὲ περιεργότερον αὖθις ὁ Σιμωνίδης, τὴν Κλειὼ προςειπὼν ἁγνὰν ἐπίσκοπον, χερνίβων (φησὶ) πολύλιστον ἀραιῦν τέ ἐστιν ἀχρυσόπεπλον — — — εὐῶδες ἀμβροσίων ἐκ μυχῶν ἐρανὸν ὕδωρ. οὐκ ὀρθῶς οὖν Εὔδοξος ἐπίστευσε τοῖς Στυγὸς ὕδωρ τοῦτο καλεῖσθαι ἀποφήνασι. τὰς δὲ μούσας ἱδρύσαντο παρέδρους τῆς μαντικῆς καὶ φύλακας αὐτοῦ παρὰ τὸ νᾶμα, καὶ τὸ τῆς γῆς ἱερὸν, ἧς λέγεται τὸ μαντεῖον γενέσθαι, διὰ τὴν ἐν μέτροις καὶ μέλεσι

χρησμῳδίαν. ἔνιοι δὲ καὶ πρῶτόν φασιν ἡρῷον ἐνταῦθα μέτρον ἀκουσθῆναι·

Συμφέρετε πτερὰ οἰωνοὶ, κηρόν τε μέλισσαι,

ὅτε τῷ θεῷ ἐπιδεᾶ γενομένην ἀποβαλεῖν τὸ σεμνόν.

XVIII. Ὁ Σεραπίων· Ἐπιεικέστερα ταῦτα (εἶπεν) ὦ Βόηθε καὶ μουσικώτερα. δεῖ γὰρ μὴ μάχεσθαι πρὸς τὸν θεὸν, μηδὲ ἀναιρεῖν μετὰ τῆς μαντικῆς ἅμα τὴν πρόνοιαν καὶ τὸ θεῖον, ἀλλὰ τῶν ὑπεναντιοῦσθαι δοκούντων λύσεις ἐπιζητεῖν· τὴν δὲ εὐσεβῆ καὶ πάτριον μὴ προΐεσθαι πίστιν· Ὀρθῶς (ἔφην ἐγὼ) λέγεις, ἄριστε Σεραπίων· οὐδὲ γὰρ φιλοσοφίαν ἀπεγινώσκομεν ὡς ἀνῃρημένην παντάπασι καὶ διεφθορυῖαν, ὅτι πρότερον μὲν ἐν ποιήμασιν ἐξέφερον οἱ φιλόσοφοι τὰ δόγματα καὶ τοὺς λόγους, ὥσπερ Ὀρφεὺς καὶ Ἡσίοδος καὶ Παρμενίδης καὶ Ξενοφάνης καὶ Ἐμπεδοκλῆς καὶ Θαλῆς· ὕστερον δ᾽ ἐπαύσαντο καὶ πέπαυνται χρώμενοι μέτροις πλὴν σοῦ. διὰ σοῦ δὲ αὖθις εἰς φιλοσοφίαν ποιητικὴ κάτεισιν, ὄρθιον καὶ γενναῖον ἐγκελευομένη τοῖς νέοις. οὐδ᾽ ἀστρολογίαν ἀδοξοτέραν ἐποίησαν οἱ περὶ Ἀρίσταρχον καὶ Τιμόχαριν καὶ Ἀρίστυλλον καὶ Ἵππαρχον, καταλογάδην γράφοντες, ἐν μέτροις πρότερον Εὐδόξου καὶ Ἡσιόδου καὶ Θαλοῦ γραφόντων, εἴγε Θαλῆς ἐποίησεν, ὡς ἀληθῶς εἰπεῖν, τὴν αὐτῷ ἀναφερομένην ἀστρολογίαν. Πίνδαρος δὲ καὶ περὶ τρόπου μελῳδίας ἀμελουμένου καθ᾽ αὐτὸν ἀπορεῖν ὁμολογεῖ, καὶ θαυμάζει, ὅτι —— —— οὐθὲν γὰρ ἐστι δεινὸν οὐδὲ ἄτοπον αἰτίας ζητεῖν τῶν τοιούτων μεταβολῶν. ἀναι-

ρῶν δὲ τὰς τέχνας καὶ τὰς δυνάμεις, ἄν τι κινηθῇ καὶ παραλλάξῃ τῶν κατὰ ταύτας, οὐ δίκαιον.

XIX. Ὑπολαβὼν δὲ ὁ Θέων· Ἀλλὰ ταῦτα μὲν (εἶπεν) μεγάλας ἔσχηκε τῷ ὄντι παραλλαγὰς καὶ καινοτομίας. τῶν δ' ἐνταῦθα πολλοὺς καὶ τότε καταλογάδην ἐκφερομένους καὶ περὶ πραγμάτων οὐ τῶν τυχόντων· Λακεδαιμονίοις τε γὰρ (ὡς Θουκυδίδης ἱστόρησε) περὶ τοῦ πρὸς Ἀθηναίους πολέμου χρωμένοις, ἀνεῖλε νίκην καὶ κράτος, καὶ βοηθήσειν αὐτὸς καὶ παρακαλούμενος καὶ ἀπαράκλητος· καὶ Παυσανίαν εἰ μὴ καταγάγοιεν ἀργυρέᾳ εὐλάκᾳ εὐλάξειν. Ἀθηναίοις περὶ τῆς ἐν Σικελίᾳ μαντευομένοις στρατείας προςέταξε τὴν ἐξ Ἐρυθρῶν ἱέρειαν ἀνάγειν τῆς Ἀθηνᾶς· ἐκαλεῖτο δὲ Ἡσυχία τὸ γύναιον. Δεινομένους δὲ τοῦ Σικελιώτου μαντευομένου περὶ τῶν υἱέων, ἀνεῖλεν, ὡς οἱ τρεῖς τυραννήσοιεν. ὑποτυχόντος δὲ τοῦ Δεινομένους, οἰμώξόμενοί γε, ὦ δέσποτα Ἄπολλον, καὶ τοῦτό σοι (ἔφη) διδόναι καὶ προςαναιρεῖν. ἴστε τοίνυν, ὅτι Γέλων μὲν ὑδρωπιῶν, Ἱέρων δὲ λιθιῶν ἐτυράννησεν· ὁ δὲ τρίτος Θρασύβουλος ἐν στάσεσι καὶ πολέμοις γενόμενος χρόνον οὐ πολὺν ἐξέπεσε τῆς ἀρχῆς. Προκλῆς τοίνυν, ὁ Ἐπιδαύρου τύραννος, ἄλλους τε πολλοὺς ὠμῶς καὶ παρανόμως ἀνεῖλε, καὶ Τίμαρχον ἀπ' Ἀθηνῶν παραγενόμενον μετὰ χρημάτων πρὸς αὐτὸν ὑποδεξάμενος καὶ φιλοφρονηθεὶς ἀπέκτεινε, καὶ τὸ σῶμα κατεπόντισεν ἐμβαλὼν εἰς φορμόν. ἔπραξε δὲ ταῦτα διὰ Κλεάνδρου τοῦ Αἰγινήτου, τῶν ἄλλων ἀγνοούντων· ὕστερον δὲ τῶν πραγμάτων αὐτῷ τα-

ῥαττομένων, ἔπεμψεν ἐνταῦθα Κλεότιμον τὸν ἀδελφὸν ἐν ἀποῤῥήτῳ μαντευσόμενον περὶ φυγῆς αὐτοῦ καὶ μεταστάσεως. ἀνεῖλεν οὖν ὁ θεὸς, διδόναι Προκλεῖ φυγὴν καὶ μετάστασιν, ὅπου τὸν φορμὸν ἐκέλευσε καταθέσθαι τὸν Αἰγινήτην ξένον, ἢ ὅπου τὸ κέρας ἀποβάλλει ὁ ἔλαφος. συνεὶς οὖν ὁ τύραννος, ὅτι κελεύει καταποντίζειν αὐτὸν ἢ κατορύττειν ὁ θεὸς, (οἱ γὰρ ἔλαφοι κατορύττουσι καὶ ἀφανίζουσι κατὰ τῆς γῆς, ὅταν ἐκπέσῃ τὸ κέρας) ἐπέσχεν ὀλίγον χρόνον, εἶτα τῶν πραγμάτων παντάπασι μοχθηρῶν γενομένων, ἐξέπεσε. λαβόντες δ' αὐτὸν οἱ τοῦ Τιμάρχου φίλοι καὶ διαφθείραντες, ἐξέβαλον τὸν νεκρὸν εἰς τὴν θάλασσαν. ὃ δ' ἔστι μέγιστον, αἱ ῥῆτραι, δι' ὧν ἐκόσμησε τὴν Λακεδαιμονίων πολιτείαν Λυκοῦργος, ἐδόθησαν αὐτῷ καταλογάδην. Ἀλυρίου τοίνυν καὶ Ἡροδότου καὶ Φιλοχόρου καὶ Ἴστρου, τῶν μάλιστα τὰς ἐμμέτρους μαντείας φιλοτιμηθέντων συναγαγεῖν, ἄνευ μέτρου χρησμοὺς γεγραφότων, Θεόπομπος οὐδενὸς ἧττον ἀνθρώπων ἐσπουδακὼς περὶ τὸ χρηστήριον, ἰσχυρῶς ἐπιτετίμηκε τοῖς μὴ νομίζουσι κατὰ τὸν τότε χρόνον ἔμμετρα τὴν Πυθίαν θεσπίζειν· εἶτα τοῦτο βουλόμενος ἀποδεῖξαι, παντάπασιν ὀλίγων χρησμῶν ηὐπόρηκεν, ὡς τῶν ἄλλων καὶ τότε ἤδη καταλογάδην ἐκφερομένων.

XX. Ἔνιοι δὲ καὶ νῦν μετὰ μέτρων ἐκτρέχουσιν, ὧν ἕνα καὶ πρᾶγμα περιβόητον πεποίηκε. Μισογύνου Ἡρακλέους ἱερόν ἐστιν ἐν τῇ Φωκίδι, καὶ νομίζεται τὸν ἱερωμένον ἐν τῷ ἐνιαυτῷ γυναικὶ μὴ ὁμιλεῖν· διὸ καὶ πρεσβύτας ἐπιεικῶς ἱερεῖς ἀποδει-

κνῦουσι. πλὴν ἔμπροσθεν ὀλίγῳ χρόνῳ νεανίας οὐ πονηρὸς, ἀλλὰ φιλότιμος, ἐρῶν παιδίσκης, ἔλαβε τὴν ἱερωσύνην. καὶ τὸ πρῶτον ἦν ἐγκρατὴς ἑαυτοῦ, καὶ ἔφυγε τὴν ἄνθρωπον· ἀναπαυομένῳ δ' αὐτῷ ποτε μετὰ πότον καὶ χορείαν πρόςπεσοῦσαν διεπράξατο. φοβούμενος οὖν καὶ ταραττόμενος, ἐπὶ τὸ μαντεῖον κατέφυγε, καὶ περὶ τῆς ἁμαρτίας ἠρώτα τὸν θεὸν, εἴ τις εἴη παράκλησις, ἢ λύσις· καὶ ἔλαβε τόνδε τὸν χρησμόν· Ἅπαντα ἀναγκαῖα συγχωρεῖ θεός· οὐ μὴν ἀλλὰ δοὺς ἄν τις, ὡς οὐδὲν ἄνευ μέτρου θεσπίζεται καθ' ἡμᾶς, μᾶλλον διαπορήσει καὶ περὶ τῶν παλαιῶν, ποτὲ μὲν μέτροις, ποτὲ δ' ἄνευ μέτρων διδόντων τὰς ἀποκρίσεις. ἔστι δ' οὐδέτερον, ὦ παῖ, παράλογον, μόνον ἂν ὀρθὰς καὶ καθαρὰς περὶ τοῦ θεοῦ δόξας ἔχωμεν, καὶ μὴ νομίζωμεν αὐτὸν ἐκεῖνον εἶναι τὸν τὰ ἔπη συντιθέντα πρότερον, καὶ νῦν ὑποβάλλοντα τῇ Πυθίᾳ τοὺς χρησμοὺς, ὥσπερ ἐκ προσωπείων φθεγγόμενον.

XXI. Ἀλλ' αὖθις ἄξιον μέν ἐστι διὰ μακροτέρων εἰπεῖν τι καὶ πυθέσθαι περὶ τούτων, τὰ δὲ νῦν ἐν βραχεῖ μαθόντες διαμνημονεύωμεν, ὡς σῶμα μὲν ὀργάνοις χρῆται πολλοῖς, αὐτῷ δὲ σώματι ψυχὴ καὶ μέρεσι τοῖς σώματος· ψυχὴ δὲ ὄργανον θεοῦ γέγονεν· ὀργάνου δ' ἀρετὴ μάλιστα μιμεῖσθαι τὸ χρώμενον ᾗ πέφυκε δυνάμει, καὶ παρέχειν τὸ ἔργον αὐτοῦ τοῦ νοήματος ἐν αὐτῷ (δυναμένη,) δεικνύναι δ' οὐχ οἷον ἦν ἐν τῷ δημιουργῷ καθαρὸν καὶ ἀπαθὲς καὶ ἀναμάρτητον, ἀλλὰ μεμιγμένον πολλῷ τῷ ἀλλοτρίῳ· καθ' ἑαυτὸ γὰρ ἄδηλον ἡμῖν· ἕτερον δὲ καὶ

δι' ἑτέρου φαινόμενον ἀναπίμπλαται τῆς ἐκείνου φύσεως. καὶ κηρὸν μὲν ἐῶ, καὶ χρυσὸν, ἄργυρόν τε καὶ χαλκὸν, ὅσα τε ἄλλα πλαττομένης οὐσίας εἴδη δέχεται μὲν ἰδέαν μίαν ἐκτυπουμένης ὁμοιότητος, ἄλλο δ' ἄλλην ἀφ' ἑαυτοῦ τῷ μιμήματι διαφορὰν προςτίθησι, καὶ τὰς ἐν κατόπτροις ἐπιπέδοις τε καὶ κοίλοις καὶ περιηγέσι φασμάτων καὶ εἰδώλων ἀφ' ἑνὸς εἴδους μυρίας παρατυπώσεις. καὶ γὰρ ἡλίῳ οὐθὲν οὔτε μᾶλλον ἰδέαν ἔοικε, οὔτε ὡς ὄργανον χρῆσθαι φύσει γέγονεν εὐπειθέστερον σελήνης· λαμβάνουσα δὲ παρ' ἡλίου τὸ λαμπρὸν καὶ πυρωπὸν, οὐχ ὅμοιον ἀποπέμπει πρὸς ἡμᾶς, ἀλλὰ μιχθὲν αὐτῇ, καὶ χρόαν μετέβαλε καὶ δύναμιν ἔσχεν ἑτέραν· ἡ δὲ θερμότης καὶ παντάπασιν ἐξοίχεται καὶ προλέλοιπε τὸ φῶς ὑπὸ ἀσθενείας. οἶμαι δὲ γινώσκειν τὸ παρ' Ἡρακλείτῳ λεγόμενον, ὡς ὁ ἄναξ, οὗ τὸ μαντεῖόν ἐστι τὸ ἐν Δελφοῖς, οὔτε λέγει, οὔτε κρύπτει, ἀλλὰ σημαίνει. πρόςλαβε δὲ τούτοις εὖ λεγομένοις καὶ νόησον τὸν ἐνταῦθα θεὸν χρώμενον τῇ Πυθίᾳ πρὸς ἀκοὴν, καθὼς ἥλιος χρῆται σελήνῃ πρὸς ὄψιν· δείκνυσι μὲν γὰρ καὶ ἀναφαίνει τὰς αὑτοῦ νοήσεις, μεμιγμένας δὲ δείκνυσι διὰ σώματος θνητοῦ καὶ ψυχῆς ἡσυχίαν ἄγειν μὴ δυναμένης, μηδὲ τῷ κινοῦντι παρέχειν ἑαυτὴν ἀκίνητον ἐξ αὑτῆς καὶ καθεστῶσαν, ἀλλ' ὥσπερ ἐν σάλῳ ψοφοῦσαν καὶ συμπλεκομένην τοῖς ἐν αὐτῇ κινήμασι καὶ πάθεσιν ἐπιταράττουσιν αὐτήν. ὡς γὰρ οἱ δῖνοι τῶν ἅμα κύκλῳ καταφερομένων σωμάτων οὐκ ἐπικρατοῦσι βεβαίως, ἀλλὰ κύκλῳ μὲν ὑπ' ἀνάγκης φερομένων, κάτω δὲ φύσει ῥεπόντων, γίνε-

καὶ τις ἐξ ἀμφοῖν ταραχώδης καὶ παράφορος ἑλιγμὸς, οὕτως ὁ καλούμενος ἐνθουσιασμὸς ἔοικε μῖξις εἶναι κινήσεων δυοῖν, τὴν μὲν ὡς πέπονθε τῆς ψυχῆς ἅμα, τὴν δὲ ὡς πέφυκε κινουμένης. ὅπου γὰρ ἀψύχοις σώμασι καὶ κατὰ ταὐτὰ μονίμοις οὐκ ἔστι χρήσασθαι παρ' ὃ πέφυκε βιαζόμενον, οὐδὲ κινῆσαι σφαιρικῶς κύλινδρον, ἢ κυβικῶς, ἢ λύραν αὐλητικῶς, ἢ σάλπιγγα κιθαριστικῶς· ἀλλ' οὐχ ἕτερον, ἢ ὡς ἔοικε, τὸ τεχνικῶς ἑκάστῳ χρῆσθαι καὶ ὡς πέφυκεν· ἦ που τὸ ἔμψυχον καὶ αὐτοκίνητον, ὁρμῆς τε καὶ λόγου μετέχον, ὡς ἄλλως ἄν τις ἢ κατὰ τὴν ἐν αὐτῷ προϋπάρχουσαν ἕξιν ἢ δύναμιν ἢ φύσιν μεταχειρίσαιτο, μουσικῶς κινῶν τὸν ἄμουσον, ἢ γραμματικῶς τὸν ἀγράμματον, ἢ λογίως τὸν ἐν λόγοις ἀθεώρητον καὶ ἀνάσκητον, οὐκ ἔστιν εἰπεῖν.

XXII. Μαρτυρεῖ δέ μοι καὶ Ὅμηρος, αἰτίας μὲν ἄνευ θεοῦ οὐδὲν, ὡς ἔπος εἰπεῖν, ὑποτιθέμενος περαινόμενον, οὐ μὴν πᾶσι πρὸς πάντα χρώμενον ποιῶν τὸν θεὸν, ἀλλ' ἑκάστῳ καθ' ἣν ἔχει τέχνην ἢ δύναμιν. ἢ γὰρ οὐχ ὁρᾷς (εἶπεν) ὦ φίλε Διογενιανὲ τὴν Ἀθηνᾶν, ὅτε πεῖσαι βούλεται τοὺς Ἀχαιοὺς, τὸν Ὀδυσσέα παρακαλοῦσαν, ὅτε συγχέαι τὰ ὅρκια, τὸν Πάνδαρον ζητοῦσαν, ὅτε τρέψασθαι τοὺς Τρῶας, ἐπὶ τὸν Διομήδην βαδίζουσαν; ὁ μὲν γὰρ εὔρωστος καὶ μάχιμος· ὁ δὲ τοξικὸς καὶ ἀνόητος· ὁ δὲ δεινὸς εἰπεῖν καὶ φρόνιμος. οὐ γὰρ εἶχεν Ὅμηρος τὴν αὐτὴν Πινδάρῳ διάνοιαν, εἴ γε Πίνδαρος ἦν ὁ ποιήσας· Θεοῦ θέλοντος, κἂν ἐπὶ ῥιπὸς πλέοις. ἀλλὰ ἐγίνωσκεν ἄλλας πρὸς ἄλλα δυνάμεις καὶ φύσεις γε-

γενημένας, ὧν ἑκάστη κινεῖται διαφόρως, κἂν ἓν ᾖ τὸ κινοῦν ἁπάσας. ὥσπερ οὖν τὸ κινοῦν τὸ πεζὸν, οὐ δύναται πτητικῶς, οὐδὲ τορῶς τὸ τραυλὸν, οὐδὲ εὐφώνως τὸ ἰσχνόφωνον. ἀλλὰ καὶ τὸν Βάττον (οἶμαι) διὰ τοῦτο ἐπὶ τὴν ῥώμην παραγενόμενον εἰς Λιβύην ἔπεμψαν οἰκιστὴν, ὅτι τραυλὸς μὲν ἦν καὶ ἰσχνόφωνος, βασιλικὸς δὲ καὶ πολιτικὸς καὶ φρόνιμος· οὕτως ἀδύνατον διαλέγεσθαι ποιητικῶς τὸν ἀγράμματον καὶ ἀνήκοον ἐπῶν. ὥσπερ ἡ νῦν τῷ θεῷ λατρεύουσα γέγονε μὲν εἴ τις ἄλλος ἐνταῦθα νομίμως καὶ καλῶς, καὶ βεβίωκεν εὐτάκτως· τραφεῖσα δ' ἐν οἰκίᾳ γεωργῶν πενήτων, οὔτ' ἀπὸ τέχνης οὐδὲν, οὔτ' ἀπ' ἄλλης τινὸς ἐμπειρίας καὶ δυνάμεως ἐπιφερομένη, κάτεισιν εἰς τὸ χρηστήριον, ἀλλ' ὥσπερ ὁ Ξενοφῶν οἴεται δεῖν, Ἐλάχιστα τὴν νύμφην ἰδοῦσαν, ἐλάχιστα δὲ ἀκούσασαν εἰς ἀνδρὸς βαδίζειν, οὕτως ἄπειρος καὶ ἀδαὴς ὀλίγου δεῖν ἁπάντων, καὶ παρθένος ὡς ἀληθῶς τὴν ψυχὴν, τῷ θεῷ σύνεστιν. ἀλλ' ἡμεῖς ἐρωδιοῖς οἰόμεθα καὶ τροχίλοις καὶ κόραξι χρῆσθαι φθεγγομένοις σημαίνοντα τὸν θεὸν, καὶ οὐκ ἀξιοῦμεν, ᾗ θεῶν ἄγγελοι καὶ κήρυκές εἰσι, λογικῶς ἕκαστα καὶ σαφῶς φράζειν, τὴν δὲ τῆς Πυθίας φωνὴν καὶ διάλεκτον ὥσπερ ἐκ θυμέλης, οὐκ ἀνήδυντον, οὐδὲ λιτὴν, ἀλλ' ἐν μέτρῳ καὶ ὄγκῳ καὶ πλάσματι καὶ μεταφοραῖς ὀνομάτων, καὶ μετ' αὐλοῦ φθεγγομένην παρέχειν ἀξιοῦμεν.

XXIII. Τί οὖν φήσομεν περὶ τῶν παλαιῶν; οὐχ ἓν, ἀλλὰ πλείονα, οἶμαι. πρῶτον μὲν γὰρ, ὥσπερ εἴρηται, τὰ πλεῖστα κἀκεῖναι καταλογάδην ἀπεφθέγ-

γοντα. δεύτερον δὲ καὶ σωμάτων ἤνεγκε κράσεις καὶ φύσεις ὁ χρόνος ἐκεῖνος, εὔρουν τι καὶ φορὸν ἐχούσας πρὸς ποίησιν, αἷς εὐθὺς ἐπεγίνοντο προθυμίαι καὶ ὁρμαὶ καὶ παρασκευαὶ ψυχῆς, ἑτοιμότητα ποιοῦσαι μικρᾶς ἔξωθεν ἀρχῆς καὶ παρατροπῆς τοῦ φανταστικοῦ δεομένην, ὡς εὐθὺς ἕλκεσθαι πρὸς τὸ οἰκεῖον οὐ μόνον, ὥς λέγει Φιλῖνος, ἀστρολόγους καὶ φιλοσόφους, ἀλλ' ἐν οἴνῳ τε πολλῷ καὶ πάθει γινομένων, οἴκτου τινὸς ὑποῤῥυέντος, ἢ χαρᾶς προσπεσαύσης ὠλίσθανον εἰς εὐωδὸν γῆρυν, ἐρωτικῶν τε κατεπίμπλαντο μέτρων καὶ ᾀσμάτων τὰ συμπόσια καὶ τὰ βιβλία γραμμάτων. ὁ δ' Εὐριπίδης εἰπὼν ὡς Ἔρως ποιητὴν διδάσκει, κἂν ἄμουσος ᾖ τοπρὶν, ἐνενόησεν, ὅτι ποιητικὴν καὶ μουσικὴν ἔρως δύναμιν οὐκ ἐντίθησιν, ἐνυπάρχουσαν δὲ κινεῖ, καὶ ἀναθερμαίνει λανθάνουσαν καὶ ἀργοῦσαν. ἢ μηδένα νῦν ἐρᾶν, ὦ ξένε, λέγωμεν, ἀλλὰ φροῦδον οἴχεσθαι τὸν ἔρωτα, ὅτι μέτροις οὐδεὶς οὐδὲ ᾠδαῖς ῥίμφα παιδίοις, ὥσπερ Πίνδαρος ἔφη, τοξεύει μελιγηρέας ὕμνους. ἀλλ' ἄτοπον· ἔρωτες γὰρ ὅτι πολλοὶ τῶν ἀνθρώπων ἐπιστρέφονται, ψυχαῖς ὁμιλοῦντες οὐκ εὐφυῶς οὐδὲ ἑτοίμως πρὸς μουσικὴν ἐχούσαις, ἄναυλοι μὲν καὶ ἄλυροι, λάλοι δὲ οὐδὲν ἧττόν εἰσι καὶ διάπυροι τῶν παλαιῶν. ὅτι οὐδὲ ὅσιον εἰπεῖν ἢ καλὸν ὡς ἀκέραστος ἦν ἡ ἀκαδημία, καὶ ὁ Σωκράτους καὶ Πλάτωνος χορὸς, ὧν λόγοις μὲν ἐρωτικοῖς ἐντυχεῖν ἐστι, ποιήματα δὲ οὐκ ἀπολελοίπασι. τί δ' ἀπολείπει τοῦ λέγοντος ἐρωτικὴν μόνην γεγονέναι Σαπφὼ γυναικῶν, ὁ μαντικὴν μόνην φάσκων γεγονέ-

ναι Σίβυλλαν, καὶ Ἀριστονίκαν, καὶ ὅσαι διὰ μέτρων ἐθεμίστευσαν. ὁ μὲν γὰρ οἶνος, ὥς ἔλεγε Χαιρήμων, τοῖς τρόποις κεράννυται τῶν πινόντων· ὁ δὲ μαντικὸς ἐνθουσιασμὸς, ὥςπερ ὁ ἐρωτικὸς, χρῆται τῇ ὑποκειμένῃ δυνάμει, καὶ κινεῖ τῶν δεξαμένων ἕκαστον καθ᾽ ὅ πέφυκεν.

XXIV. Οὐ μὴν ἀλλὰ καὶ τὸ τοῦ θεοῦ καὶ τῆς προνοίας σκοποῦντες, ὀψόμεθα πρὸς τὸ βέλτιον γεγενημένην τὴν μεταβολήν. ἀμοιβῇ γὰρ ἔοικε νομίσματος ἡ τοῦ λόγου χρεία, καὶ δόκιμον μὲν αὐτοῦ τὸ σύνηθές ἐστι καὶ γνώριμον, ἄλλην ἐν ἄλλοις χρόνοις ἰσχὺν λαμβάνοντος. ἦν οὖν ὅτι λόγου νομίσμασιν ἐχρῶντο μέτροις καὶ μέλεσι καὶ ᾠδαῖς, πᾶσαν μὲν ἱστορίαν καὶ φιλοσοφίαν, πᾶν δὲ πάθος, ὡς ἁπλῶς εἰπεῖν, καὶ πρᾶγμα σεμνοτέρας φωνῆς δεόμενον εἰς ποιητικὴν καὶ μουσικὴν ἄγοντες. ἃ γὰρ μόνον νῦν ὀλίγοι μόλις ἐπαΐουσι, τότε δὴ πάντες ἠκροῶντο, καὶ ἔχαιρον ᾀδομένοις μηλοβόται τε ἀρόται τε, ὀρνιθολόχοι τε, κατὰ Πίνδαρον. ἀλλὰ ὑπὸ τῆς πρὸς ποιητικὴν ἐπιτηδειότητος, οἱ πλεῖστοι διὰ λύρας καὶ ᾠδῆς ἐνουθέτουν, ἐπαῤῥησιάζοντο, παρεκελεύοντο, μύθοις καὶ παροιμίαις ἐπέραινον, ἔτι δὲ ὕμνους, θεῶν εὐχὰς, παιᾶνας, ἐν μέτροις ἐποιοῦντο καὶ μέλεσιν, οἱ μὲν δι᾽ εὐφυΐαν, οἱ δὲ διὰ συνήθειαν. οὐκοῦν οὐδὲ μαντικῇ κόσμου καὶ χάριτος ἐφθόνει ὁ θεὸς, οὐδὲ ἀπήλαυνεν ἐνθένδε τιμωμένην μοῦσαν τοῦ τρίποδος, ἀλλὰ ἐπήγετο, μᾶλλον ἐγείρων τὰς ποιητικὰς φύσεις καὶ ἀσπαζόμενος, αὐτός τε φαντασίας ἐνεδίδου, καὶ συνεξώρμα τὸ σοβαρὸν καὶ λόγιον

ὡς ἁρμόττον καὶ θαυμαζόμενον. ἐπεὶ δὲ τοῦ βίου μεταβολὴν ἅμα ταῖς τύχαις καὶ ταῖς φύσεσι λαμβάνοντος, ἐξωθοῦσα τὸ περιττὸν ἡ χρεία, κρωβύλους τε χρυσοῦς ἀφῄρει, καὶ ξυστίδας μαλακὰς ἀπημφίαζε, καί που καὶ κόμην σοβαρωτέραν ἀπέκειρε, καὶ ὑπέλυσε κοθορνόν, οὐ φαύλως ἐθιζομένων ἀντικαλλωπίζεσθαι πρὸς τὴν πολυτέλειαν εὐτελείᾳ, καὶ τὸ ἀφελὲς καὶ λιτὸν ἐν κόσμῳ τίθεσθαι μᾶλλον, ἢ τὸ σοβαρὸν καὶ περίεργον· οὕτω τοῦ λόγου συμμεταβάλλοντος ἅμα καὶ συναποδυομένου, κατέβη μὲν ἀπὸ τῶν μέτρων, ὥςπερ ὀχημάτων, ἡ ἱστορία, καὶ τῷ πεζῷ μάλιστα τοῦ μυθώδους ἀπεκρίθη τὸ ἀληθές· φιλοσοφία δὲ τὸ σαφὲς καὶ διδασκαλικὸν ἀσπασαμένη μᾶλλον ἢ τὸ ἐκπλῆττον, διὰ λόγων ἐποιεῖτο τὴν ζήτησιν· ἀπέπαυσε δὲ τὴν Πυθίαν ὁ θεός, πυρικάους μὲν ὀνομάζουσαν τοὺς αὐτῆς πολίτας, ὀφιοβόρους δὲ τοὺς Σπαρτιάτας, ὀρεάνας δὲ τοὺς ἄνδρας, ὀρέμποτας δὲ τοὺς ποταμούς· ἀφελὼν δὲ τῶν χρησμῶν ἔπη καὶ γλώσσας καὶ περιφράσεις καὶ ἀσάφειαν, οὕτω διαλέγεσθαι παρεσκεύασε τοῖς χρωμένοις ὡς νόμοι τε πόλεσι διαλέγονται, καὶ βασιλεῖς ἐντυγχάνουσι δήμοις, καὶ μαθηταὶ διδασκάλων ἀκροῶνται, πρὸς τὸ συνετὸν καὶ πιθανὸν ἁρμοζόμενος.

XXV. Εὖ γὰρ εἰδέναι χρὴ τὸν θεόν, ὥς φησι Σοφοκλῆς,

Σοφοῖς μὲν αἰνικτῆρα θεσφάτων ἀεί,
Σκαιοῖς δὲ φαῦλον κἀν βραχεῖ διδάσκαλον·

μετὰ δὲ τῆς σαφηνείας καὶ ἡ πίστις οὕτως ἐστρέφετο

συμμεταβάλλουσα τοῖς ἄλλοις πράγμασιν, ὥστε πάλαι μὲν τὸ μὴ σύνηθες μηδὲ κοινὸν, ἀλλ' ἄδοξον ἀτεχνῶς καὶ περιπεφασμένον, εἰς ὑπόνοιαν ὁσιότητος ἀνάγοντας ἐκπλήττεσθαι καὶ σέβεσθαι τοὺς πολλούς· ὕστερον δὲ τὸ σαφῶς καὶ ῥαδίως ἕκαστα καὶ μὴ σὺν ὄγκῳ μηδὲ πλάσματι μανθάνειν ἀγαπῶντες, ᾐτιῶντο τὴν περικειμένην τοῖς χρησμοῖς ποίησιν, οὐ μόνον ὡς ἀντιπράττουσαν τῇ νοήσει πρὸς τὸ ἀληθὲς, ἀσάφειάν τε καὶ σκιὰν τῷ φραζομένῳ μιγνύουσαν, ἀλλὰ ἤδη καὶ τὰς μεταφορὰς καὶ τὰ αἰνίγματα καὶ τὰς ἀμφιβολίας, ὥςπερ μυχοὺς καὶ καταφυγὰς ἐνδύεσθαι, καὶ ἀναχωρεῖν τῷ πταίοντι πεποιημένας τῆς μαντικῆς ὑφεωρῶντο. πολλῶν δ' ἦν ἀκούειν, ὅτι ποιητικοί τινες ἄνδρες ἐκδεχόμενοι τὰς φωνὰς καὶ ὑπολαμβάνοντες ἔτι κάθηνται περὶ τὸ χρηστήριον, ἔπη καὶ μέτρα καὶ ῥυθμοὺς οἷον ἀγγεῖα τοῖς χρησμοῖς ἐκ τοῦ προστυχόντος περιπλέκοντες. Ὀνομάκριτοι δ' ἐκεῖνοι καὶ Προδόται καὶ Κινέσωνες ὅσην αἰτίαν ἠνέγκαντο τῶν χρησμῶν, ὡς τραγῳδίαν αὐτοῖς καὶ ὄγκον οὐθὲν δεομένοις προςθέντες, ἐῶ λέγειν· οὐδὲ προςεῖναι τὰς μεταβολάς. πλείστης μέντοι ποιητικὴν ἐνέπλησεν ἀδοξίας τὸ ἀγυρτικὸν καὶ ἀγοραῖον καὶ περὶ τὰ μητρῷα καὶ σεράπεια βωμολόχον καὶ πλανώμενον γένος, οἱ μὲν αὐτόθεν, οἱ δὲ κατὰ κλῆρον ἔκ τινων γραμματείων χρησμοὺς περαίνοντες οἰκέταις καὶ γυναίοις ὑπὸ τῶν μέτρων ἀγομένοις μάλιστα καὶ τοῦ ποιητικοῦ τῶν ὀνομάτων· ὅθεν οὐχ ἥκιστα ποιητικὴ δοκοῦσα κοινὴν ἐμπαρέχειν ἑαυτὴν ἀπατεῶσι καὶ γόησιν ἀνθρώποις καὶ

ψευδομάντεσιν, ἐξέπεσε τῆς ἀληθείας καὶ τοῦ τρίποδος.

XXVI. Οὐ τοίνυν θαυμάσαιμ' ἂν, εἰ διπλόης τινὸς ἔδει καὶ περιαγωγῆς καὶ ἀσαφείας ἔστιν ὅτε τοῖς παλαιοῖς. οὐδὲ γὰρ ὁ δεῖνα κατέβαινε μὰ Δία περὶ ὠνῆς ἀνδραπόδου χρησόμενος, οὐδὲ ὁ δεῖνα περὶ ἐργασίας· ἀλλὰ πόλεις μέγα δυνάμεναι, καὶ βασιλεῖς καὶ τύραννοι μέτριον οὐθὲν φρονοῦντες, ἐνετύγχανον τῷ θεῷ περὶ πραγμάτων· οὓς ἀνιᾷν καὶ παροξύνειν ἀπεχθείᾳ πολλὰ τῶν ἀβουλήτων ἀκούοντας, οὐκ ἐλυσιτέλει τοῖς περὶ τὸ χρηστήριον. οὐ πείθεται γὰρ ὁ θεὸς τῷ Εὐριπίδῃ ὥςπερ νομοθετοῦντι καὶ λέγοντι· Φοῖβον ἀνθρώποις μόνον χρὴ θεσπιῳδεῖν. χρώμενος δὲ θνητοῖς ὑπηρέταις καὶ προφήταις, ὧν μήδεσθαι προςήκει καὶ φυλάττειν, ὅπως ὑπ' ἀνθρώπων οὐκ ἀπολοῦνται πονηρῶν θεῷ λατρεύοντες, ἀφανίζειν μὲν οὐ θέλει τὸ ἀληθὲς, παρατρέπων δὲ τὴν δήλωσιν αὐτῶν, καθάπερ αὐγὴν ἐν τῇ ποιητικῇ πολλὰς ἀνακλάσεις λαμβάνουσαν, καὶ πολλαχοῦ περισχιζομένην, ἀφῄρει τὸ ἀντίτυπον αὐτοῦ καὶ σκληρόν. ἦν δὲ ἄρα καὶ τυράννους ἀγνοῆσαι καὶ πολεμίους μὴ προαισθέσθαι. τούτοις οὖν περιέβαλεν ὑπονοίας καὶ ἀμφιλογίας, αἳ πρὸς ἑτέρους ἀποκρύπτουσαι τὸ φραζόμενον, οὐ διέφευγον αὐτοὺς, οὐδὲ παρεκρούοντο τοὺς δεομένους καὶ προςέχοντας. ὅθεν εὐηθέστατός ἐστιν ὁ τῶν πραγμάτων ἑτέρων γεγονότων, εἰ μηκέτι τὸν αὐτὸν ἡμῖν τρόπον, ἀλλ' ἕτερον οἴεται δεῖν βοηθεῖν ὁ θεὸς ἐγκαλῶν καὶ συκοφαντῶν.

XXVII. Ἔτι τοίνυν οὐθὲν ἀπὸ ποιητικῆς λόγῳ χρησιμώτερον ὑπάρχει, τοῦ δεθέντα μέτροις τὰ φραζόμενα καὶ συμπλακέντα μᾶλλον μνημονεύεσθαι καὶ κρατεῖσθαι. τοῖς μὲν οὖν τότε πολλὴν ἔδει μνήμην παρεῖναι. πολλὰ γὰρ ἐφράζετο καὶ τόπων σημεῖα καὶ πράξεων καιροὶ, καὶ θεῶν ἱερὰ διαποντίων, καὶ ἡρώων ἀπόῤῥητοι θῆκαι καὶ δυςεξεύρετοι μακρὸν ἀπαίρουσι τῆς Ἑλλάδος. ἴστε γὰρ τὸν Χῖον καὶ Κρήτινον καὶ Νήσιχον καὶ Φάλανθον, ἄλλους τε πολλοὺς ἡγεμόνας στόλων ὅσοις ἔδει τεκμηρίοις ἀνευρεῖν τὴν διδομένην ἑκάστῳ καὶ προςήκουσαν ἵδρυσιν· ὧν ἔνιοι καὶ διημάρτανον, ὥςπερ Βάττος. ἔλεξε γὰρ ἐκπεσεῖν, οὐ καταλαβὼν ἐφ' ὃν ἐπέμφθη τόπον. εἶτα ἧκε δεύτερον ποτνιώμενος. ὑπειπὼν οὖν ὁ θεός·

Ἄστυ ἐμεῦ Λιβύαν μαλοτρόφον οἶδας ἄρειον,
Μὴ ἐλθὼν ἐλθόντος· ἄγαν ἄγαμαι σοφίην σεῦ·

οὕτω πάλιν αὐτὸν ἐξέπεμψε. Λύσανδρος δὲ καὶ παντάπασιν ἀγνοήσας τὸν Ἀρχελίδην λόφον καὶ Ἀλώπεκον προςαγορευόμενον καὶ τὸν Ὁπλίτην ποταμὸν, γῆς τε δράκοντα υἱὸν δόλιον κατόπισθεν ἰόντα, μάχῃ κρατηθεὶς, ἔπεσεν ἐν τοῖς τόποις ἐκείνοις ὑπὸ Νεοχώρου Ἁλιαρτίου ἀνδρὸς ἀσπίδα φοροῦντος ἐπίσημον ὄφιν ἔχουσαν. ἄλλα δὲ τοιαῦτα πολλὰ δυςκάθεκτα καὶ δυςμνημόνευτα τῶν παλαιῶν διεξιέναι πρὸς ὑμᾶς εἰδότας, οὐκ ἀναγκαῖόν ἐστι.

XXVIII. Τὰ δὲ νῦν πράγματα καθεστῶτα, περὶ ὧν ἐρωτῶσι τὸν θεὸν, ἀγαπῶ μὲν ἔγωγε καὶ ἀσπάζομαι· πολλὴ γὰρ εἰρήνη καὶ ἡσυχία, πέπαυται

δὲ πόλεμος, καὶ πλάναι καὶ στάσεις οὐκ εἰσὶν, οὐδὲ τυραννίδες, οὐδὲ ἄλλα νοσήματα καὶ κακὰ τῆς Ἑλλάδος, ὥςπερ πολυφαρμάκων δυνάμεων χρήζοντα καὶ περιττῶν. ὅπου δὲ ποικίλον οὐδὲν, οὐδ᾽ ἀπόῤῥητον, οὐδὲ δεινὸν, ἀλλ᾽ ἐπὶ πράγμασι μικροῖς καὶ δημοτικοῖς ἐρωτήσεις, οἷον ἐν σχολῇ προτάσεις, εἰ γαμητέον, εἰ πλευστέον, εἰ δανειστέον. τὰ δὲ μέγιστα πόλεων μαντεύματα, φορᾶς καρπῶν πέρι, καὶ βοτῶν ἐπιγονῆς, καὶ σωμάτων ὑγείας· ἐνταῦθα περιβάλλειν μέτρα, καὶ πλάττειν περιφράσεις, καὶ γλώσσας ἐπάγειν πύσμασιν ἁπλῆς καὶ συντόμου δεομένοις ἀποκρίσεως, ἔργον ἐστὶ φιλοτίμου σοφιστοῦ καλλωπίζοντος ἐπὶ δόξῃ χρηστήριον. ἡ δὲ Πυθία καὶ καθ᾽ αὑτὴν μέν ἐστι γενναία τὸ ἦθος, ὅταν δ᾽ ἐκεῖ κατέλθῃ καὶ γένηται παρὰ τῷ θεῷ, πλέον ἀληθείας ἐκείνῃ μέλει ἢ δόξης, καὶ ἀνθρώπων ἐπαινούντων, ἢ ψεγόντων.

XXIX. Ἔδει δὲ ἴσως καὶ ἡμᾶς ἔχειν οὕτως· νῦν δὲ ὥςπερ ἀγωνιῶντες καὶ δεδιότες, μὴ τρισχιλίων ἐτῶν ἀποβάλῃ δόξαν ὁ τόπος, καὶ τοῦ χρηστηρίου καθάπερ σοφιστοῦ διατριβῆς ἀποφοιτήσωσιν ἔνιοι, καταφρονήσαντες, ἀπολογούμεθα καὶ πλάσσομεν αἰτίας καὶ λόγους ὑπὲρ ὧν οὔτ᾽ ἴσμεν, οὔτ᾽ εἰδέναι προςῆκον ἡμῖν ἐστι· παραμυθούμενοι τὸν ἐγκαλοῦντα καὶ πείθοντες, οὐ χαίρειν ἐῶντες.

Αὐτῷ γάρ οἱ πρῶτον ἀγηρώτερον ἔσται,

τοιαύτην ἔχοντι περὶ τοῦ θεοῦ δόξαν· ὥςτε ταυτὶ μὲν τὰ προγεγραμμένα τῶν σοφῶν, τὸ Γνῶθι σαυτὸν, καὶ τὸ Μηδὲν ἄγαν, ἀποδέχεσθε, καὶ θαυμάζε-

τε οὐχ ἥκιστα διὰ τὴν βραχυλογίαν, ὡς πυκνὸν καὶ σφυρήλατον νοῦν ἐν ὀλίγῳ περιέχουσαν ὄγκῳ· τοὺς δὲ χρησμοὺς, ὅτι συντόμως καὶ ἁπλῶς καὶ δι' εὐθείας τὰ πλεῖστα φράζουσιν, αἰτιᾶσθε. καὶ τὰ τοιαῦτα μὲν ἀποφθέγματα τῶν σοφῶν ταὐτὸν τοῖς εἰς στενὸν συνθλιβεῖσι πέπονθε ῥεύμασιν. οὐ γὰρ ἔχει τοῦ νοῦ δίοψιν, οὐδὲ διαύγειαν, ἀλλ' ἐὰν σκοπῇς, τί γέγραπται καὶ λέλεκται περὶ αὐτῶν τοῖς ὅπως ἕκαστον ἔχει βουλομένοις καταμαθεῖν, οὐ ῥᾳδίως τούτων λόγους ἑτέρους εὑρήσεις μακροτέρους. ἡ δὲ τῆς Πυθίας διάλεκτος, ὥςπερ οἱ μαθηματικοὶ γραμμὴν εὐθεῖαν καλοῦσι τὴν ἐλαχίστην τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν, οὕτως οὐ ποιοῦσα καμπὴν, οὐδὲ κύκλον, οὐδὲ διπλόην, οὐδ' ἀμφιβολίαν, ἀλλὰ εὐθεῖα πρὸς τὴν ἀλήθειαν οὖσα, πρὸς δὲ πίστιν ἐπισφαλὴς καὶ ὑπεύθυνος, οὐδένα καθ' αὑτῆς ἔλεγχον ἄχρι νῦν παραδέδωκεν, ἀναθημάτων δὲ καὶ δώρων ἐμπέπληκε βαρβαρικῶν καὶ Ἑλληνικῶν τὸ χρηστήριον, οἰκοδομημάτων δὲ κάλλεσι καὶ κατασκευαῖς Ἀμφικτυονικαῖς. ὁρᾶτε δήπουθεν αὐτοὶ πολλὰ μὲν ἐπεκτισμένα τῶν πρότερον οὐκ ὄντων, πολλὰ δ' ἀνειλημμένα τῶν συγκεχυμένων καὶ διεφθαρμένων· ὡς δὲ τοῖς εὐθαλέσι τῶν δένδρων ἕτερα παραβλαστάνει, καὶ τοῖς Δελφοῖς ἡ Πυλαία συνηβᾷ καὶ συναναβόσκεται, διὰ τὰς ἐντεῦθεν εὐπορίας σχῆμα λαμβάνουσα καὶ μορφὴν καὶ κόσμον ἱερῶν καὶ συνεδρίων καὶ ὑδάτων, οἷον ἐν χιλίοις ἔτεσι τοῖς πρότερον οὐκ ἔλαβεν. οἱ μὲν οὖν περὶ τὸ γαλάξιον τῆς Βοιωτίας κατοικοῦντες ᾔσθοντο τοῦ θεοῦ τὴν ἐπιφάνειαν, ἀ-

φθονίᾳ καὶ περιουσίᾳ γάλακτος. „προβάτων γὰρ ἐκ πάντων κελάρυξεν, ὡς ἀπὸ κρηνάων φέρτατον ὕδωρ, θῆλεον γάλα· τοὶ δὲ ἐπίμπλων ἐσσύμενοι πίθους· ἀσκὸς δ᾽ οὔτε τις ἀμφορεὺς ἐλίννυε δόμοις, πέλλαι δὲ ξύλινοι πίθοι πλᾶσθεν ἅπαντες.“ ἡμῖν δὲ λαμπρότερα καὶ κρείττονα καὶ σαφέστερα σημεῖα τούτων ἀναδίδωσιν, ὥςπερ ἐξ αὐχμοῦ τῆς πρόσθεν ἐρημίας καὶ πενίας, εὐπορίαν καὶ λαμπρότητα καὶ τιμὴν πεποιηκώς. καίτοι φιλῶ μὲν ἐμαυτὸν ἐφ᾽ οἷς ἐγενόμην εἰς τὰ πράγματα ταῦτα πρόθυμος καὶ χρήσιμος μετὰ Πολυκράτους καὶ Πετραίου, φιλῶ δὲ τὸν καθηγεμόνα ταύτης τῆς πολιτείας γενόμενον ἡμῖν καὶ τὰ πλεῖστα τούτων ἐκφροντίζοντα καὶ παρασκευάζοντα· ἀλλ᾽ οὐκ ἔστιν ἄλλως ἔτι τηλικαύτην καὶ τοσαύτην μεταβολὴν ἐν ὀλίγῳ χρόνῳ γενέσθαι δι᾽ ἀνθρωπίνης ἐπιμελείας, μὴ θεοῦ παρόντος ἐνταῦθα καὶ συνεπιθειάζοντος τὸ χρηστήριον.

XXX. Ἀλλ᾽ ὥςπερ ἐν τοῖς τότε χρόνοις ἦσαν οἱ τὴν λοξότητα τῶν χρησμῶν καὶ ἀσάφειαν αἰτιώμενοι, καὶ νῦν εἰσιν οἱ τὸ λίαν ἁπλοῦν συκοφαντοῦντες. ὧν καὶ ἄδικόν ἐστι κομιδῆ καὶ ἀβέλτερον τὸ πάθος. καὶ γὰρ οἱ παῖδες ἴριδας μᾶλλον καὶ ἅλως καὶ κόμητας, ἢ σελήνην καὶ ἥλιον ὁρῶντες γεγήθασι καὶ ἀγαπῶσι· καὶ οὗτοι τὰ αἰνίγματα καὶ τὰς ἀλληγορίας καὶ τὰς μεταφορὰς τῆς μαντικῆς ἀνακλάσεις οὔσας πρὸς τὸ θνητὸν καὶ φανταστικόν, ἐπιποθοῦσι· κἂν τὴν αἰτίαν μὴ ἱκανῶς πύθωνται τῆς μεταβολῆς, ἀπίασι τοῦ θεοῦ καταγνόντες, οὐχ

ἡμῶν οὐδ' αὐτῶν, ὡς ἀδυνάτων ὄντων ἐξικνεῖσθαι τῷ λογισμῷ πρὸς τὴν τοῦ θεοῦ διάνοιαν.

# ΠΛΟΥΤΑΡΧΟΥ
## ΠΕΡΙ
## ΤΩΝ ΕΚΛΕΛΟΙΠΟΤΩΝ ΧΡΗΣΤΗΡΙΩΝ.

Ἀετούς τινας, ἢ κύκνους, ὦ Τερέντιε Πρίσκε, μυθολογοῦσιν ἀπὸ τῶν ἄκρων τῆς γῆς ἐπὶ τὸ μέσον φερομένους εἰς ταὐτὸ συμπεσεῖν Πυθοῖ, περὶ τὸν καλούμενον ὀμφαλόν. ὕστερον δὲ χρόνῳ τὸν Φαίστιον Ἐπιμενίδην ἐλέγχοντα τὸν μῦθον ἐπὶ τοῦ θεοῦ, καὶ λαβόντα χρησμὸν ἀσαφῆ καὶ ἀμφίβολον, εἰπεῖν·

Οὔτε γὰρ ἦν γαίης μέσος ὀμφαλὸς, οὐδὲ θαλάσσης·
Εἰ δέ τις ἐστὶ, θεοῖς δῆλος, θνητοῖσι δ' ἄφαντος.

ἐκεῖνον μὲν οὖν εἰκότως ὁ θεὸς ἠμύνατο, μύθου παλαιοῦ, καθάπερ ζωγραφήματος ἁφῇ ἀποπειρώμενον.

II. Ὀλίγον δὲ πρὸ Πυθίων τῶν ἐπὶ Καλλιστράτου, πρὸς ἡμᾶς ἀπὸ τῶν ἐναντίων τῆς οἰκουμένης

περάτων ἔτυχον ἄνδρες ἱεροὶ δύο συνδραμόντες εἰς Δελφούς, Δημήτριος μὲν ὁ γραμματικὸς ἐκ Βρεττανίας εἰς Ταρσὸν ἀνακομιζόμενος οἴκαδε, Κλεόμβροτος δὲ ὁ Λακεδαιμόνιος, πολλὰ μὲν ἐν Αἰγύπτῳ καὶ περὶ τὴν Τρωγλοδυτικὴν γῆν πεπλανημένος, πόῤῥω δὲ τῆς Ἐρυθρᾶς θαλάσσης ἀναπεπλευκὼς οὐ κατ' ἐμπορίαν, ἀλλ' ἀνὴρ φιλοθεάμων, καὶ φιλομαθής, οὐσίαν δὲ ἔχων ἱκανὴν, καὶ τὸ πλείονα τῶν ἱκανῶν ἔχειν οὐκ ἄξιον πολλοῦ ποιούμενος, ἐχρῆτο τῇ σχολῇ πρὸς τὰ τοιαῦτα, καὶ συνῆγεν ἱστορίαν, οἷον ὕλην φιλοσοφίας θεολογίαν, ὥςπερ αὐτὸς ἐκάλει, τέλος ἐχούσης. νεωστὶ δὲ γεγονὼς παρ' Ἄμμωνα, τὰ μὲν ἄλλα τῶν ἐκεῖ δῆλος ἦν μὴ πάνυ τεθαυμακὼς, περὶ δὲ τοῦ λύχνου τοῦ ἀσβέστου διηγεῖτο λόγον ἄξιον σπουδῆς, λεγόμενον ὑπὸ τῶν ἱερέων. ἀεὶ γὰρ ἔλαττον ἀναλίσκειν ἔλαιον ἔτους ἑκάστου, καὶ τοῦτο ποιεῖσθαι τεκμήριον ἐκείνους τῆς τῶν ἐνιαυτῶν ἀνωμαλίας, τὸν ἕτερον τοῦ προάγοντος ἀεὶ τῷ χρόνῳ βραχύτερον ποιούσης. εἰκὸς γὰρ ἐλάττονι χρόνῳ τὸ δαπανώμενον ἔλαττον εἶναι.

III. Θαυμασάντων δὲ τῶν παρόντων, τοῦ δὲ Δημητρίου καὶ γέλοιον φήσαντος εἶναι, ἀπὸ μικρῶν πραγμάτων οὕτω μεγάλα θηρᾶν, οὐ κατ' Ἀλκαῖον ἐξ ὄνυχος τὸν λέοντα γράφοντας, ἀλλὰ θρυαλλίδι καὶ λύχνῳ τὸν οὐρανὸν ὁμοῦ καὶ τὰ σύμπαντα μεθιστάντας, καὶ τὴν μαθηματικὴν ἄρδην ἀναιροῦντας· ὁ Κλεόμβροτος· Οὐδὲν, ἔφη, τούτων διαταράξει τοὺς ἄνδρας· ἀλλὰ τοῖς μαθηματικοῖς οὐχ ὑφήσονται τῆς ἀκριβείας, ὡς μᾶλλον ἂν ἐκείνους διαφυ-

γόντα τὸν χρόνον ἐν κινήσεσι καὶ περιόδοις οὕτω μακρὰν ἀφεστώσαις, ἢ τὸ μέτρον ἑαυτοὺς τοῦ ἐλαίου, προσέχοντας ἀεὶ διὰ τὴν ἀτοπίαν τῷ παραλόγῳ καὶ παραφυλάττοντας. τὸ δὲ μικρὰ μὴ διδόναι σημεῖα γίνεσθαι μεγάλων, ὦ Δημήτριε, πολλαῖς ἐστι τέχναις ἐμποδών· ἐπεὶ καὶ πολλῶν μὲν ἀποδείξεις παραιρεῖσθαι συμβήσεται, πολλῶν δὲ προαγορεύσεις. καίτοι καὶ ὑμεῖς οὐ μικρὸν ἀποδείκνυτε πρᾶγμα, λεαίνεσθαι ξυρῷ τὰ σώματα τοὺς ἥρωας, ἐντυχόντες Ὁμήρῳ ξυρὸν ὀνομάσαντι· καὶ δανείζειν ἐπὶ τόκοις, ὅτι που χρέος ὀφέλλεσθαι φησὶν, οὔτι νέον, οὐδ᾽ ὀλίγον, ὡς τοῦ ὀφέλλεσθαι τὸ αὔξεσθαι δηλοῦντος. αὖθις δὲ τὴν νύκτα θοὴν εἰπόντος, ἀγαπητῶς ἐμφύεσθε τῷ ῥήματι. καὶ τοῦτ᾽ ἐκεῖνο φατὲ φράζεσθαι τὴν σκιὰν τῆς γῆς ὑπ᾽ αὐτοῦ κωνικὴν οὖσαν ἀπὸ σφαιροειδοῦς· ἰατρικὴν δὲ λοιμῶδες θέρος ἀράχνιων πλήθει προδηλοῦν, καὶ θρίοις ἐαρινοῖς, ὅταν κορώνης ποδὶ εἴκελα γένηται, τίς ἐάσει τῶν ἀξιούντων μικρὰ σημεῖα μὴ γίνεσθαι τῶν μεγάλων; τίς δ᾽ ἀνέξεται πρὸς χόα καὶ κοτύλην ὕδατος τὸ τοῦ ἡλίου μέγεθος μετρούμενον, ἢ τῆς ἐνταῦθα πλινθίδος, ἣ ποιεῖ γωνίαν ὀξεῖαν κεκλιμένην πρὸς τὸ ἐπίπεδον, μέτρον εἶναι λεγομένην τοῦ ἐξάρματος, ὃ ἐξῆρται τῶν πόλων ὁ ἀεὶ φανερὸς ἀπὸ τοῦ ὁρίζοντος. ταῦτα γὰρ ἦν ἀκούειν τῶν ἐκεῖ προφητῶν, ὥστε ἄλλο τι λέγωμεν πρὸς αὐτοὺς, εἰ βουλόμεθα τῷ ἡλίῳ κατὰ τὰ πάτρια τὴν νενομισμένην τάξιν ἀπαράβατον ποιεῖν.

IV. Παρὼν οὖν ἀνεφώνησεν Ἀμμώνιος ὁ φιλό-

σοφος, οὐ τῷ ἡλίῳ μόνον εἰπεῖν, ἀλλὰ τῷ οὐρανῷ παντί. συστέλλεσθαι γὰρ ἀνάγκη τὴν ἀπὸ τροπῶν ἐπὶ τροπὰς πάροδον αὐτοῦ, καὶ μὴ διαμένειν τηλικοῦτον μέρος οὖσαν τοῦ ὁρίζοντος, ἡλίκον οἱ μαθηματικοὶ λέγουσιν, ἀλλ᾽ ἐλάττονα γίνεσθαι, ἀεὶ πρὸς τὰ βόρεια τῶν νοτίων συναγωγὴν λαμβανόντων, καὶ τὸ θέρος ἡμῖν βραχύτερον, καὶ ψυχροτέραν εἶναι τὴν κρᾶσιν, ἐνδοτέρω κάμπτοντος αὐτοῦ, καὶ μειζόνων παραλλήλων ἐφαπτομένου τοῖς τροπικοῖς σημείοις· ἔτι δὲ τοὺς μὲν ἐν Συήνῃ γνώμονας, ἀσκίους μηκέτι φαίνεσθαι περὶ τροπὰς θερινάς, πολλοὺς δὲ ὑποδεδραμηκέναι τῶν ἀπλανῶν ἀστέρων· ἐνίους δὲ ψαύειν, καὶ συγκεχύσθαι πρὸς ἀλλήλους, τοῦ διαστήματος ἐκλελοιπότος. εἰ δ᾽ αὖ φήσουσι τῶν ἄλλων ὁμοίως ἐχόντων ἀτακτεῖν ταῖς κινήσεσι τὸν ἥλιον, οὔτε τὴν μόνον τοῦτον ἐκ τοσούτων ἐπιταχύνουσαν αἰτίαν εἰπεῖν ἕξουσι, καὶ τὰ πολλὰ τῶν φαινομένων συνταράξουσι, τὰ δὲ πρὸς σελήνην καὶ παντάπασιν, ὥςτε μὴ δεῖσθαι μέτρων ἐλαίου, τὴν διαφορὰν ἐλεγχόντων. αἱ γὰρ ἐκλείψεις ἐλέγχουσιν αὐτοῦ τε τῇ σελήνῃ πλεονάκις ἐπιβάλλοντος, καὶ τῆς σελήνης, τῇ σκιᾷ, τὰ δ᾽ ἄλλα δῆλα, καὶ οὐδὲν δεῖ περαιτέρω τὴν ἀλαζονείαν τοῦ λόγου διελίττειν. Ἀλλὰ μὴν ὁ Κλεόμβροτος ἔφη, καὶ τὸ μέτρον αὐτὸς εἶδον· πολλὰ γὰρ ἐδείκνυσαν. τὸ δ᾽ ἐπέτειον ἀπέδει τῶν παλαιοτάτων οὐκ ὀλίγον. ὑπολαβὼν δὲ αὖθις ὁ Ἀμμώνιος· Εἶτα τοὺς ἄλλους ἀνθρώπους (εἶπεν) ἔλαθε παρ᾽ οἷς ἄσβεστα θεραπεύεται πυρὰ, καὶ σώζεται χρόνον ἐτῶν, ὡς ἔπος εἰπεῖν, ἄπειρον. εἰ δ᾽ οὖν ὑποθοῖτό

τις ἀληθὲς εἶναι τὸ λεγόμενον, οὐ βέλτιόν ἐστι ψυχρότητας αἰτιᾶσθαί τινας, καὶ ὑγρότητας ἀέρων, ὑφ᾽ ὧν τὸ πῦρ μαραινόμενον, εἰκός ἐστι μὴ κρατεῖν πολλῆς μηδὲ δεῖσθαι τροφῆς, ἢ τοὐναντίον ξηρότητας καὶ θερμότητας; ἤδη γὰρ ἀκήκοα λεγόντων τινῶν περὶ τοῦ πυρὸς, ὡς ἐν χειμῶνι καίεται βέλτιον ὑπὸ ῥώμης, εἰς αὑτὸ συστελλόμενον τῇ ψυχρότητι καὶ πυκνούμενον, ἐν δὲ τοῖς αὐχμοῖς ἐξασθενεῖ, καὶ γίνεται μανὸν καὶ ἄτονον, κἂν ἐν ἡλίῳ καίηται, χεῖρον ἐργάζεται, καὶ τῆς ὕλης ἅπτεται μαλακῶς, καὶ καταναλίσκει βράδιον. μάλιστα δ᾽ ἄν τις εἰς αὐτὸ τὴν αἰτίαν ἐπανάγοιτο τοὔλαιον· οὐ γὰρ ἀπεικός ἐστι, πάλαι μὲν ἄτροφον καὶ ὑδατῶδες εἶναι, γεννώμενον ἐκ φυτάδος νέας, ὕστερον δὲ πεπτόμενον ἐν τελείοις καὶ συνιστάμενον, ἀπὸ πλήθους ἴσου μᾶλλον ἰσχύειν καὶ τρέφειν βέλτιον, εἰ δεῖ τοῖς Ἀμμωνίοις ἀνασώζειν, καίπερ ἄτοπον καὶ ἀλλόκοτον οὖσαν τὴν ὑπόθεσιν.

V. Παυσαμένου δὲ τοῦ Ἀμμωνίου· Μᾶλλον (ἔφην ἐγὼ) περὶ τοῦ μαντείου δίελθε ἡμῖν, ὦ Κλεόμβροτε· μεγάλη γὰρ ἡ παλαιὰ δόξα τῆς ἐκεῖ θειότητος, τὰ δὲ νῦν ἔοικεν ὑπομαραίνεσθαι. τοῦ δὲ Κλεομβρότου σιωπῶντος καὶ κάτω βλέποντος, ὁ Δημήτριος· Οὐδὲν, ἔφη, δεῖ περὶ τῶν ἐκεῖ πυνθάνεσθαι καὶ διαπορεῖν τὴν ἐνταῦθα τῶν χρηστηρίων ἀμαύρωσιν, μᾶλλον δὲ πλὴν ἑνὸς ἢ δυεῖν ἁπάντων ἔκλειψιν δρῶντας· ἀλλ᾽ ἐκεῖνο σκοπεῖν, δι᾽ ἣν αἰτίαν οὕτως ἐξησθένηκε. τὰ γὰρ ἄλλα τί δεῖ λέγειν; ὅπου τὴν Βοιωτίαν ἕνεκα χρηστηρίων πολύφωνον οὖσαν

ἐν τοῖς πρότερον χρόνοις, νῦν ἐπιλέλοιπε κομιδῆ, καθάπερ νάματα, καὶ πολὺς ἐπέσχηκε μαντικῆς αὐχμὸς τὴν χώραν· οὐδαμοῦ γὰρ ἀλλαχόθι νῦν, ἢ περὶ τὴν Λεβαδίαν, ἡ Βοιωτία παρέχει τοῖς χρῄζουσιν ἀρύσασθαι μαντικῆς, τῶν δ᾽ ἄλλων τὰ μὲν σιγὴ, τὰ δὲ παντελὴς ἐρημία κατέσχηκε. καίτοιγε περὶ τὰ Μηδικὰ μὲν εὐδοκίμησεν οὐχ ἧττον, τὸ τοῦ Ἀμφιάρεω ἀπεπειράθη μὲν ὡς ἔοικεν ἀμφοτέρων. ὡς ὁ μὲν οὖν τοῦ μαντείου προφήτης φωνῇ Αἰολίδι χρώμενος, τὸ πρὸς τοὺς τῶν βαρβάρων χρήσιμον ἐξήνεγκεν. ὥςε μηδένα ξυνεῖναι ἁγίων τῶν παρόντων ὃν ἐκεῖνον, ὡς τοῦ ἐνθουσιασμοῦ τι τοῖς βαρβάροις οὐκ ἔστιν. οὐ δέδοται φωνὴν Ἑλληνίδα λαβεῖν τὸ προςταττόμενον ὑπηρετοῦσαν. ὁ δὲ πεμφθεὶς εἰς Ἀμφιάρεω δοῦλος ἔδοξε κατὰ τοὺς ὕπνους ὑπηρέτην τοῦ θεοῦ φανέντα, πρῶτον μὲν ἀπὸ φωνῆς ἐκβάλλειν αὐτὸν, ὡς τοῦ θεοῦ μὴ παρόντος, ἔπειτα ταῖς χερσὶν ὠθεῖν, ἐπιμένοντος δὲ, λίθον εὐμεγέθη λαβόντα τὴν κεφαλὴν πατάξαι. ταῦτα δ᾽ ἦν ὥςπερ ἀντίφωνα τῶν γενησομένων· ἡττήθη γὰρ ὁ Μαρδόνιος, οὐ βασιλέως, ἀλλ᾽ ἐπιτρόπου καὶ διακόνου βασιλέως ἡγουμένου τῶν Ἑλλήνων, καὶ λίθῳ πληγεὶς ἔπεσεν, ὥςπερ ὁ Λυδὸς ἔδοξε πληγῆναι κατὰ τοὺς ὕπνους. ἤκμαζε δὲ τότε καὶ τὸ περὶ τὰς Τεγύρας χρηστήριον, ὅπου καὶ γενέσθαι τὸν θεὸν ἱστοροῦσι, καὶ ναμάτων δυεῖν παραῤῥεόντων, τὸ μὲν, φοίνικα, θάτερον δ᾽ ἐλαίαν καλεῖσθαι ἄχρι νῦν, ὡς ἔνιοι λέγουσιν. ἐν μὲν οὖν τοῖς Μηδικοῖς Ἐχεκράτους προφητεύοντος, ἀνεῖλε νίκην καὶ κράτος πολέμου τοῖς Ἕλλησιν ὁ θεός· ἐν δὲ τῷ

Πελοποννησιακῷ πολέμῳ Δηλίοις ἐκπεσοῦσι τῆς νήσου φασὶ χρησμὸν ἐκ Δελφῶν κομισθῆναι, προστάττοντα τὸν τύπον ἀνευρεῖν, ἐν ᾧ γέγονεν ὁ Ἀπόλλων, καὶ θυσίας τινὰς ἐκεῖ τελέσαι. θαυμαζόντων δὲ καὶ διαπορούντων, εἰ μὴ παρ᾽ αὐτοῖς ὁ θεός, ἀλλ᾽ ἑτέρωθι γεγόνει, τὴν Πυθίαν προσανελεῖν, ὅτι κορώνη φράσει τὸ χωρίον αὐτοῖς. ἀπιόντας οὖν ἐν Χαιρωνείᾳ γενέσθαι, καὶ τῆς πανδοκευτρίας ἀκοῦσαι, πρός τινας ξένους βαδίζοντας εἰς Τεγύρας περὶ τοῦ χρηστηρίου διαλεγομένης· τῶν δὲ ξένων, ὡς ἀπῄεσαν, ἀσπαζομένων καὶ προσαγορευόντων τὴν ἄνθρωπον, ὅπερ ὠνομάζετο, Κορώνην, συνεῖναι τὸ λόγιον, καὶ θύσαντας ἐν ταῖς Τεγύραις τυχεῖν καθόδου μετ᾽ ὀλίγον χρόνον. γεγόνασι δὲ καὶ νεώτεραι τούτων ἐπιφάνειαι περὶ τὰ μαντεῖα ταῦτα, νῦν δ᾽ ἐκλέλοιπεν· ὥστε τὴν αἰτίαν ἄξιον εἶναι παρὰ τῷ Πυθίῳ διαπορῆσαι τῆς μεταβολῆς.

VI. Ἤδη δέ πως ἀπὸ τοῦ νεὼ προϊόντες ἐπὶ ταῖς θύραις τῆς Κνιδίων λέσχης ἐγεγόνειμεν· παρελθόντες οὖν εἴσω, τοὺς φίλους, πρὸς οὓς ἐβαδίζομεν, ἑωρῶμεν καθημένους, καὶ περιμένοντας ἡμᾶς· ἦν δὲ τῶν ἄλλων ἡσυχία διὰ τὴν ὥραν, ἀλειφομένων ἢ θεωμένων τοὺς ἀθλητάς. καὶ ὁ Δημήτριος διαμειδιάσας· Ψεύσομαι (εἶπεν) ἢ ἔτυμον ἐρέω; δοκεῖτέ μοι μηδὲν ἄξιον σκέμμα διὰ χειρῶν ἔχειν. ὁρῶ γὰρ ὑμᾶς ἀνειμένως σφόδρα καθημένους καὶ διακεχυμένους τοῖς προσώποις. ὑπολαβὼν οὖν ὁ Μεγαρεὺς Ἡρακλέων· Οὐ γὰρ ζητοῦμεν (ἔφη) τὸ βάλλω ῥῆμα, πότερον τῶν δύο τὸ ἓν λάμβδα κατὰ τὸν μέλλοντα

χρόνον ἀπόλλυσιν· οὐδ᾽ ἀπὸ τίνων ἁπλῶν ὀνομάτων τὸ χεῖρον καὶ τὸ βέλτιον, καὶ τὸ χείριστον καὶ τὸ βέλτιστον ἐσχημάτισται. ταῦτα γὰρ ἴσως καὶ τὰ τοιαῦτα συντείνει καὶ συνίστησι τὸ πρόσωπον· τὰ δ᾽ ἄλλα ἔξεστι τὰς ὀφρῦς κατὰ χώραν ἔχοντας φιλοσοφεῖν καὶ ζητεῖν, ἀτρέμα μὴ δεινὸν βλέποντας, μηδὲ χαλεπαίνοντας τοῖς παροῦσιν. Δέξασθε οὖν, ὁ Δημήτριος, ἡμᾶς, ἔφη, καὶ μεθ᾽ ἡμῶν λόγον, ὃς δὴ προςπέπτωκεν ἡμῖν οἰκεῖος ὢν τοῦ τόπου, καὶ διὰ τὸν Θεὸν ἅπασι προςήκων· καὶ ὅπως οὐ συνάξετε τὰς ὀφρῦς ἐπιχειροῦντες σκοπεῖτε.

VII. Ὡς οὖν ἀνεμίχθημεν διακαθεζόμενοι, καὶ προὔβαλεν εἰς μέσον ὁ Δημήτριος τὸν λόγον, εὐθὺς ἀναπηδήσας ὁ κυνικὸς Δίδυμος, ἐπίκλησιν Πλανητιάδης, καὶ τῇ βακτηρίᾳ δὶς ἢ τρὶς πατάξας, ἀνεβόησεν· Ἰοὺ ἰού, δύσκριτον πρᾶγμα καὶ ζητήσεως δεόμενον πολλῆς, ἥκετε κομίζοντες ἡμῖν. θαυμαςὸν γάρ ἐστιν, εἰ τοσαύτης κακίας ὑποκεχυμένης μὴ μόνον, ὡς προεῖπεν Ἡσίοδος, αἰδὼς καὶ νέμεσις τὸν ἀνθρώπινον βίον ἀπολελοίπασιν, ἀλλὰ καὶ πρόνοια Θεῶν συσκευασαμένη τὰ χρηστήρια πανταχόθεν οἴχεται. τοὐναντίον δ᾽ ὑμῖν ἐγὼ προβάλλω διαπορῆσαι, πῶς οὐχὶ καὶ τότε ἀπείρηκεν, οὐδὲ Ἡρακλῆς αὖθις ἤ τις ἄλλος Θεῶν ὑπέσπακε τὸν τρίποδα, καταπιμπλάμενον αἰσχρῶν καὶ ἀθέων ἐρωτημάτων, ἃ τῷ Θεῷ προβάλλουσιν, οἱ μὲν ὡς σοφιστοῦ διάπειραν λαμβάνοντες, οἱ δὲ περὶ θησαυρῶν ἢ κληρονομιῶν, ἢ γάμων παρανόμων διερωτῶντες· ὥςτε κατὰ κράτος ἐξελέγχεσθαι τὸν Πυθαγόραν εἰπόντα, βελ-

τίστους ἑαυτῶν γίνεσθαι τοὺς ἀνθρώπους, ὅταν πρὸς τοὺς θεοὺς βαδίζωσιν. οὕτως ἃ καλῶς εἶχεν, ἀνθρώπου πρεσβυτέρου παρόντος ἀρνεῖσθαι καὶ ἀποκρύπτειν νοσήματα τῆς ψυχῆς καὶ πάθη, ταῦτα γυμνὰ καὶ περιφανῆ κομίζουσιν ἐπὶ τὸν θεόν. ἔτι δὲ αὐτοῦ βουλομένου λέγειν, ὅ τε Ἡρακλέων ἐπελάβετο τοῦ τρίβωνος, κἀγὼ, σχεδὸν ἁπάντων αὐτῷ συνηθέστατος ὤν· Παῦε (ἔφην) ὦ φίλε Πλανητιάδη, παροξύνων τὸν θεόν· εὐόργητος γάρ ἐστι καὶ οὐ πρᾶος, κατεκρίθη δὲ θνατοῖς ἀγανώτατος ἔμμεν, ὥς φησιν ὁ Πίνδαρος. καὶ εἴτε ἥλιός ἐστιν εἴτε κύριος ἡλίου, καὶ πατὴρ, καὶ ἐπέκεινα τοῦ ὁρατοῦ παντὸς, οὐκ εἰκὸς ἀπαξιοῦν φωνῆς τοὺς νῦν ἀνθρώπους, οἷς αἴτιός ἐστι γενέσεως καὶ τροφῆς, καὶ τοῦ εἶναι καὶ φρονεῖν. οὐδ' ἅμα τὴν πρόνοιαν, ὥςπερ εὐγνώμονα μητέρα καὶ χρηστὴν, πάντα ποιοῦσαν ἡμῖν, καὶ φυλάττουσαν, ἐν μόνῃ μνησίκακον εἶναι τῇ μαντικῇ, καὶ ταύτην ἀφαιρεῖσθαι δοῦσαν ἐξ ἀρχῆς· ὥςπερ οὐχὶ καὶ τότε πλειόνων ὄντων ἐν πλείοσιν ἀνθρώπων πονηρῶν, ὅτε πολλαχόθεν τῆς οἰκουμένης χρηστήρια καθειστήκει. δεῦρο δὴ πάλιν καθίσας, καὶ πρὸς τὴν κακίαν, ἣν εἴωθας ἀεὶ τῷ λόγῳ κολάζειν, πυθικὰς ἐκεχειρίας σπεισάμενος, ἑτέραν τινὰ μεθ' ἡμῶν αἰτίαν ζήτει τῆς λεγομένης ἐκλείψεως τῶν χρηστηρίων. τὸν δὲ θεὸν εὐμενῆ φύλαττε καὶ ἀμήνιτον. ἐγὼ μὲν οὖν ταῦτ' εἰπὼν τοσοῦτον διεπραξάμην, ὅσον ἀπελθεῖν διὰ θυρῶν σιωπῇ τὸν Πλανητιάδην.

VIII. Ἡσυχίας δὲ γενομένης ἐπ' ὀλίγον, ὁ Ἀμμώνιος ἐμὲ προςαγορεύσας· Ὅρα, τί ποιοῦμεν, (εἶ-

πεν) ὦ Λαμπρία, καὶ πρόσεχε τῷ λόγῳ τὴν διάνοιαν, ὅπως μὴ τὸν θεὸν ἀναίτιον ποιῶμεν. ὁ γὰρ ἄλλῳ τινὶ, καὶ μὴ θεοῦ γνώμῃ τὰ παυσάμενα τῶν χρηστηρίων ἐκλιπεῖν ἡγούμενος, ὑπόνοιαν δίδωσι τοῦ μὴ γενέσθαι μηδ' εἶναι διὰ τὸν θεὸν, ἀλλ' ἑτέρῳ τινὶ τρόπῳ νομίζειν. οὐ γάρ ἄλλη γέ τις ἐστὶ μείζων οὐδὲ κρείττων δύναμις, ὥστε ἀναιρεῖν καὶ ἀφανίζειν ἔργον θεοῦ τὴν μαντικὴν οὖσαν. ὁ μὲν οὖν Πλανητιάδου λόγος οὐκ ἀρεστὸς ἐμοὶ, διά τε τἄλλα καὶ τὴν ἀνωμαλίαν, ἣν περὶ τὸν θεὸν ποιεῖ, πῆ μὲν ἀποστρεφόμενον, καὶ ἀπαξιοῦντα τὴν κακίαν, πῆ δὲ πάλιν αὖ προσιέμενον· ὥσπερ εἰ βασιλεύς τις, ἢ τύραννος, ἑτέραις ἀποκλείων θύραις τοὺς πονηροὺς, καθ' ἑτέρας εἰσδέχοιτο καὶ χρηματίζοι. τοῦ δὲ μεγίστου καὶ ἱκανοῦ, καὶ μηδαμοῦ περιττοῦ, πανταχῆ δὲ αὐτάρκους, μάλιστα τοῖς θεοῖς πρέποντος ἔργου, εἰ ταύτην λαβὼν ἀρχὴν φαίη τις, ὅτι τῆς κοινῆς ὀλιγανδρίας, ἣν αἱ πρότεραι στάσεις καὶ οἱ πόλεμοι περὶ πᾶσαν ὁμοῦ τι τὴν οἰκουμένην ἀπειργάσαντο, πλεῖστον μέρος ἡ Ἑλλὰς μετέσχηκε, καὶ μόλις ἂν νῦν ὅλη παράσχοι τρισχιλίους ὁπλίτας, ὅσους ἡ Μεγαρέων μία πόλις ἐξέπεμψεν εἰς Πλαταιέας· οὐδὲν οὖν ἕτερον ἦν τὸ πολλὰ καταλιπεῖν χρηστήρια τὸν θεὸν, ἢ τῆς Ἑλλάδος ἐλέγχειν τὴν ἐρημίαν, ἀκριβῶς ἂν αὐτῷ παράσχοιμι τῆς εὑρεσιλογίας. τίνος γὰρ ἦν ἀγαθὸν, εἰ ἐν Τεγύραις ὡς πρότερον ἦν μαντεῖον, ἢ περὶ τὸ Πτῶον, ὅπου μέρος ἡμέρας ἐντυχεῖν ἐστιν ἀνθρώπῳ νέμοντι. καὶ γὰρ τοῦτο δή που ἐνταῦθα πρεσβύτατον ὂν χρόνῳ τε καὶ δόξῃ κλεινότατον, ὑπὸ θηρίου

χαλεποῦ δρακαίνης πολὺν χρόνον ἔρημον γενέσθαι καὶ ἀπροσπέλαστον ἱστοροῦσιν· οὐκ ὀρθῶς τὴν ἀργίαν, ἀλλ' ἀνάπαλιν λαμβάνοντες. ἡ γὰρ ἐρημία τὸ θηρίον ἐπηγάγετο μᾶλλον, ἢ τὸ θηρίον ἐποίησε τὴν ἐρημίαν. ἐπεὶ δὲ τῷ θεῷ δόξαν οὕτως, ἥ τε Ἑλλὰς ἐῤῥώσθη πόλεσι, καὶ τὸ χωρίον ἀνθρώποις ἐπλήθυε, δυσὶν ἐχρῶντο προφήτισιν ἐν μέρει καθιεμέναις, καὶ τρίτη δ' ἔφεδρος ἦν ἀποδεδειγμένη. νῦν δ' ἐστὶ μία προφῆτις, καὶ οὐκ ἐγκαλοῦμεν· ἐξαρκεῖ γὰρ αὕτη τοῖς δεομένοις. οὐ τοίνυν αἰτιατέον οὐδὲ τὸν θεόν· ἡ γὰρ οὖσα μαντικὴ καὶ διαμένουσα πᾶσίν ἐστιν ἱκανὴ, καὶ πάντας ἀποπέμπει τυγχάνοντας ὧν χρήζουσιν. ὥςπερ οὖν ἐννέα κήρυξιν ὁ Ἀγαμέμνων ἐχρῆτο, καὶ μόλις κατεῖχε τὴν ἐκκλησίαν διὰ πλῆθος, ἐνταῦθα δὲ ὄψεσθε μεθ' ἡμέρας ὀλίγας ἐν τῷ θεάτρῳ μίαν φωνὴν ἐξικνουμένην εἰς πάντας· οὕτως τότε πλείοσιν ἐχρῆτο φωναῖς πρὸς πλείονας ἡ μαντικὴ, νῦν δὲ τοὐναντίον ἔδει θαυμάζειν τὸν θεὸν, εἰ περιεώρα τὴν μαντικὴν ἀχρήστως δίκην ὕδατος ἀποῤῥέουσαν, ἢ, καθάπερ αἱ πέτραι, ποιμένων ἐν ἐρημίᾳ καὶ βοσκημάτων φωναῖς ἀντηχοῦσαν.

IX. Εἰπόντος δὲ ταῦτα τοῦ Ἀμμωνίου, κἀμοῦ σιωπῶντος, ὁ Κλεόμβροτος ἐμὲ προσαγορεύσας· Ἤδη σὺ τοῦτο δέδωκας (ἔφη) τὸ καὶ ποιεῖν ταυτὶ τὰ μαντεῖα καὶ ἀναιρεῖν τὸν θεόν. Οὐκ ἔγωγε· (εἶπον) ἀναιρεῖσθαι μὲν γὰρ οὐθὲν αἰτίᾳ θεοῦ φημὶ μαντεῖον, οὐδὲ χρηστήριον· ἀλλ' ὥςπερ ἄλλα πολλὰ ποιοῦντος ἡμῖν ἐκείνου καὶ παρασκευάζοντος, ἐπάγει φθορὰν ἐνίοις καὶ στέρησιν ἡ φύσις, μᾶλλον δ' ἡ ὕλη

στέρησις οὖσα ἀναφεύγει πολλάκις καὶ ἀναλύει τὸ γινόμενον ὑπὸ τῆς κρείττονος αἰτίας, οὕτω μαντικῶν οἶμαι δυνάμεων σκοτώσεις ἑτέρας καὶ ἀναιρέσεις εἶναι, πολλὰ καλὰ τοῦ θεοῦ διδόντος ἀνθρώποις, ἀθάνατον δὲ μηθέν· ὥςτε θνήσκειν καὶ τὰ θεῶν, θεοὺς δὲ οὔ, κατὰ τὸν Σοφοκλέα. τὴν δ' οὐσίαν αὐτῶν καὶ δύναμιν τοὺς ἐν τῇ φύσει καὶ τῇ ὕλῃ φασὶν δεινοὺς ὀφείλειν ζητεῖν, τῷ θεῷ τῆς ἀρχῆς, ὥςπερ ἐστὶ δίκαιον, φυλαττομένης. εὔηθες γάρ ἐστι καὶ παιδικὸν κομιδῇ τὸ οἴεσθαι τὸν θεὸν αὐτὸν, ὥςπερ τοὺς ἐγγαστριμύθους, Εὐρυκλέας πάλαι, νυνὶ Πύθωνας προςαγορευομένους, ἐνδυόμενον εἰς τὰ σώματα τῶν προφητῶν ὑποφθέγγεσθαι, τοῖς ἐκείνων στόμασι καὶ φωναῖς χρώμενον ὀργάνοις. ὁ γὰρ θεὸν ἐγκαταμιγνὺς ἀνθρωπίναις χρείαις οὐ φείδεται τῆς σεμνότητος, οὐδὲ τηρεῖ τὸ ἀξίωμα καὶ τὸ μέγεθος αὐτῷ τῆς ἀρετῆς.

X. Καὶ ὁ Κλεόμβροτος· Ὀρθῶς λέγεις· ἀλλ' ἐπεὶ τὸ λαβεῖν καὶ διορίσαι, πῶς χρηστέον καὶ μέχρι τίνων τῇ προνοίᾳ, χαλεπὸν, οἱ μὲν οὐδενὸς ἁπλῶς τὸν θεὸν, οἱ δὲ ὁμοῦ τι πάντων αἴτιον ποιοῦντες, ἀστοχοῦσι τοῦ μετρίου καὶ πρέποντος. εὖ μὲν οὖν λέγουσιν οἱ λέγοντες, ὅτι Πλάτων τὸ ταῖς γεννωμέναις ποιότησιν ὑποκείμενον στοιχεῖον ἐξευρὼν, ὃ νῦν ὕλην καὶ φύσιν καλοῦσιν, πολλῶν ἀπήλλαξε καὶ μεγάλων ἀποριῶν τοὺς φιλοσόφους. ἐμοὶ δὲ δοκοῦσι πλείονας λῦσαι καὶ μείζονας ἀπορίας οἱ τὸ τῶν δαιμόνων γένος ἐν μέσῳ θεῶν καὶ ἀνθρώπων, καὶ τρόπον τινὰ τὴν κοινωνίαν ἡμῶν συνάγον εἰς

ταὐτὸ καὶ συνάπτον ἐξευρόντες· εἴτε μάγων τῶν περὶ Ζωροάστρην ὁ λόγος οὗτός ἐστιν, εἴτε Θρᾴκιος ἀπ' Ὀρφέως, εἴτ' Αἰγύπτιος, ἢ Φρύγιος, ὡς τεκμαιρόμεθα ταῖς ἑκατέρωθι τελεταῖς ἀναμεμιγμένα πολλὰ θνητὰ καὶ πένθιμα τῶν ὀργιαζομένων καὶ δρωμένων ἱερῶν ὁρῶντες. Ἑλλήνων δὲ Ὅμηρος μὲν φαίνεται κοινῶς ἀμφοτέροις χρώμενος τοῖς ὀνόμασι, καὶ τοὺς θεοὺς ἔστιν ὅτε δαίμονας προσαγορεύων· Ἡσίοδος δὲ καθαρῶς καὶ διωρισμένως πρῶτος ἐξέθηκε τῶν λογικῶν τέσσαρα γένη, θεοὺς, εἶτα δαίμονας πολλοὺς κἀγαθοὺς, εἶτα ἥρωας, εἶτα ἀνθρώπους, τῶν ἡμιθέων εἰς ἥρωας ἀποκριθέντων. ἕτεροι δὲ μεταβολὴν τοῖς τε σώμασιν ὁμοίως ποιοῦσι καὶ ταῖς ψυχαῖς, ὥςπερ ἐκ γῆς ὕδωρ, ἐκ δὲ ὕδατος ἀὴρ, ἐκ δ' ἀέρος πῦρ γεννώμενον ὁρᾶται, τῆς οὐσίας ἄνω φερομένης· οὕτως ἐκ μὲν ἀνθρώπων εἰς ἥρωας, ἐκ δὲ ἡρώων εἰς δαίμονας, αἱ βελτίονες ψυχαὶ τὴν μεταβολὴν λαμβάνουσιν. ἐκ δὲ δαιμόνων ὀλίγαι μὲν ἔτι χρόνῳ πολλῷ δι' ἀρετῆς καθαρθεῖσαι παντάπασι θεότητος μετέσχον· ἐνίαις δὲ συμβαίνει μὴ κρατεῖν ἑαυτῶν, ἀλλ' ὑφιεμέναις καὶ ἐνδυομέναις πάλιν σώμασι θνητοῖς, ἀλαμπῆ καὶ ἀμυδρὰν ζωὴν, ὥςπερ ἀναθυμίασιν, ἴσχειν.

XI. Ὁ δὲ Ἡσίοδος οἴεται καὶ περιόδοις τισὶ χρόνων γίνεσθαι τοῖς δαίμοσι τὰς τελευτάς· λέγει γὰρ ἐν τῷ τῆς Ναΐδος προσώπῳ, καὶ τὸν χρόνον αἰνιττόμενος·

Ἐννέα τοι ζώει γενεὰς λακέρυζα κορώνη,
Ἀνδρῶν ἡβώντων· ἔλαφος δέ τε τετρακόρωνος·

*Τρεῖς δ' ἐλάφους ὁ κόραξ γηράσκεται· αὐτὰρ ὁ φοῖνιξ*
*Ἐννέα τοὺς κόρακας· δέκα δ' ἡμεῖς τοὺς φοίνικας*
*Νύμφαι ἐϋπλόκαμοι, κοῦραι Διὸς αἰγιόχοιο.*

*τοῦτον τὸν χρόνον εἰς πολὺ πλῆθος ἀριθμοῦ συνάγουσιν οἱ μὴ καλῶς δεχόμενοι τὴν γενεάν. ἔστι γὰρ ἐνιαυτός· ὥςτε γίνεσθαι τὸ σύμπαν ἐννεακισχίλια ἔτη καὶ ἑπτακόσια καὶ εἴκοσι τῆς τῶν δαιμόνων ζωῆς. ἔλαττον μὲν οὖν νομίζουσιν οἱ πολλοὶ τῶν μαθηματικῶν, πλέον δ' οὐδὲ Πίνδαρος εἴρηκεν, εἰπὼν τὰς νύμφας ζῆν ἰσοδένδρου τέκμωρ αἰῶνος λαχούσας, διὸ καὶ καλεῖν αὐτὰς ἁμαδρυάδας. ἔτι δ' αὐτοῦ λέγοντος, Δημήτριος ὑπολαβών· Πῶς (ἔφη) λέγεις, ὦ Κλεόμβροτε, γενεὰν ἀνδρὸς εἰρῆσθαι τὸν ἐνιαυτόν; οὔτε γὰρ ἡβῶντος, οὔτε γηρῶντος, (ὡς ἀναγινώσκουσιν ἔνιοι) χρόνος ἀνθρωπίνου βίου τοσοῦτός ἐστιν. ἀλλ' οἱ μὲν ἡβῶντος ἀναγινώσκοντες, ἔτη τριάκοντα ποιοῦσι τὴν γενεὰν καθ' Ἡράκλειτον· ἐν ᾧ χρόνῳ γεννῶντα παρέχει τὸν ἐξ αὐτοῦ γεγεννημένον ὁ γεννήσας. οἱ δὲ γηρώντων πάλιν οὐχ ἡβώντων γράφοντες, ὀκτὼ καὶ ἑκατὸν ἔτη νέμουσι τῇ γενεᾷ. τὰ γὰρ πεντήκοντα καὶ τέσσαρα μεσούσης ὅρον ἀνθρωπίνης ζωῆς εἶναι, συγκείμενον ἔκ τε τῆς μονάδος καὶ τῶν πρώτων δυεῖν ἐπιπέδων καὶ δυεῖν τετραγώνων καὶ δυεῖν κύβων, οὓς καὶ Πλάτων ἀριθμοὺς ἔλαβεν ἐν τῇ ψυχογονίᾳ. καὶ ὁ λόγος ὅλος ᾐνίχθαι δοκεῖ τῷ Ἡσιόδῳ πρὸς τὴν ἐκπύρωσιν, ὁπηνίκα συνεκλείπειν τοῖς ὑγροῖς εἰκός ἐστι τὰς Νύμφας,*

— Αἵ τ' ἄλσεα καλὰ νέμονται
Καὶ πηγὰς ποταμῶν καὶ πείσεα ποιήεντα.

XII. Καὶ ὁ Κλεόμβροτος· Ἀκούω ταῦτ' (ἔφη) πολλῶν καὶ ὁρῶ τὴν Στωϊκὴν ἐκπύρωσιν, ὥςπερ τὰ Ἡρακλείτου καὶ Ὀρφέως ἐπινεμομένην ἔπη, οὕτω καὶ τὰ Ἡσιόδου καὶ συνεξαπατῶσαν. ἀλλ' οὔτε τοῦ κόσμου τὴν φθορὰν ἀνέχομαι λεγομένην, τά τ' ἀμήχανα καὶ ὧν ὑπόμνησις τῶν φωνῶν μάλιστα περὶ τὴν κορώνην καὶ τὴν ἔλαφον ἐκδύεσθαι ἐπὶ τοὺς ὑπερβάλλοντας. οὐκ ἐνιαυτὸς ἀρχὴν ἐν αὑτῷ καὶ τελευτὴν ὁμοῦ τι πάντων ὧν φέρουσιν ὧραι, γῆ δὲ φύει περιέχων, οὐδὲ ἀνθρώπων ἄπο τρόπου γενεὰ κέκληται. καὶ γὰρ ὑμεῖς ὁμολογεῖτε δήπου τὸν Ἡσίοδον ἀνθρωπίνην ζωὴν τὴν γενεὰν λέγειν. ἢ γὰρ οὐχ οὕτως; συνέφησεν ὁ Δημήτριος. Ἀλλὰ μὴν κἀκεῖνο δῆλον (ὁ Κλεόμβροτος εἶπεν) τὸ πολλάκις τὸ μετροῦν καὶ τὰ μετρούμενα τοῖς αὐτοῖς ὀνόμασι προςαγορεύεσθαι, κοτύλην καὶ χοίνικα καὶ ἀμφορέα, καὶ μέδιμνον. ὃν τρόπον οὖν τοῦ παντὸς ἀριθμοῦ τὴν μονάδα μέτρον οὖσαν ἐλάχιστον καὶ ἀρχὴν, ἀριθμὸν καλοῦμεν· οὕτως τὸν ἐνιαυτὸν, ᾧ πρώτῳ μετροῦμεν ἀνθρώπου βίον, ὁμωνύμως τῷ μετρουμένῳ γενεὰν ὠνόμασεν. καὶ γὰρ οὓς μὲν ἐκεῖνοι ποιοῦσιν ἀριθμοὺς, οὐδὲν ἔχουσι τῶν νενομισμένων ἐπιφανῶν καὶ λαμπρῶν ὡς ἐν ἀριθμοῖς· ὁ δὲ τῶν ἐνναχισχιλίων ἑπτακοσίων εἴκοσι τὴν γένεσιν ἔσχηκε, συνθέσει μὲν ἐκ τῶν ἀπὸ μονάδος τεσσάρων ἐφεξῆς τετράκις γενομένων τεσσάρων. τεσσαράκοντα γὰρ ἑκατέρως γίνεται. ταῦτα δὲ πεντάκις τριγωνισθέντα τὸν

ἐκκείμενον ἀριθμὸν παρέσχεν. Ἀλλὰ περὶ μὲν τούτων οὐκ ἀναγκαῖον ἡμᾶς Δημητρίῳ διαφέρεσθαι. καὶ γὰρ ἂν πλείων ὁ χρόνος ᾖ, κἂν ἐλάττων ᾖ, κἂν τεταγμένος, κἂν ἄτακτος, ἐν ᾧ μεταλλάττει δαίμονος ψυχὴ καὶ ἥρωος βίος, οὐδὲν ἧττον ἐφ᾽ ᾧ βούλεται δέδειξεται μετὰ μαρτύρων σοφῶν καὶ παλαιῶν, ὅτι φύσεις εἰσί τινες ὥςπερ ἐν μεθορίῳ θεῶν καὶ ἀνθρώπων, δεχόμεναι πάθη θνητὰ καὶ μεταβολὰς ἀναγκαίας, οὓς δαίμονας ὀρθῶς ἔχει κατὰ νόμον πατέρων ἡγουμένους καὶ ὀνομάζοντας σέβεσθαι.

XIII. Παράδειγμα δὲ τῷ λόγῳ Ξενοκράτης μὲν, ὁ Πλάτωνος ἑταῖρος, ἐποιήσατο τὸ τῶν τριγώνων, θείῳ μὲν ἀπεικάσας τὸ ἰσόπλευρον, θνητῷ δὲ τὸ σκαληνὸν, τὸ δ᾽ ἰσοσκελὲς δαιμονίῳ· τὸ μὲν γὰρ, ἴσον πάντη· τὸ δ᾽, ἄνισον πάντη, τὸ δὲ, πῇ μὲν ἴσον, πῇ δ᾽ ἄνισον, ὥςπερ ἡ δαιμόνων φύσις ἔχουσα καὶ πάθος θνητοῦ καὶ θεοῦ δύναμιν. ἡ δὲ φύσις αἰσθητὰς εἰκόνας ἐξέθηκε καὶ ὁμοιότητας ὁρωμένας, θεῶν μὲν ἥλιον καὶ ἄστρα, θνητῶν δὲ σέλα καὶ κομήτας καὶ διάττοντας. ὡς Εὐριπίδης εἴκασεν, ἐν οἷς εἶπεν·

Ὁ δ᾽ ἄρτι θάλλων σάρκα, διοπετὴς ὅπως
Ἀστὴρ ἀπέσβη, πνεῦμ᾽ ἀφεὶς εἰς αἰθέρα.

μικτὸν δὲ σῶμα καὶ μίμημα δαιμόνιον ὄντως τὴν σελήνην, τῷ τῇ τούτου τοῦ γένους συνᾴδειν περιφορᾷ, φθίσεις φαινομένας δεχομένην καὶ αὐξήσεις καὶ μεταβολὰς, ὁρῶντες, οἱ μὲν ἄστρον γεῶδες, οἱ δ᾽ ὀλυμπίαν γῆν, οἱ δὲ χθονίας ὁμοῦ καὶ οὐρανίας κλῆρον Ἑκάτης προςεῖπον. ὥςπερ οὖν εἰ τὸν ἀέρα τις ἀνέ-

λοι καὶ ὑποσπάσεις τὸν μεταξὺ γῆς καὶ σελήνης, τὴν ἑνότητα διαλύσει καὶ τὴν κοινωνίαν τοῦ παντὸς, ἐν μέσῳ κενῆς καὶ ἀσυνδέτου χώρας γενομένης, οὕτως οἱ δαιμόνων γένος μὴ ἀπολείποντες, ἀνεπίμικτα τὰ τῶν θεῶν καὶ ἀνθρώπων ποιοῦσι καὶ ἀσυνάλλακτα, τὴν ἑρμηνευτικὴν (ὡς Πλάτων ἔλεγεν) καὶ διακονικὴν ἀναιροῦντες φύσιν, ἢ πάντα φύρειν ἅμα καὶ ταράττειν ἀναγκάζουσιν ἡμᾶς τοῖς ἀνθρωπίνοις πάθεσι καὶ πράγμασι τὸν θεὸν ἐμβιβάζοντας, καὶ κατασπῶντας ἐπὶ τὰς χρείας, ὥςπερ αἱ Θετταλαὶ λέγονται τὴν σελήνην. ἀλλ' ἐκείνων μὲν ἐν γυναιξὶ τὸ πανοῦργον ἔσχε πίστιν, Ἀγλαονίκης τῆς Ἡγήτορος, ὥς φασιν, ἀστρολογικῆς γυναικὸς ἐν ἐκλείψει σελήνης ἀεὶ προςποιουμένης γοητεύειν καὶ καθαιρεῖν αὐτήν. ἡμεῖς δὲ μήτε μαντείας τινὰς ἀθειάστους εἶναι λέγοντας, ἢ τελετὰς καὶ ὀργιασμοὺς ἀμελουμένους ὑπὸ θεῶν, ἀκούωμεν· μήτ' αὖ πάλιν τὸν θεὸν ἐν τούτοις ἀναστρέφεσθαι καὶ παρεῖναι καὶ συμπραγματεύεσθαι δοξάζωμεν, ἀλλ' οἷς δίκαιόν ἐστι ταῦτα λειτουργοῖς θεῶν ἀνατιθέντες, ὥςπερ ὑπηρέταις καὶ γραμματεῦσι δαίμονας νομίζωμεν, ἐπισκόπους θεῶν ἱερῶν καὶ μυστηρίων ὀργιαστάς· ἄλλους δὲ τῶν ὑπερηφάνων καὶ μεγάλων τιμωροὺς ἀδικιῶν περιπολεῖν. τοὺς δὲ πάνυ σεμνῶς ὁ Ἡσίοδος ἁγνοὺς προςεῖπε πλουτοδότας, καὶ τοῦτο γέρας βασιλήϊον ἔχοντας, ὡς βασιλικοῦ τοῦ εὖ ποιεῖν ὄντος. εἰσὶ γὰρ ὡς ἐν ἀνθρώποις καὶ δαίμοσιν ἀρετῆς διαφοραὶ καὶ τοῦ παθητικοῦ καὶ ἀλόγου, τοῖς μὲν ἀσθενὲς καὶ ἀμαυρὸν ἔτι λείψανον, ὥςπερ περίττωμα, τοῖς δὲ πολὺ

καὶ δυςκατάσβεστον ἔνεστιν, ὧν ἴχνη καὶ σύμβολα πολλαχοῦ θυσίαι καὶ τελεταὶ καὶ μυθολογίαι σώζουσι καὶ διαφυλάττουσιν ἐνδιεσπαρμένα.

XIII. Περὶ μὲν οὖν τῶν μυστικῶν, ἐν οἷς τὰς μεγίστας ἐμφάσεις καὶ διαφάσεις λαβεῖν ἐστι τῆς περὶ δαιμόνων ἀληθείας, εὔστομά μοι κείσθω, καθ' Ἡρόδοτον· ἑορτὰς δὲ καὶ θυσίας ὥςπερ ἡμέρας ἀποφράδας καὶ σκυθρωπὰς, ἐν αἷς ὠμοφαγίαι καὶ διασπασμοὶ, νηστεῖαί τε καὶ κοπετοὶ, πολλαχοῦ δὲ πάλιν αἰσχρολογίαι πρὸς ἱεροῖς, μανίαι τε ἀλαλαί τε ὀρινόμεναι ῥιψαύχενι σὺν κλόνῳ, θεῶν μὲν οὐδενὶ, δαιμόνων δὲ φαύλων ἀποτροπῆς ἕνεκα φήσαιμ' ἂν τελεῖσθαι μειλίχια καὶ παραμύθια· καὶ τὰς πάλαι ποιουμένας ἀνθρωποθυσίας οὔτε θεοὺς ἀπαιτεῖν ἢ προςδέχεσθαι πιθανόν ἐστιν, οὔτε μάτην ἂν ἐδέχοντο βασιλεῖς καὶ στρατηγοὶ, παῖδας αὐτῶν ἐπιδιδόντες καὶ καταρχόμενοι καὶ σφάττοντες, ἀλλὰ χαλεπῶν καὶ δυστρόπων ὀργὰς καὶ βαρυθυμίας ἀφοσιούμενοι καὶ ἀποπιμπλάντες ἀλαστόρων· ἐνίων δὲ μανικοὺς καὶ τυραννικοὺς ἔρωτας, οὐ δυναμένων οὐδὲ βουλομένων σώμασι καὶ διὰ σωμάτων ὁμιλεῖν. ἀλλ' ὥςπερ Ἡρακλῆς Οἰχαλίαν ἐπολιόρκει διὰ παρθένον, οὕτως ἰσχυροὶ καὶ βίαιοι δαίμονες, ἐξαιτούμενοι ψυχὴν ἀνθρωπίνην περιεχομένην σώματι, καὶ διὰ σωμάτων ὁμιλεῖν οὐ δυνάμενοι ταύτῃ, λοιμούς τε πόλεσι καὶ γῆς ἀφορίας ἐπάγουσι, καὶ πολέμους καὶ στάσεις ταράττουσιν, ἄχρις οὗ λάβωσι καὶ τύχωσιν οὗ ἐρῶσιν. ἔνιοι δὲ τοὐναντίον, ὥςπερ ἐν Κρήτῃ χρόνον συχνὸν διάγων ἔγνων ἄτοπόν τινα τελου-

μένην ἑορτὴν, ἐν ᾗ καὶ εἴδωλον ἀνδρὸς ἀκέφαλον ἀναδεικνύουσι, καὶ λέγουσιν· ὡς οὗτος ἦν Μόλος ὁ Μηριόνου πατὴρ, νύμφῃ δὲ πρὸς βίαν συγγενόμενος, ἀκέφαλος εὑρεθείη.

XIV. Καὶ μὴν ὅσας ἔν τε μύθοις καὶ ὕμνοις λέγουσι καὶ ᾄδουσι, τοῦτο μὲν ἁρπαγὰς, τοῦτο δὲ πλάνας θεῶν, κρύψεις τε καὶ φυγὰς καὶ λατρείας, οὐ θεῶν εἰσιν, ἀλλὰ δαιμόνων παθήματα, καὶ τύχαι μνημονευόμεναι δι' ἀρετὴν καὶ δύναμιν αὐτῶν· καὶ οὔτ' Αἰσχύλος εἶπεν ἁγνόν τε Ἀπόλλω φυγάδα ἀπ' οὐρανοῦ θεὸν, οὔτε ὁ Σοφοκλέους Ἄδμητος,

Οὑμὸς δ' ἀλέκτωρ αὐτὸν ἦγε πρὸς μύλην.

πλεῖστον δὲ τῆς ἀληθείας διαμαρτάνουσιν οἱ Δελφῶν θεολόγοι, νομίζοντες ἐνταῦθά ποτε πρὸς ὄφιν τῷ θεῷ περὶ τοῦ χρηστηρίου μάχην γενέσθαι, καὶ ταῦτα ποιητὰς καὶ λογογράφους ἐν θεάτροις ἀγωνιζομένους λέγειν ἐῶντες, ὥσπερ ἐπίτηδες ἀντιμαρτυροῦντας ὧν δρῶσιν ἱεροῖς τοῖς ἁγιωτάτοις. Θαυμάσαντος δὲ τοῦ Φιλίππου (παρῆν γὰρ ὁ συγγραφεὺς) καὶ πυθομένου, τίσιν ἀντιμαρτυρεῖν ἱεροῖς οἴεται τοὺς ἀνταγωνιζομένους· Τούτοις (ἔφη) τοῖς περὶ τὸ χρηστήριον, οἷς ἄρτι τοὺς ἔξω Πυλῶν πάντας Ἕλληνας ἡ πόλις κατοργιάζουσα μέχρι Τεμπῶν ἐλήλακεν· ἥ τε γὰρ ἱσταμένη καλιὰς ἐνταῦθα περὶ τὴν ἅλω δι' ἐννέα ἐτῶν, οὐ φωλεώδης τοῦ δράκοντος χειὰ, ἀλλὰ μίμημα τυραννικῆς ἢ βασιλικῆς ἐστιν οἰκήσεως· ἥ τε μετὰ σιγῆς ἐπ' αὐτὴν διὰ τῆς ὀνομαζομένης Δολωνείας ἔφοδος, μὴ αἰόλα δὲ τὸν ἀμφιθαλῆ κόρον ἡμμέναις δᾳσὶν ἄγουσι, καὶ προσβάλλοντες τὸ πῦρ

τῇ καλιάδι, καὶ τὴν τράπεζαν ἀνατρέψαντες ἀνεπιστρεπτεὶ φεύγουσι διὰ τῶν θυρῶν τοῦ ἱεροῦ· καὶ τελευταῖον αἵ τε πλάναι καὶ ἡ λατρεία τοῦ παιδὸς, οἵ τε γινόμενοι περὶ τὰ Τέμπη καθαρμοὶ, μεγάλου τινὸς ἄγους καὶ τολμήματος ὑποψίαν ἔχουσι. παγγέλοιον γάρ ἐστιν, ὦ ἑταῖρε, τὸν Ἀπόλλω κτείναντα θηρίον, φεύγειν ἐπὶ πέρατα τῆς Ἑλλάδος ἁγνισμοῦ δεόμενον, εἶτ᾽ ἐκεῖ χοάς τινας χεῖσθαι καὶ δρᾷν, ἃ δρῶσιν ἄνθρωποι, μηνίματα δαιμόνων ἀφοσιούμενοι καὶ πραΰνοντες, οὓς ἀλάστορας καὶ παλαμναίους ὀνομάζουσιν, ὡς ἀλήστων τινῶν καὶ παλαιῶν μιασμάτων μνήμαις ἐπεξιόντας. ὃν δὲ ἤκουσα λόγον ἤδη περὶ τῆς φυγῆς ταύτης καὶ τῆς μεταστάσεως, ἄτοπος μέν ἐστι δεινῶς καὶ παράδοξος· εἰ δ᾽ ἀληθείας τι μετέχει, μὴ μικρὸν οἰώμεθα μηδὲ κοινὸν εἶναι τὸ πραχθὲν ἐν τοῖς τότε χρόνοις περὶ τὸ χρηστήριον. ἀλλ᾽ ἵνα μὴ τὸ Ἐμπεδόκλειον εἰπεῖν δόξω, κορυφὰς ἑτέρας ἑτέραις προσάπτων μύθων, μήτε λέγειν ἀτραπὸν μίαν, ἐάσατέ με τοῖς πρώτοις τὸ προσῆκον ἐπιθεῖναι τέλος· ἤδη γὰρ ἐπ᾽ αὐτῷ γεγόναμεν· καὶ τετολμήσθω μετὰ πολλοὺς εἰρῆσθαι καὶ ἡμῖν, ὅτι τοῖς περὶ τὰ μαντεῖα καὶ χρηστήρια τεταγμένοις δαιμονίοις ἐκλείπουσί τε κομιδῇ, συνεκλείπει τὰ τοιαῦτα, καὶ φυγόντων ἢ μεταστάντων ἀποβάλλει τὴν δύναμιν, εἶτα παρόντων αὐτῶν διὰ χρόνου πολλοῦ, καθάπερ ὄργανα φθέγγεται τῶν χρωμένων ἐπιστάντων καὶ παρόντων.

XVI. Ταῦτα τοῦ Κλεομβρότου διελθόντος, ὁ Ἡρακλέων· Οὐδεὶς μὲν (ἔφη) τῶν βεβήλων καὶ ἀμυή-

των καὶ περὶ θεῶν δόξας ἀσυγκράτους ἡμῖν ἐχόντων πάρεστιν· αὐτοὶ δὲ παραφυλάττωμεν αὐτοὺς, ὦ Φίλιππε, μὴ λάθωμεν ἀτόπους ὑποθέσεις καὶ μεγάλας τῷ λόγῳ διδόντες. Εὖ λέγεις, (ὁ Φίλιππος εἶπεν) ἀλλὰ τί μάλιστά σε δυσωπεῖ τῶν ὑπὸ Κλεομβρότου τιθεμένων; καὶ ὁ Ἡρακλέων· Τὸ μὲν ἐφεστάναι τοῖς χρηστηρίοις (εἶπε) μὴ θεοὺς, οἷς ἀπηλλάχθαι τῶν περὶ γῆν προςῆκόν ἐστιν, ἀλλὰ δαίμονας ὑπηρέτας θεῶν, οὔ δοκεῖ μοι κακῶς ἀξιοῦσθαι· τὸ δὲ τοῖς δαίμοσι τούτοις, μονονουχὶ ῥάγδην λαμβάνοντας ἐκ τῶν ἐπῶν τῶν Ἐμπεδοκλέους, ἁμαρτίας καὶ ἄτας καὶ πλάνας θεηλάτους ἐπιφέρειν, τελευτῶντας δὲ καὶ θανάτους ὥςπερ ἀνθρώπων ὑποτίθεσθαι, θρασύτερον ἡγοῦμαι καὶ βαρβαρικώτερον. ἠρώτησεν οὖν ὁ Κλεόμβροτος τὸν Φίλιππον, ὅστις εἴη καὶ ὁπόθεν ὁ νεανίας· πυθόμενος δὲ τοὔνομα καὶ τὴν πόλιν· Οὐδ᾽ αὐτοὺς ἡμᾶς (ἔφη) λανθάνομεν, ὦ Ἡρακλέων, ἐν λόγοις ἀτόποις γεγονότες· ἀλλ᾽ οὐκ ἔστι περὶ πραγμάτων μεγάλων μὴ μεγάλαις προςχρησάμενον ἀρχαῖς, ἐπὶ τὸ εἰκὸς τῇ δόξῃ προελθεῖν. σὺ δὲ σεαυτὸν λέληθας, ὃ δίδως ἀφαιρούμενος. ὁμολογεῖς γὰρ εἶναι δαίμονας· τῷ δὲ μὴ φαύλους ἀξιοῦν εἶναι μηδὲ θνητοὺς, οὐκέτι δαίμονας φυλάττεις. τίνι γὰρ τῶν θεῶν διαφέρουσιν, εἰ καὶ κατ᾽ οὐσίαν τὸ ἄφθαρτον, καὶ κατ᾽ ἀρετὴν τὸ ἀπαθὲς καὶ ἀναμάρτητον ἔχουσιν;

XVII. Πρὸς ταῦτα τοῦ Ἡρακλέωνος σιωπῇ διανοουμένου τι πρὸς αὐτόν· Ἀλλὰ φαύλους μὲν (ἔφη) δαίμονας οὐκ Ἐμπεδοκλῆς μόνον, ὦ Ἡρακλέων, ἀπέ-

λιπεν, ἀλλὰ καὶ Πλάτων καὶ Ξενοκράτης καὶ Χρύσιππος· ἔτι δὲ Δημόκριτος, εὐχόμενος εὐλόγχων εἰδώλων τυγχάνειν, δῆλος ἦν ἕτερα δυστράπελα καὶ μοχθηρὰς γινώσκων ἔχοντα προαιρέσεις τινὰς καὶ ὁρμάς. περὶ δὲ θανάτου τῶν τοιούτων ἀκήκοα λόγον ἀνδρὸς οὐκ ἄφρονος οὐδ' ἀλαζόνος. Αἰμιλιανοῦ γὰρ τοῦ ῥήτορος, οὗ καὶ ὑμῶν ἔνιοι διακηκόασιν, Ἐπιθέρσης ἦν πατὴρ, ἐμὸς πολίτης καὶ διδάσκαλος γραμματικῶν· οὗτος ἔφη, ποτὲ πλέων εἰς Ἰταλίαν ἐπιβῆναι νεὼς, ἐμπορικὰ χρήματα καὶ συχνοὺς ἐπιβάτας ἀγούσης· ἑσπέρας δὲ ἤδη περὶ τὰς Ἐχινάδας νήσους ἀποσβῆναι τὸ πνεῦμα, καὶ τὴν ναῦν διαφερομένην πλησίον γενέσθαι Παξῶν, ἐγρηγορέναι δὲ τοὺς πλείστους, πολλοὺς δὲ καὶ πίνειν ἔτι δεδειπνηκότας· ἐξαίφνης δὲ φωνὴν ἀπὸ τῆς νήσου τῶν Παξῶν ἀκουσθῆναι, Θαμοῦν τινὸς βοῇ καλοῦντος, ὥστε θαυμάζειν. ὁ δὲ Θαμοῦς Αἰγύπτιος ἦν κυβερνήτης, οὐδὲ τῶν ἐμπλεόντων γνώριμος πολλοῖς ἀπ' ὀνόματος. δὶς μὲν οὖν κληθέντα σιωπῆσαι, τὸ δὲ τρίτον ὑπακοῦσαι τῷ καλοῦντι· κἀκεῖνον ἐπιτείναντα τὴν φωνὴν εἰπεῖν, ὅτι Ὅταν γένῃ κατὰ τὸ Παλῶδες, ἀπάγγειλον, ὅτι Πὰν ὁ μέγας τέθνηκε. τοῦτ' ἀκούσαντας, ὁ Ἐπιθέρσης ἔφη, πάντας ἐκπλαγῆναι, καὶ διδόντας ἑαυτοῖς λόγον, εἴτε ποιῆσαι βέλτιον εἴη τὸ προστεταγμένον, εἴτε μὴ πολυπραγμονεῖν, ἀλλ' ἐᾶν. οὕτως γνῶναι τὸν Θαμοῦν, ἐὰν μὲν ᾖ πνεῦμα, παραπλεῖν ἡσυχίαν ἔχοντα, νηνεμίας δὲ καὶ γαλήνης περὶ τὸν τόπον γενομένης, ἀνειπεῖν ὃ ἤκουσεν. ὡς οὖν ἐγένετο κατὰ τὸ Παλῶδες, οὔτε πνεύματος ὄν-

τος, οὔτε κλύδωνος, ἐκ πρύμνης βλέποντα τὸν Θαμοῦν πρὸς τὴν γῆν εἰπεῖν, ὥσπερ ἤκουσεν, ὅτι ὁ μέγας Πὰν τέθνηκεν. οὐ φθῆναι δὲ παυσάμενον αὐτὸν, καὶ γενέσθαι μέγαν οὐχ ἑνὸς, ἀλλὰ πολλῶν στεναγμὸν, ἅμα θαυμασμῷ μεμιγμένον· οἷα δὲ πολλῶν ἀνθρώπων παρόντων, ταχὺ τὸν λόγον ἐν Ῥώμῃ σκεδασθῆναι, καὶ τὸν Θαμοῦν γενέσθαι μετάπεμπτον ὑπὸ Τιβερίου Καίσαρος. οὕτω δὲ πιστεῦσαι τῷ λόγῳ τὸν Τιβέριον, ὥστε διαπυνθάνεσθαι καὶ ζητεῖν περὶ τοῦ Πανός· εἰκάζειν δὲ τοὺς περὶ αὐτὸν φιλολόγους συχνοὺς ὄντας, τὸν ἐξ Ἑρμοῦ καὶ Πηνελόπης γεγενημένον. ὁ μὲν οὖν Φίλιππος εἶχε καὶ τῶν παρόντων ἐνίους μάρτυρας, Αἰμιλιανοῦ τοῦ γέροντος ἀκηκοότας.

XVIII. Ὁ δὲ Δημήτριος ἔφη, τῶν περὶ τὴν Βρεττανίαν νήσων εἶναι πολλὰς ἐρήμους σποράδας, ὧν ἐνίας δαιμόνων καὶ ἡρώων ὀνομάζεσθαι· πλεῦσαι δὲ αὐτὸς ἱστορίας καὶ θέας ἕνεκα, πομπῇ τοῦ βασιλέως, εἰς τὴν ἔγγιστα κειμένην τῶν ἐρήμων, ἔχουσαν οὐ πολλοὺς ἐποικοῦντας, ἱεροὺς δὲ καὶ ἀσύλους πάντας ὑπὸ τῶν Βρεττανῶν ὄντας· ἀφικομένου δ᾽ αὐτοῦ νεωστὶ, σύγχυσιν μεγάλην περὶ τὸν ἀέρα καὶ διοσημείας πολλὰς γενέσθαι, καὶ πνεύματα καταῤῥαγῆναι καὶ πεσεῖν πρηστῆρας. ἐπεὶ δ᾽ ἐλώφησε, λέγειν τοὺς νησιώτας, ὅτι τῶν κρεισσόνων τινὸς ἔκλειψις γέγονεν. ὡς γὰρ λύχνος ἀναπτόμενος, φάναι, δεινὸν οὐδὲν ἔχει, σβεννύμενος δὲ πολλοῖς λυπηρός ἐστιν, οὕτως αἱ μεγάλαι ψυχαὶ τὰς μὲν ἀναλάμψεις εὐμενεῖς καὶ ἀλύπους ἔχουσιν, αἱ δὲ σβέσεις αὐτῶν καὶ φθο-

ραὶ πολλάκις μὲν, ὡς νυνὶ, πνεύματα καὶ ζάλας τρέπουσι, πολλάκις δὲ λοιμικοῖς πάθεσιν ἀέρα φαρμάττουσιν. ἐκεῖ μέντοι μίαν εἶναι νῆσον, ἐν ᾗ τὸν Κρόνον κατεῖρχθαι φρουρούμενον ὑπὸ τοῦ Βριάρεω καθεύδοντα· δεσμὸν γὰρ αὐτῷ τὸν ὕπνον μεμηχανῆσθαι, πολλοὺς δὲ περὶ αὐτὸν εἶναι δαίμονας ὀπαδοὺς καὶ θεράποντας.

XIX. Ὑπολαβὼν δὲ ὁ Κλεόμβροτος· Ἔχω μὲν (ἔφη) καὶ ἐγὼ τοιαῦτα διελθεῖν. ἀρκεῖ δὲ πρὸς τὴν ὑπόθεσιν, τὸ μηδὲν ἐναντιοῦσθαι, μηδὲ κωλύειν ἔχειν οὕτως ταῦτα. καίτοι τοὺς Στωϊκοὺς (ἔφη) γινώσκομεν οὐ μόνον κατὰ δαιμόνων ἣν λέγω δόξαν ἔχοντας, ἀλλὰ καὶ θεῶν ὄντων τοσούτων τὸ πλῆθος, ἑνὶ χρωμένους ἀϊδίῳ καὶ ἀφθάρτῳ· τοὺς δ' ἄλλους καὶ γεγονέναι καὶ φθαρήσεσθαι νομίζοντας. Ἐπικουρείων δὲ χλευασμοὺς καὶ γέλωτας οὔτι φοβητέον, οἷς τολμῶσι χρῆσθαι καὶ κατὰ τῆς προνοίας μῦθον αὐτὴν ἀποκαλοῦντες. ἡμεῖς δὲ τὴν ἀπειρίαν μῦθον εἶναι φαμὲν ἐν κόσμοις τοσούτοις, μηδένα λόγῳ θείῳ κυβερνώμενον ἔχουσαν, ἀλλὰ πάντας ἐκ ταυτομάτου καὶ γεγονότας καὶ συνισταμένους. εἰ δὲ χρὴ γελᾷν ἐν φιλοσοφίᾳ, τὰ εἴδωλα γελαστέον τὰ κωφὰ καὶ τυφλὰ καὶ ἄψυχα, ποῖ μένουσιν ἀπλέτους ἐτῶν περιόδους ἐπιφαινόμενα, καὶ περινοστοῦντα πάντῃ, τὰ μὲν ἔτι ζώντων, τὰ δὲ πάλαι κατακαέντων, ἢ καὶ κατασαπέντων ἀποῤῥυέντα, φλεδόνας καὶ σκιὰς ἕλκοντες εἰς φυσιολογίαν· ἂν δὲ φῇ τις, εἶναι δαίμονας οὐ φύσει μόνον, ἀλλὰ καὶ λόγοις, καὶ τὸ σώζει

σθαι καὶ διαμένειν πολὺν χρόνον ἔχοντας. δυσκολαίνοντας.

XX. Ῥηθέντων δὲ τούτων, ὁ Ἀμμώνιος· Ὀρθῶς (ἔφη) μοι δοκεῖ Θεόφραστος ἀποφήνασθαι· (τί γὰρ κωλύει φωνὴν δέξασθαι σεμνὴν καὶ φιλοσοφωτάτην) καὶ γὰρ ἀθετουμένη πολλὰ τῶν ἐνδεχομένων, ἀποδειχθῆναι δὲ μὴ δυναμένων ἀναιρεῖ, καὶ τιθεμένη, πολλὰ συνεφέλκεται τῶν ἀδυνάτων καὶ ἀνυπάρκτων. ὃ μέντοι μόνον ἀκήκοα τῶν Ἐπικουρείων λεγόντων πρὸς τοὺς εἰσαγομένους ὑπὸ Ἐμπεδοκλέους δαίμονας, ὡς οὐ δυνατόν ἐστι φαύλους καὶ ἁμαρτητικοὺς ὄντας, μακαρίους καὶ μακραίωνας εἶναι, πολλὴν τυφλότητα τῆς κακίας ἐχούσης, καὶ τὸ περιπτωτικὸν τοῖς ἀναιρετικοῖς, εὔηθές ἐστιν. οὕτω γὰρ Ἐπίκουρός τε χείρων Γοργίου φανεῖται τοῦ σοφιστοῦ, καὶ Μητρόδωρος Ἀλέξιδος τοῦ κωμῳδοποιοῦ. διπλάσιον γὰρ οὗτος ἔζησε τοῦ Μητροδώρου, Ἐπικούρου δ᾽ ἐκεῖνος πλέον, ἢ ἐπίτριτον. ἄλλως γὰρ ἰσχυρὸν ἀρετὴν καὶ κακίαν εἶναι ἀσθενὲς λέγομεν, οὐ πρὸς διαμονὴν καὶ διάλυσιν σώματος. ἐπεὶ καὶ τῶν ζώων πολλὰ μὲν δυσκίνητα καὶ νωθρὰ ταῖς ψυχαῖς ὄντα, πολλὰ δὲ ἀκόλαστα καὶ ἄτακτα, τῶν συνετῶν καὶ πανούργων χρόνους ζῇ μακροτέρους. ὅθεν οὐκ εὖ τῷ θεῷ τὴν ἀϊδιότητα ποιοῦσιν ἐκ φυλακῆς καὶ διακρούσεως τῶν ἀναιρετικῶν. ἔδει γὰρ ἐν τῇ φύσει τοῦ μακαρίου τὸ ἀπαθὲς καὶ ἄφθαρτον εἶναι, μηδεμιᾶς πραγματείας δεόμενον. ἀλλ᾽ ἴσως τὸ λέγειν πρὸς μὴ παρόντας, οὐκ εὔγνωμον φαίνεται. πάλιν οὖν ὁ Κλεόμβροτος ἡμῖν, ὃν ἄρτι περὶ τῆς

μεταστάσεως καὶ φυγῆς τῶν δαιμονίων ἀφῆκε λόγον, ἀναλαβεῖν δίκαιός ἐστι.

XXI. Καὶ ὁ Κλεόμβροτος· Ἀλλὰ θαυμάσαιμ᾽ ἄν, (εἶπεν) εἰ μὴ πολὺ φαίνεται τῶν εἰρημένων ἡμῖν ἀτοπώτερος. καίτοι δοκεῖ φυσιολογίας ἔχεσθαι, καὶ Πλάτων αὐτῷ παρέσχε τὸ ἐνδόσιμον, οὐχ ἁπλῶς ἀποφηνάμενος ἐκ δόξης ἀμαυρᾶς, καὶ ὑπόνοιαν ἐμβαλὼν αἰνιγματώδη μετ᾽ εὐλαβείας· ἀλλ᾽ ὅμως πολλὴ γέγονε κἀκείνου καταβόησις ὑπὸ τῶν ἄλλων φιλοσόφων. ἐπεὶ δὲ μύθων καὶ λόγων ἀναμεμιγμένων κρατὴρ ἐν μέσῳ πρόκειται, καί που τις ἐν εὐμενεστέροις ἀκροαταῖς ἐπιτυχὼν ὥςπερ νομίσματα ξενικὰ, τούτους δοκιμάσειε τοὺς λόγους, οὐκ ὀκνῶ χαρίζεσθαι βαρβάρου διήγησιν ἀνδρὸς, ὃν πλάναις πολλαῖς, καὶ μήνυτρα τελέσας μεγάλα περὶ τὴν ἐρυθρὰν θάλασσαν, ἀνθρώποις ἀνὰ πᾶν ἔτος ἅπαξ ἐντυγχάνοντα, τἄλλα δὲ συνόντα νύμφαις νομάσι καὶ δαίμοσιν, ὡς ἔφασκε, μόλις ἐξανευρὼν, ἔτυχον λόγου καὶ φιλοφροσύνης. κάλλιστος μὲν ἦν ὧν εἶδον ἀνθρώπων ὀφθῆναι, νόσου τε πάσης ἀπαθὴς διετέλει, καρπόν τινα πόας φαρμακώδη καὶ πικρὸν ἑκάστου μηνὸς ἅπαξ προσφερόμενος· γλώσσαις δὲ πολλαῖς ἤσκητο χρῆσθαι, πρὸς δ᾽ ἐμὲ τὸ πλεῖστον ἐδώριζεν, οὐ πόῤῥω μελῶν. φθεγγομένου δὲ, τὸν τόπον εὐωδία κατεῖχε, τοῦ στόματος ἥδιστον ἀποπνέοντος. ἡ μὲν οὖν ἄλλη μάθησις καὶ ἱστορία συνῆν αὐτῷ τὸν πάντα χρόνον· εἰς δὲ μαντικὴν ἐνεπνεῖτο μίαν ἡμέραν ἔτους ἑκάστου, καὶ προεθέσπιζε κατιὼν ἐπὶ θάλατταν, ἐπεφοίτων δὲ καὶ δυνάσται καὶ γραμματεῖς

βασιλέων, εἶτ' ἀπήεσαν. ἐκεῖνος οὖν τὴν μαντικὴν ἀνῆγεν εἰς δαίμονας· πλεῖστον δὲ Δελφῶν λόγον εἶχε, καὶ τῶν λεγομένων περὶ τὸν Διόνυσον ἐνταῦθα καὶ δρωμένων ἱερῶν, οὐδενὸς ἀνήκοος ἦν, ἀλλὰ κἀκεῖνα δαιμόνων ἔφασκεν εἶναι πάθη μεγάλα, καὶ ταῦτα δὴ περὶ Πύθωνα, τῷ δ' ἀποκτείναντι μήτ' ἐννέα ἐτῶν, μήτ' εἰς τὰ Τέμπη γενέσθαι τὴν φυγήν, ἀλλ' ἐκπεσόντα ἐλθεῖν εἰς ἕτερον κόσμον· ὕστερον δ' ἐκεῖθεν ἐνιαυτῶν μεγάλων ἐννέα περιόδοις ἁγνὸν γενόμενον, καὶ Φοῖβον ἀληθῶς, κατελθόντα τὸ χρηστήριον παραλαβεῖν, τέως ὑπὸ Θέμιδος φυλαττόμενον. οὕτως δ' ἔχειν καὶ τὰ Τυφωνικὰ καὶ τὰ Τιτανικά· δαιμόνων μάχας γεγονέναι πρὸς δαίμονας, εἶτα φυγὰς τῶν κρατηθέντων, ἢ δικαιώσεις ὑπὸ θεοῦ τῶν ἐξαμαρτόντων, οἷα Τυφὼν λέγεται περὶ Ὄσιριν ἐξαμαρτεῖν, καὶ Κρόνος περὶ Οὐρανόν, ὧν ἀμαυρότεραι γεγόνασιν αἱ τιμαί· ἢ καὶ παντάπασι μεταστάντων εἰς ἕτερον κόσμον· ἐπεὶ καὶ Σολύμους πυνθάνομαι τοὺς Λυκίων προσοίκους ἐν τοῖς μάλιστα τιμᾶν τὸν Κρόνον, ἐπεὶ δ' ἀποκτείνας τοὺς ἄρχοντας αὐτῶν, Ἄρσαλον καὶ Δρύον καὶ Τρωσοβιόν, ἔφυγε καὶ μετεχώρησεν ὁποιδήποτε, (τοῦτο γὰρ οὐκ ἔχουσιν εἰπεῖν) ἐκεῖνον μὲν ἀμεληθῆναι, τοὺς δὲ περὶ τὸν Ἄρσαλον σκληροὺς θεοὺς προσαγορεύεσθαι, καὶ τὰς κατάρας ἐπὶ τούτων ποιεῖσθαι δημοσίᾳ καὶ ἰδίᾳ Λυκίους. τούτοις μὲν οὖν ὅμοια πολλὰ λαβεῖν ἐστιν ἐκ τῶν θεολογουμένων. εἰ δὲ τοῖς νενομισμένοις τῶν θεῶν ὀνόμασι δαίμονάς τινας καλοῦμεν, οὐ θαυμαστέον, εἶπεν ὁ ξένος. ᾧ γὰρ ἕκαστος θεῷ

συνιστάσεται, καὶ παρ' οὗ δυνάμεως καὶ τιμῆς εἴληχεν, ἀπὸ τούτου φιλεῖ καλεῖσθαι. καὶ γὰρ ἡμῶν ὁ μέν τις ἐστὶ Δῖος, ὁ δὲ Ἀθηναῖος, ὁ δ' Ἀπολλώνιος, ἢ Διονύσιος, ἢ Ἑρμαῖος· ἀλλ' ἔνιοι μὲν οὖν ὀρθῶς κατὰ τύχην ἐκλήθησαν, οἱ δὲ πολλοὶ μηδὲν προσηκούσας, ἀλλ' ἐνηλλαγμένας ἐκτήσαντο θεῶν παρωνυμίας.

XXII. Σιωπήσαντος δὲ τοῦ Κλεομβρότου, πᾶσι μὲν ὁ λόγος ἐφάνη θαυμαστός. τοῦ δ' Ἡρακλέωνος πυθομένου πῇ ταῦτα προσήκει Πλάτωνι, καὶ πῶς ἐκεῖνος τὸ ἐνδόσιμον τῷ λόγῳ τούτῳ παρέσχεν, ὁ Κλεόμβροτος· Εὖ μνημονεύεις, (εἶπεν) ὅτι τὴν μὲν ἀπειρίαν αὐτόθεν ἀπέγνω τῶν κόσμων, περὶ δὲ πλήθους ὡρισμένου, διηπόρησε, καὶ μέχρι τῶν πέντε τοῖς ὑποτιθεμένοις κατὰ στοιχεῖον ἕνα κόσμον ἐπιχωρήσας τὸ εἰκός, αὐτὸς ἑαυτὸν ἐφ' ἑνὸς ἐτήρησεν. καὶ δοκεῖ τοῦτο Πλάτωνος ἴδιον εἶναι, τῶν ἄλλων σφόδρα φοβηθέντων τὸ πλῆθος, ὡς τοὺς ἐνὶ τὴν ὕλην μὴ ὁρίσαντας, ἀλλ' ἐκβάντας εὐθὺς ἀορίστου καὶ χαλεπῆς ἀπειρίας ὑπολαμβανούσης. Ὁ δὲ ξένος (ἔφην ἐγὼ) περὶ πλήθους κόσμων ὥριζεν, ἢ Πλάτων; ἢ, ὅτε συνεγένου τῷ ἀνδρὶ τούτῳ, οὐδὲ διεπειράθης; Ἀλλ' οὐκ ἔμελλον (εἶπεν ὁ Κλεόμβροτος) εἰ μηθὲν ἄλλο τῶν περὶ ταῦτα λιπαρὴς εἶναι καὶ πρόθυμος ἀκροατής, ἐνδιδόντος ἑαυτὸν ἵλεω καὶ παρέχοντος. ἔλεγε δὲ μήτ' ἀπείρους, μήθ' ἕνα, μήτε πέντε κόσμους, ἀλλὰ τρεῖς καὶ ὀγδοήκοντα καὶ ἑκατὸν εἶναι, συντεταγμένους εἰς σχῆμα τριγωνοειδές, οὗ πλευρὰν ἑκάστην ἑξήκοντα κόσμους ἔχειν· τριῶν δὲ τῶν λοι-

τῶν ἕκαστον ἱδρῦσθαι κατὰ γωνίαν, ἅπτεσθαι δὲ τοὺς ἐφεξῆς ἀλλήλων, ἀτρέμα περιϊόντας ὥσπερ ἐν χορείᾳ· τὸ δ' ἐντὸς ἐπίπεδον τοῦ τριγώνου, κοινὴν ἑστίαν εἶναι πάντων, καλεῖσθαι δὲ πεδίον ἀληθείας, ἐν ᾧ τοὺς λόγους καὶ τὰ εἴδη καὶ τὰ παραδείγματα τῶν γεγονότων καὶ γενησομένων ἀκίνητα κεῖσθαι, καὶ περὶ αὐτὰ τοῦ αἰῶνος ὄντος, οἷον ἀποῤῥοὴν ἐπὶ τοὺς κόσμους φέρεσθαι τὸν χρόνον. ὄψιν δὲ τούτων καὶ θέαν ψυχαῖς ἀνθρωπίναις ἅπαξ ἐν ἔτεσι μυρίοις ὑπάρχειν, ἄν γε εὖ βιώσωσι· καὶ τῶν ἐνταῦθα τελετῶν τὰς ἀρίστας, ἐκείνης ὄνειρον εἶναι τῆς ἐποπτείας καὶ τελετῆς. καὶ τοὺς λόγους ἀνέμνησεν, ἕνεκα τῶν ἐκεῖ φιλοσοφεῖσθαι καλῶν, ἢ μάτην περαίνεσθαι. ταῦτ' (ἔφη) περὶ τοῦτον μυθολογοῦντος ἤκουον ἀτεχνῶς, καθάπερ ἐν τελετῇ καὶ μυήσει, μηδεμίαν ἀπόδειξιν τοῦ λόγου μηδὲ πίστιν ἐπιφέροντος.

XXIII. Κἀγὼ τὸν Δημήτριον προσαγορεύσας, πῶς ἔχει (ἔφην) τὰ τῶν μνηστήρων ἔπη, τὸν Ὀδυσσέα θαυμασάντων τὸ τόξον μεταχειριζόμενον; ὑπομνησθέντος δὲ Δημητρίου, ταῦτ', ἔφην, ἐπέρχεται κἀμοὶ περὶ τοῦ ξένου εἰπεῖν· ἤ τις θηητὴρ καὶ ἐπίκλοπος ἔπλετο δογμάτων τε καὶ λόγων παντοδαπῶν, καὶ πολυπλανὴς ἐν γράμμασι, καὶ οὐ βάρβαρος, ἀλλ' Ἕλλην γένος ἦν, πολλῆς Ἑλληνίδος μούσης ἀνάπλεως. ἐλέγχει δ' αὐτὸν ὁ τῶν κόσμων ἀριθμὸς, οὐκ ὢν Αἰγύπτιος οὐδὲ Ἰνδὸς, ἀλλὰ Δωριεὺς ἀπὸ Σικελίας, ἀνδρὸς Ἱμεραίου τοὔνομα Πέτρωνος· αὐτοῦ μὲν ἐκείνου βιβλίδιον οὐκ ἀνέγνων, οὐδὲ οἶδα διασωζόμενον· Ἵππυς δὲ ὁ Ῥηγῖνος (οὗ μέμνηται Φανίας

ὁ Ῥηγῖνος) ἱστορεῖ δόξαν εἶναι ταύτην Πέτρωνος καὶ λόγον, ὡς ἑκατὸν καὶ ὀγδοήκοντα καὶ τρεῖς κόσμους ὄντας, ἁπτομένους δ' ἀλλήλων κατὰ στοιχεῖον· ὅ τι δὴ τοῦτ' ἐστὶ, κατὰ στοιχεῖον ἅπτεσθαι, μὴ προσδιασαφῶν, μηδ' ἄλλην τινὰ πιθανότητα προσάπτων. ὑπολαβὼν δὲ Δημήτριος· Τίς δ' ἂν (εἶπεν) ἐν τοιούτοις πράγμασιν εἴη πιθανότης, ὅπου καὶ Πλάτων οὐθὲν εἰπὼν εὔλογον οὐδ' εἰκὸς, οὕτως κατέβαλε τὸν λόγον; καὶ ὁ Ἡρακλέων· Ἀλλὰ μὴν ὑμῶν (ἔφη) τῶν γραμματικῶν ἀκούομεν εἰς Ὅμηρον ἀγόντων τὴν δόξαν, ὡς ἐκείνου τὸ πᾶν εἰς πέντε κόσμους διανέμοντος, οὐρανὸν, ὕδωρ, ἀέρα, γῆν, ὄλυμπον. ὧν τὰ μὲν δύο, κοινὰ καταλείπει· γῆν μὲν τοῦ κάτω παντὸς οὖσαν, ὄλυμπον δὲ τοῦ ἄνω παντός· οἱ δ' ἐν μέσῳ τρεῖς τοῖς τρισὶ θεοῖς ἀπεδόθησαν. οὕτω δὲ καὶ Πλάτων ἔοικε τὰ κάλλιστα καὶ πρῶτα σωμάτων εἴδη καὶ σχήματα συννέμων ταῖς τοῦ ὅλου διαφοραῖς, πέντε κόσμους καλεῖν, τὸν γῆς, τὸν ὕδατος, τὸν ἀέρος, τὸν πυρός· ἔσχατον δὲ τὸν περιέχοντα τούτους, τὸν τοῦ δωδεκαέδρου, πολύχυτον καὶ πολύτρεπτον, ᾧ μάλιστα δὴ ταῖς ψυχικαῖς περιόδοις καὶ κινήσεσι πρέπον σχῆμα καὶ συναρμόττον ἀπέδωκε. καὶ ὁ Δημήτριος· Ὅμηρον (ἔφη) τί κινοῦμεν ἐν τῷ παρόντι; μύθων γὰρ ἅλις. Πλάτων δὲ πολλοῦ δεῖ τὰς πέντε τοῦ κόσμου διαφορὰς πέντε κόσμους προσαγορεύειν· ἐν οἷς γε μάχεται τοῖς ἀπείρους κόσμους ὑποτιθεμένοις, αὐτῷ δή φησι δοκεῖν ἕνα τοῦτον εἶναι μονογενῆ τῷ θεῷ καὶ ἀγαπητὸν, ἐκ τοῦ σωματοειδοῦς παντὸς ὅλου καὶ τελείου

καὶ αὐτάρκη γεγενημένον. ὅθεν ἄν τις καὶ θαυμάσειεν, ὅτι τἀληθὲς εἰπὼν αὐτὸς ἑτέροις ἀπιθάνου καὶ λόγον οὐκ ἐχούσης ἀρχὴν παρέσχε δόξης. τὸ μὲν γὰρ ἕνα μὴ φυλάξαι κόσμον, εἶχεν ἁμωσγέπως ὑπόθεσιν τὴν τοῦ παντὸς ἀπειρίαν· τὸ δ' ἀφωρισμένως ποιῆσαι τοσούτους, καὶ μήτε πλείους τῶν πέντε, μήτ' ἐλάττους, κομιδῆ παράλογον καὶ πάσης πιθανότητος ἀπηρτημένον, εἰ μή τι σὺ λέγεις, ἔφη, πρὸς ἐμὲ βλέψας. κἀγώ· Δοκεῖ γάρ οὕτως, (ἔφην) ἀφέντας ἤδη τὸν περὶ χρηστηρίων λόγον, ὡς τέλος ἔχοντα, μεταλαμβάνειν ἕτερον τοσοῦτον; Οὐκ ἀφέντας (εἶπεν ὁ Δημήτριος) ἐκεῖνον, ἀλλὰ μὴ παρελθόντας τοῦτον ἀντιλαμβανόμενον ἡμῶν. οὐ γὰρ ἐνδιατρίψομεν, ἀλλ' ὅσον ἱστορῆσαι τὴν πιθανότητα θίγοντες αὐτοῦ, μέτιμεν ἐπὶ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν.

XXIV. Πρῶτον τοίνυν (ἔφην ἐγὼ) τὰ κωλύοντα ποιεῖν κόσμους ἀπείρους, οὐκ ἀπείργει πλείονας ἑνὸς ποιεῖν. καὶ γὰρ οἷόν τ' ἐστιν εἶναι καὶ μαντικὴν καὶ πρόνοιαν ἐν πλείοσι κόσμοις, καὶ τὸ μικροτάτην τύχην παρεμπίπτειν, τὰ δὲ πλεῖστα καὶ μέγιστα τάξιν λαμβάνειν πρὸς γένεσιν καὶ μεταβολὴν, ὧν οὐδὲν ἡ ἀπειρία δέχεσθαι πέφυκεν. ἔπειτα τῷ λόγῳ μᾶλλον ἕπεται τὸ τῷ θεῷ μὴ μονογενῆ μηδ' ἔρημον εἶναι τὸν κόσμον. ἀγαθὸς γὰρ ὢν τελέως, οὐδεμιᾶς ἀρετῆς ἐνδεής ἐστιν. ἥκιστα δὲ τῆς περὶ δικαιοσύνην καὶ φιλίαν· κάλλισται γὰρ αὗται καὶ θεοῖς πρέπουσαι. μάτην δ' οὐδὲν ἔχειν οὐδ' ἄχρηστον θεὸς πέφυκεν. εἰσὶν οὖν ἐκτὸς ἕτεροι θεοὶ καὶ κόσμοι, πρὸς οὓς χρῆται ταῖς κοινωνικαῖς ἀρεταῖς.

οὐδὲ γὰρ πρὸς αὐτὸν, οὐδὲ μέρος αὐτοῦ χρῆσίς ἐςι δικαιοσύνης, ἢ χάριτος, ἢ χρηστότητος, ἀλλὰ πρὸς ἄλλους. ὥστ' οὐκ εἰκὸς ἄφιλον, οὐδ' ἀγείτονα τόνδ', οὐδ' ἄμικτον ἐν ἀπείρῳ κενῷ τὸν κόσμον σαλεύειν, ἐπεὶ καὶ τὴν φύσιν ὁρῶμεν τὰ καθ' ἕκαστα γένεσιν καὶ εἴδεσιν οἷον ἀγγείοις ἢ περικαρπίοις σπέρματος περιέχουσαν. οὐδὲν γὰρ ἐν ἀριθμῷ τῶν ὄντων ἐςίν. οὐδὲ μὴν λόγος ὑπάρχει κοινὸς, οὐδὲ τυγχάνει τῆς τοιᾶσδε προςηγορίας, ὃ μὴ κοινῶς ποῖον, ἰδίως ἐςίν. ὁ δὲ κόσμος οὐ λέγεται κοινὸς εἶναι. ποῖοι δ' ὡς τοίνυν ποιός ἐστιν ἐκ διαφορᾶς τῆς πρὸς ἄλληλα συγγενὴς καὶ μονοειδὴς γεγονὼς τοιοῦτος. εἰ γὰρ οὔτε ἄνθρωπος εἷς, οὔτε ἵππος ἐν τῇ φύσει γέγονεν, οὔτε ἄστρον, οὔτε θεός, οὔτε δαίμων, τί κωλύει μηδὲ κόσμον ἕνα τὴν φύσιν ἔχειν, ἀλλὰ πλείονας; ὁ γὰρ λέγων, ὅτι καὶ γῆν μίαν ἔχει καὶ θάλατταν, ἐμφανές τι παρορᾷ τὸ τῶν ὁμοιομερῶν· τήν τε γὰρ γῆν εἰς ὁμώνυμα μέρη, καὶ τὴν θάλατταν ὡσαύτως διαιροῦμεν· τοῦ δὲ κόσμου μέρος οὐκ ἔτι κόσμος, ἀλλ' ἐκ διαφόρων φύσεων συνέστηκε.

XXV. Καὶ μὴν ὅ γε μάλιστα φοβηθέντες ἔνιοι καταναλίσκουσιν τὴν ὕλην εἰς τὸν κόσμον ἅπασαν, ὡς μηδὲν ὑπολειπόμενον ἐκτὸς ἐνστάσεσιν ἢ πληγαῖς διαταράττοι τὴν τοῦδε σύστασιν, οὐκ ὀρθῶς ἔδεισαν. πλειόνων γὰρ ὄντων κόσμων, ἰδίᾳ δ' ἑκάστου συνειληχότος οὐσίᾳ καὶ ὕλῃ μέτρον ὡρισμένον ἐχούσῃ καὶ πέρας, οὐδὲν ἄτακτον οὐδ' ἀκατακόσμητον, οἷον περίττωμα, λειφθήσεται προσπῖπτον ἔξωθεν. ὁ γὰρ περὶ ἕκαστον λόγος ἐγκρατὴς ὢν τῆς συννενε-

μηδαμῆς ὕλης, οὐδὲν ἔκφορον ἐάσει καὶ πλανώμενον ἐμπεσεῖν εἰς ἄλλον, οὐδ' εἰς ἑαυτὸν ἐξ ἄλλου· διὰ τὸ μήτε πλῆθος ἀόριστον καὶ ἄπειρον τὴν φύσιν ἔχειν, μήτε κίνησιν ἄλογον καὶ ἄτακτον. εἰ δὲ καί τις ἀποῤῥοὴ φέρεται πρὸς ἑτέρους ἀφ' ἑτέρων, ὁμόφυλον εἶναι καὶ προσηνῆ καὶ πᾶσιν οἰκείως ἐπιμιγνυμένην, ὥσπερ αἱ τῶν ἀστέρων αὐγαὶ καὶ συγκράσεις, αὐτούς τε τέρπεσθαι καθορῶντας ἀλλήλους εὐμενῶς, θεοῖς τε πολλοῖς καὶ ἀγαθοῖς καθ' ἕκαστον οὖσι, παρέχειν ἐπιμιξίας καὶ φιλοφροσύνας. ἀδύνατον γὰρ οὐθέν ἐστι τούτων, οὔτε μυθῶδες, οὔτε παράλογον· εἰ μὴ, νὴ Δία, τοῖς τοῦ Ἀριστοτέλους ὑπόψονταί τινες, ὡς φυσικὰς αἰτίας ἔχοντα. τῶν γὰρ σωμάτων ἑκάστου τόπον οἰκεῖον ἔχοντος, ὥς φησιν, ἀνάγκη τὴν γῆν πανταχόθεν ἐπὶ τὸ μέσον φέρεσθαι, καὶ τὸ ὕδωρ ἐπ' αὐτῆς διὰ βάρος ὑφιστάμενον τοῖς κουφοτέροις. ἂν οὖν πλείονες ὦσι κόσμοι, συμβήσεται τὴν γῆν πολλαχοῦ μὲν ἐπάνω τοῦ πυρὸς καὶ τοῦ ἀέρος κεῖσθαι, πολλαχοῦ δ' ὑποκάτω· καὶ τὸν ἀέρα καὶ τὸ ὕδωρ ὁμοίως, ποῖ μὲν ἐν ταῖς κατὰ φύσιν χώραις ὑπάρχειν, ποῖ δ' ἐν ταῖς παρὰ φύσιν. ὧν ἀδυνάτων ὄντων, ὡς οἴεται, μήτε δύο, μήτε πλείονας εἶναι κόσμους, ἀλλ' ἕνα τοῦτον ἐκ τῆς οὐσίας ἁπάσης συγκείμενον, ἱδρυμένον κατὰ φύσιν, ὡς προσήκει ταῖς τῶν σωμάτων διαφοραῖς.

XXVI. Ἀλλὰ καὶ ταῦτα πιθανῶς μᾶλλον, ἢ ἀληθῶς, εἴρηται. σκόπει δὲ οὕτως, (ἔφην) ὦ φίλε Δημήτριε. τῶν γὰρ σωμάτων τὰ μὲν ἐπὶ τὸ μέσον καὶ κάτω κινεῖσθαι λέγων, τὰ δ' ἀπὸ τοῦ μέσου καὶ

ἄνω, τὰ δὲ περὶ τὸ μέσον καὶ κύκλῳ, πρὸς τί λαμβάνει τὸ μέσον; οὐ δήπου πρὸς τὸ κενόν· οὐ γὰρ ἔχει κατ᾽ αὐτόν. καθ᾽ οὗ δ᾽ ἐστὶν, οὐκ ἔχει μέσον, ὥσπερ οὐδὲ πρῶτον, οὐδ᾽ ἔσχατον. πέρατα γὰρ ταῦτα. τὸ δὲ ἄπειρον, καὶ ἀπεράτωτον. εἰ δὲ καὶ βιάσαιτό τις αὐτὸν λόγῳ βίᾳ κινούμενον, ἄπειρον τολμῆσαι, τίς ἡ πρὸς τοῦτο γινομένη τῶν κινήσεων διαφορὰ τοῖς σώμασιν; οὔτε γὰρ ἐν τῷ κενῷ δύναμίς ἐστι τῶν σωμάτων, οὔτε τὰ σώματα προαίρεσιν ἔχει καὶ ὁρμὴν, ᾗ τοῦ μέσου γλίχεται, καὶ πρὸς τοῦτο συντείνει πανταχόθεν. ἀλλ᾽ ὅμως ἄπορόν ἐστιν ἀψύχων σωμάτων πρὸς ἀσώματον χωρεῖν καὶ ἀδιάφορον, ἢ φορὰν ἐξ αὐτῶν ἢ ὁλκὴν ὑπ᾽ ἐκείνης γινομένην νοῆσαι. λείπεται τοίνυν, τὸ μέσον οὐ τοπικῶς, ἀλλὰ σωματικῶς λέγεσθαι. τοῦδε γὰρ τοῦ κόσμου μίαν ἐκ πλειόνων σωμάτων καὶ ἀνομοίων ἑνότητα καὶ σύνταξιν ἔχοντος, αἱ διαφοραὶ τὰς κινήσεις ἄλλας πρὸς ἄλλα ποιοῦσιν ἐξ ἀνάγκης. δῆλον δὲ τῷ μετακοσμούμενα ταῖς οὐσίαις ἕκαστα καὶ τὰς χώρας ἅμα συμμεταβάλλειν. αἱ μὲν γὰρ διακρίσεις ἀπὸ τοῦ μέσου τὴν ὕλην αἰρομένην ἄνω, κύκλῳ διανέμουσιν· αἱ δὲ συγκρίσεις καὶ πυκνώσεις πιέζουσι κάτω πρὸς τὸ μέσον καὶ συνελαύνουσι.

XXVII. Περὶ ὧν οὐκ ἀναγκαῖον ἐνταῦθα πλείοσι λόγοις χρῆσθαι. ἣν γὰρ ἄν τις ὑποθῆται τῶν παθῶν τούτων καὶ τῶν μεταβολῶν αἰτίαν εἶναι δημιουργὸν, αὕτη συνέξει τὸν κόσμον ἕκαστον ἐν ἑαυτῷ. καὶ γὰρ γῆν καὶ θάλατταν ἕκαστος ἔχει κόσμων. ἔχει γὰρ καὶ μέσον ἕκαστος ἴδιον, καὶ πάθη σωμά-

τῶν, καὶ μεταβολάς, καὶ φύσιν, καὶ δύναμιν, ἣ σώζει κατὰ χώραν καὶ φυλάττει ἕκαστον. τὸ μὲν γὰρ ἐκτὸς εἴτ' οὐδέν ἐστιν, εἴτε κενὸν ἄπειρον, οὐ παρέχει μέσον, ὡς εἴρηται· πλειόνων δὲ κόσμων ὄντων, καθ' ἕκαστόν ἐστιν ἴδιον μέσον· ὥστε κίνησις ἰδία τοῖς μὲν ἐπὶ τοῦτο, τοῖς δ' ἀπὸ τούτου, τοῖς δὲ περὶ τοῦτο, καθάπερ αὐτοὶ διαιροῦσιν. ὁ δ' ἀξιῶν, πολλῶν μέσων ὄντων, ἐφ' ἓν μόνον ὠθεῖσθαι τὰ βάρη πανταχόθεν, οὐθὲν διαφέρει τοῦ, πολλῶν ὄντων ἀνθρώπων, ἀξιοῦντος εἰς μίαν φλέβα τὸ πανταχόθεν αἷμα συῤῥεῖν, καὶ μιᾷ μήνιγγι τοὺς πάντων ἐγκεφάλους περιέχεσθαι, δεινὸν ἡγούμενος, εἰ τῶν φυσικῶν καὶ σωματικῶν οὐ μίαν ἅπαντα τὰ στερεὰ καὶ μίαν τὰ μανὰ χώραν ἐφέξει. καὶ γὰρ οὗτος ἄτοπός ἐσται, κἀκεῖνος, ἀγανακτῶν, εἰ τὰ ὅλα τοῖς αὐτῶν μέρεσι χρῆται, τὴν κατὰ φύσιν θέσιν ἔχουσιν ἐν ἑκάστῳ καὶ τάξιν. ἐκεῖνο γὰρ ἦν ἄτοπον, εἴ τις ἔλεγε κόσμον εἶναι τὸν ἐν αὐτῷ σελήνην ἔχοντα, καθάπερ ἄνθρωπον ἐν ταῖς πτέρναις τὸν ἐγκέφαλον φοροῦντα, καὶ τὴν καρδίαν ἐν τοῖς κροτάφοις. τὸ δὲ, πλείονας ποιοῦντας χωρὶς ἀλλήλων κόσμους, ἅμα τοῖς ὅλοις τὰ μέρη συναφορίζειν καὶ συνδιαιρεῖν οὐκ ἄτοπον. ἡ γὰρ ἐν ἑκάστῳ γῆ καὶ θάλασσα καὶ οὐρανὸς κείσεται κατὰ φύσιν ὡς προσήκει, τό τε ἄνω καὶ κάτω, καὶ κύκλῳ, καὶ μέσον, οὐ πρὸς ἄλλον, οὐδ' ἐκτὸς, ἀλλ' ἐν ἑαυτῷ καὶ πρὸς ἑαυτὸν ἔχει τῶν κόσμων ἕκαστος.

XXVIII. Ὃν μὲν γὰρ ἔξω τοῦ κόσμου λίθον ὑποτίθενταί τινες, οὔτε μονῆς εὐπόρως παρέχει νόη-

σιν, οὔτε κινήσεως. πῶς γὰρ ἢ μενεῖ βάρος ἔχων, ἢ κινήσεται πρὸς τὸν κόσμον, ὥςπερ τὰ λοιπὰ βάρη, μήτε μέρος ὢν αὐτοῦ, μήτε συντεταγμένος εἰς τὴν οὐσίαν; γῆν δ' ἐν ἑτέρῳ κόσμῳ περιεχομένην καὶ συνδεδεμένην οὐκ ἔδει διαπορεῖν, ὅπως οὐκ ἐνταῦθα μεταχωρεῖ διὰ βάρος ἀποῤῥαγεῖσα τοῦ ὅλου, τὴν φύσιν ὁρῶντας καὶ τὸν τόνον, ὑφ' οὗ συνέχεται τῶν μερῶν ἕκαστον. ἐπεὶ μὴ πρὸς τὸν κόσμον, ἀλλ' ἐκτὸς αὐτοῦ τὸ κάτω καὶ ἄνω λαμβάνοντες, ἐν ταῖς αὐταῖς ἀπορίαις Ἐπικούρῳ γενησόμεθα, κινοῦντι τὰς ἀτόμους ἁπάσας εἰς τοὺς ὑπὸ πόδας τόπους, ὥςπερ ἢ τοῦ κενοῦ πόδας ἔχοντος, ἢ τῆς ἀπειρίας ἐν αὐτῇ κάτω τε καὶ ἄνω, διανοῆσαι διδούσης. διὸ καὶ Χρύσιππον ἔστι θαυμάζειν, μᾶλλον δὲ ὅλως διαπορεῖν, ὅ τι δὴ παθὼν τὸν κόσμον ἐν μέσῳ φησὶν ἱδρύσθαι, καὶ τὴν οὐσίαν αὐτοῦ τὸν μέσον τόπον ἀϊδίως κατειληφυῖαν, οὐχ ἥκιστα τούτῳ συνείργεσθαι πρὸς τὴν διαμονὴν καὶ οἱονεὶ ἀφθαρσίαν. ταυτὶ γὰρ ἐν τῷ τετάρτῳ περὶ δυνατῶν λέγει, μέσον τε τοῦ ἀπείρου τόπον οὐκ ὀρθῶς ὀνειρώττων, ἀτοπωτέραν τε τῆς διαμονῆς τοῦ κόσμου τῷ ἀνυπάρκτῳ μέσῳ τὴν αἰτίαν ὑποθείς· καὶ ταῦτα πολλάκις εἰρηκὼς ἐν ἑτέροις, ὅτι ταῖς εἰς τὸ αὑτῆς μέσον ἡ οὐσία, καὶ ταῖς ἀπὸ τοῦ αὑτῆς μέσου διοικεῖται καὶ συνέχεται κινήσεσι.

XXIX. Καὶ μὴν τά γε ἄλλα τῶν Στωϊκῶν τίς ἂν φοβηθείη, πυνθανομένων, πῶς εἱμαρμένη μία μένει καὶ πρόνοια, καὶ οὐ πολλοὶ Δίες καὶ Ζῆνες ἔσονται, πλειόνων ὄντων κόσμων; πρῶτον μὲν γὰρ τί τὸ πολλοὺς εἶναι Δίας καὶ Ζῆνας ἄτοπόν ἐστι,

πολλῷ δήπουθεν ἔσται τὰ ἐκείνων ἀτοπώτερα. καὶ γὰρ ἡλίους καὶ σελήνας καὶ Ἀπόλλωνας καὶ Ἀρτέμιδας καὶ Ποσειδῶνας ἐν ἀπείροις κόσμων περιόδοις ἀπείρους ποιοῦσιν. ἔπειτα τίς ἀνάγκη πολλοὺς εἶναι Δίας, ἂν πλείονες ὦσι κόσμοι, καὶ μὴ καθ᾽ ἕκαστον ἄρχοντα πρῶτον καὶ ἡγεμόνα τοῦ ὅλου θεὸν ἔχοντα καὶ νοῦν καὶ λόγον, οἷος ὁ παρ᾽ ἡμῖν κύριος ἁπάντων καὶ πατὴρ ἐπονομαζόμενος; ἢ τί κωλύσει τῆς τοῦ Διὸς εἱμαρμένης καὶ προνοίας ὑπηκόους πάντας εἶναι, καὶ τοῦτον ἐφορᾶν ἐν μέρει καὶ κατευθύνειν, ἐνδιδόντα πᾶσιν ἀρχὰς καὶ σπέρματα καὶ λόγους τῶν περαινομένων; οὐ γὰρ ἐνταῦθα μὲν ἓν συνίσταται σῶμα πολλάκις ἐκ διεστώτων σωμάτων, οἷον ἐκκλησία καὶ στράτευμα, καὶ χορός· ὧν ἑκάστῳ καὶ ζῆν καὶ φρονεῖν καὶ μανθάνειν συμβέβηκεν, ὥς οἴεται Χρύσιππος· ἐν δὲ τῷ παντὶ δέκα κόσμους ἢ πεντήκοντα καὶ ἑκατὸν ὄντας ἑνὶ χρῆσθαι λόγῳ, καὶ πρὸς ἀρχὴν συντετάχθαι μίαν, ἀδύνατόν ἐστιν. ἀλλὰ καὶ πάνυ πρέπει θεοῖς ἡ τοιαύτη διάταξις. οὐ γὰρ ὡς σμήνους ἡγεμόνας δεῖ ποιεῖν ἀνεξόδους, οὐδὲ φρουρεῖν συγκλείσαντας τῇ ὕλῃ, μᾶλλον δὲ συμφράξαντας, ὥςπερ οὗτοι τοὺς θεοὺς ἀέρων ἕξεις ποιοῦντες, καὶ ὑδάτων καὶ πυρὸς δυνάμεις ἐγκεκραμένας ἡγούμενοι συγγεννῶσι τῷ κόσμῳ, καὶ πάλιν συγκατακαίουσιν, οὐκ ἀπολύτους, οὐδ᾽ ἐλευθέρους, οἷον ἡνιόχους ἢ κυβερνήτας, ὄντας· ἀλλ᾽ ὥςπερ ἀγάλματα προςηλοῦται καὶ συντήκεται βάσεσιν, οὕτως ἐγκεκλεισμένους εἰς τὸ σωματικὸν καὶ συγκαταγεγομφω-

μένους, κοινωνοῦντας αὐτῷ μέχρι φθορᾶς καὶ διαλύσεως ἁπάσης καὶ μεταβολῆς.

XXX. Ἐκεῖνος δ᾽, οἶμαι, σεμνότερος ὁ λόγος καὶ μεγαλοπρεπέστερος, ἀδεσπότους καὶ αὐτοκρατεῖς τοὺς θεοὺς ὄντας, ὥσπερ οἱ Τυνδαρίδαι τοῖς χειμαζομένοις βοηθοῦσιν, ἐπερχόμενοί τε μαλάσσοντες βίᾳ τὸν πόντον ὠκείας τε ἀνέμων ῥιπάς, οὐκ ἐμπλέοντες αὐτοὶ καὶ συγκινδυνεύοντες, ἀλλ᾽ ἄνωθεν ἐπιφαινόμενοι καὶ σώζοντες· οὕτως ἐπιέναι τῶν κόσμων ἄλλοτε ἄλλον, ἡδονῇ τε τῆς θέας ἀγομένους, καὶ τῇ φύσει συναπευθύνοντας ἕκαστον. ὁ μὲν γὰρ Ὁμηρικὸς Ζεὺς οὐ πάνυ πρόσω μετέθηκε τὴν ὄψιν ἀπὸ Τροίας ἐπὶ τὰ Θρᾴκια καὶ τοὺς περὶ τὸν Ἴστρον νομάδας· ὁ δ᾽ ἀληθινὸς ἔχει καλὰς καὶ πρεπούσας ἐν πλείοσι κόσμοις μεταβολάς, οὐχὶ κενὸν ἄπειρον ἔξω βλέπων, οὐδ᾽ ἑαυτὸν, ἄλλο δ᾽ οὐδὲν (ὡς ᾠήθησαν ἔνιοι) νοῶν, ἀλλ᾽ ἔργα τε θεῶν καὶ ἀνθρώπων πολλὰ, κινήσεις τε καὶ φορὰς ἄστρων ἐν περιόδοις καταθεώμενος. οὐ γὰρ ἀπεχθάνεται μεταβολαῖς, ἀλλὰ καὶ πάνυ χαίρει τὸ θεῖον, εἰ δεῖ τῶν φαινομένων τεκμαίρεσθαι ταῖς κατ᾽ οὐρανὸν ἐξαμείψεσι καὶ περιόδοις. ἡ μὲν οὖν ἀπειρία παντάπασιν ἀγνώμων καὶ ἄλογος καὶ μηδαμῇ προσιεμένη θεὸν, ἀλλὰ χρωμένη πρὸς πάντα τῷ κατὰ τύχην καὶ αὐτομάτῳ. ἡ δ᾽ ἐν ὡρισμένῳ πλήθει καὶ ἀριθμῷ κόσμων ἐπιμέλεια καὶ πρόνοια τῆς εἰς ἓν δεδυκυίας σῶμα καὶ προσηρτημένης ἑνὶ, καὶ τοῦτο μετασχηματιζούσης καὶ ἀναπλαττούσης ἀπειράκις, ἔμοιγε δοκεῖ μηδὲν ἔχειν ἀσεμνότερον μήτ᾽ ἐπιπονώτερον.

XXXI. Ἐγὼ μὲν οὖν τοσαῦτα εἰπὼν ἐπέσχον. ὁ δὲ Φίλιππος οὐ πολὺν χρόνον διαλιπών· Τὸ μὲν ἀληθὲς περὶ τούτων οὕτως ἔχειν ἢ ἑτέρως, οὐκ ἂν ἔγωγε διϊσχυρισαίμην· εἰ δὲ τὸν θεὸν ἐκβιβάζομεν ἑνὸς κόσμου, διὰ τί πέντε μόνων ποιοῦμεν, οὐ πλειόνων, δημιουργὸν, καὶ τίς ἐστι τοῦ ἀριθμοῦ τούτου πρὸς τὸ πλῆθος λόγος, ἥδιον ἄν μοι δοκῶ μαθεῖν, ἢ τῆς ἐνταῦθα τοῦ ΕΙ καθιερώσεως τὴν διάνοιαν. οὔτε γὰρ τρίγωνος ἢ τετράγωνος, οὔτε τέλειος ἢ κυβικὸς, οὔτ' ἄλλην τινὰ φαίνεται κομψότητα παρέχων τοῖς ἀγαπῶσι τὰ τοιαῦτα καὶ θαυμάζουσιν. ἡ δ' ἀπὸ τῶν στοιχείων ἔφοδος, ἣν αὐτὸς ὑπῃνίξατο, πάντη δυσληπτός ἐστι, καὶ μηδὲν ὑποφαίνουσα τῆς ἐκεῖνον ἐπισπασομένης πιθανότητος εἰπεῖν, ὡς εἰκός ἐστι πέντε σωμάτων ἰσογωνίων καὶ ἰσοπλεύρων καὶ περιεχομένων ἴσοις ἐπιπέδοις, ἐγγενομένων τῇ ὕλῃ, τοσούτους εὐθὺς ἐξ αὐτῶν ἀποτελεσθῆναι κόσμους.

XXXII. Καὶ μὴν (ἔφην ἐγὼ) δοκεῖ Θεόδωρος ὁ Σολεὺς οὐ φαύλως μετιέναι τὸν λόγον, ἐξηγούμενος τὰ μαθηματικὰ τοῦ Πλάτωνος. μέτεισι δὲ οὕτως. πυραμὶς, καὶ ὀκτάεδρον, καὶ εἰκοσάεδρον, καὶ δωδεκάεδρον, ἃ πρῶτα τίθεται Πλάτων, καλὰ μέν ἐστι πάντα, συμμετρίαις λόγων καὶ ἰσότησι, καὶ κρεῖσσον οὐδὲν αὐτῶν, οὐδ' ὅμοιον ἄλλο συνθεῖναι τῇ φύσει καὶ συναρμόσαι λέλειπται· μιᾶς γε μὴν πάντα συστάσεως οὐκ εἴληχεν, οὐδ' ὁμοίαν ἔχει τὴν γένεσιν, ἀλλὰ λεπτότατον μέν ἐστι καὶ μικρότατον ἡ πυραμὶς, μέγιστον δὲ καὶ πολυμερέστατον τὸ δωδεκάεδρον. τῶν δὲ λειπομένων δυεῖν τοῦ ὀκταέδρου, μεῖ-

ζον ἢ διπλάσιον πλήθει τριγώνων τὸ εἰκοσάεδρον. διὸ τὴν γένεσιν ἅμα πάντα λαμβάνειν ἐκ μιᾶς ὕλης ἀδύνατόν ἐστι. τὰ γὰρ λεπτὰ καὶ μικρὰ καὶ ταῖς κατασκευαῖς ἁπλούστερα, πρῶτα τῷ κινοῦντι καὶ διαπλάττοντι τὴν ὕλην ὑπακούειν ἀνάγκη καὶ συντελεῖσθαι καὶ προϋφίστασθαι τῶν ἁδρομερῶν καὶ πολυσωμάτων, καὶ τὴν σύστασιν ἐργωδεστέραν ἐχόντων, ἐξ ὧν τὸ δωδεκάεδρον. ἕπεται δὲ τούτῳ, τὸ μόνον εἶναι σῶμα πρῶτον τὴν πυραμίδα, τῶν δ' ἄλλων μηθὲν, ἀπολειπομένη τῇ φύσει τῆς γενέσεως. ἔστιν οὖν ἴαμα καὶ ταύτης τῆς ἀτοπίας ἡ τῆς ὕλης εἰς πέντε κόσμους διαίρεσις καὶ διάστασις. ὅπου μὲν γὰρ πυραμὶς (ὑπέστησε γὰρ πρῶτον) ὅπου δ' ὀκτάεδρον, ὅπου δ' εἰκοσάεδρον. ἐκ δὲ τοῦ προϋποστάντος ἐν ἑκάστῳ τὰ λοιπὰ τὴν γένεσιν ἕξει, κατὰ σύγκρισιν καὶ διάκρισιν μερῶν εἰς πάντα γινομένης πᾶσι μεταβολῆς, ὡς αὐτὸς ὁ *Πλάτων* ὑποδείκνυσι διὰ πάντων σχεδὸν ἐπεξιών· ἡμῖν δὲ βραχέως ἀρκέσει μαθεῖν. ἐπεὶ ἀὴρ μὲν σβεννυμένου πυρὸς ὑφίσταται, καὶ λεπτυνόμενος αὖθις ἐξ αὑτοῦ πῦρ ἀναδίδωσιν, ἐν τοῖς ἑκατέροις σπέρμασι τὰ πάθη δεῖ θεᾶσθαι καὶ τὰς μεταβολάς. σπέρματα δὲ πυρὸς ἡ πυραμὶς, ἐξ εἴκοσι καὶ τεσσάρων πρώτων τριγώνων. τὸ δ' ὀκτάεδρον ἀέρος ἐκ τεσσαράκοντα καὶ ὀκτὼ τῶν αὐτῶν γίνεται. γίνεται τοίνυν ἀέρος μὲν ἓν στοιχεῖον, ἐκ δυεῖν πυρὸς συγκραθέντων καὶ συστάντων· τὸ δ' ἀέρος αὖ κερματιζόμενον, εἰς δύο πυρὸς διακρίνεται σώματα, συνθλιβάμενον δ' αὖθις αὑτῷ καὶ συμπίπτον, εἰς ὕδατος ἰδέαν ἄπεισιν. ὥστε πανταχοῦ

χοῦ τὸ προϋφιστάμενον ἀεὶ, πᾶσι τοῖς ἄλλοις εὐπόρως παρέχειν τὴν γένεσιν ἐκ τῆς μεταβολῆς· καὶ μὴ μόνον ἓν εἶναι πρῶτον, ἑτέρου δ' ἐν ἑτέρῳ συστήματι κίνησιν ἀρχηγὸν καὶ προληπτικὴν ἐς γένεσιν ἔχοντος, πᾶσι τηρεῖσθαι τὴν ὁμωνυμίαν.

XXXIII. Καὶ ὁ Ἀμμώνιος· Ἀνδρικῶς μὲν (ἔφη) ταῦτα τῷ Θεοδώρῳ καὶ φιλοτίμως διαπεπόνηται. θαυμάσαιμι δ' ἂν, εἰ μὴ δόξειεν χρῆσθαι λήμμασιν ἀναιρετικοῖς ἀλλήλων. ἀξιοῖ γὰρ ἅμα πᾶσι τοῖς πέντε μὴ γενέσθαι τὴν σύστασιν, ἀλλὰ τὸ λεπτότατον ἀεὶ καὶ δι' ἐλάττονος πραγματείας συνιστάμενον προεκπίπτειν εἰς γένεσιν. εἶτα ὥσπερ ἀκόλουθον, οὐ μαχόμενον τούτῳ, τίθησι, τὸ μὴ πᾶσαν ὕλην πρῶτον εἰσφέρειν τὸ λεπτότατον καὶ ἁπλούστατον, ἀλλ' ἐνιαχῆ τὰ ἐμβριθῆ καὶ πολυμερῆ φθάνειν προανίσχοντα ταῖς γενέσεσιν ἐκ τῆς ὕλης. ἄνευ δὲ τούτου, πέντε σωμάτων πρώτων ὑποκειμένων, καὶ διὰ τοῦτο κόσμων λεγομένων εἶναι τοσούτων, πρὸς μόνα τὰ τέσσαρα τῇ πιθανότητι χρῆται, τὸν δὲ κύβον, ὥσπερ ἐν παιδιᾷ ψήφων, ὑφῄρηται, μήτ' αὐτὸν εἰς ἐκεῖνα μεταβάλλειν πεφυκότα, μήτ' ἐκείνοις παρέχειν μεταβολὴν εἰς ἑαυτὸν, ἅτε δὴ τῶν τριγώνων οὐχ ὁμογενῶν ὄντων. ἐκείνοις μὲν γὰρ ὑπόκειται κοινὸν ἐν πᾶσι τὸ ἡμιτρίγωνον, ἐν τούτῳ δὲ ἴδιον μόνῳ τὸ ἰσοσκελὲς, οὐ ποιοῦν πρὸς ἐκεῖνο σύννευσιν, οὔτε σύγκρασιν ἑνωτικήν. εἴπερ οὖν πέντε σωμάτων ὄντων καὶ πέντε κόσμων, ἐν ἑκάστῳ τὴν ἡγεμονίαν ἔχει τῆς γενέσεως, ὅπου γέγονεν ὁ κύβος πρῶτος, οὐθὲν ἔστι τῶν ἄλλων· εἰς οὐθὲν γὰρ ἐκείνων μεταβάλλειν πέ-

φυκεν. ἐᾷ γὰρ, ὅτι καὶ τὸ τοῦ καλουμένου δωδεκαέδρου στοιχεῖον ἄλλο ποιοῦσιν, οὐκ ἐκεῖνο τὸ σκαληνὸν, ἐξ οὗ τὴν πυραμίδα καὶ τὸ ὀκτάεδρον καὶ τὸ εἰκοσάεδρον ὁ Πλάτων συνίστησιν. ὥστε ἅμα γελῶν ὁ Ἀμμώνιος εἶπεν· Ἢ ταῦτά σοι διαλυτέον, ἢ ἴδιόν τι λεκτέον περὶ τῆς κοινῆς ἀπορίας.

XXXIV. Κἀγώ· Πιθανώτερον οὐθὲν ἔχω λέγειν ἔν γε τῷ παρόντι· βέλτιον δ' ἴσως ἐστὶν ἰδίας εὐθύνας ὑπέχειν δόξης ἢ ἀλλοτρίας. λέγω τοίνυν αὖθις ἐξ ἀρχῆς, ὅτι δυοῖν ὑποκειμένων φύσεων, τῆς μὲν αἰσθητῆς ἐν γενέσει καὶ φθορᾷ μεταβόλου καὶ φορητῆς ἄλλοτε ἄλλως, ἑτέρας δ' ἐν οὐσίᾳ νοητῆς ἀεὶ κατὰ ταυτὰ ὡσαύτως ἐχούσης, δεινόν ἐστιν, ὦ ἑταῖρε, τὴν μὲν νοητὴν διωρίσθαι καὶ διαφορὰν ἔχειν ἐν ἑαυτῇ, τὴν δὲ σωματικὴν καὶ παθητικὴν, εἰ μὴ μίαν τις ἀπολείποι σύμπεφυκυῖαν αὐτῇ καὶ συννεύουσαν, ἀλλὰ χωρίζει καὶ διΐστησιν, ἀγανακτεῖν καὶ δυσχεραίνειν. τὰ γὰρ μόνιμα καὶ θεῖα δήπου μᾶλλον αὐτῶν ἔχεσθαι προσήκει, καὶ φεύγειν ὡς ἄνυστόν ἐστι τομὴν ἅπασαν καὶ διάστασιν. ἀλλὰ καὶ τούτων ἡ τοῦ ἑτέρου δύναμις ἁπτομένη μείζονας ἐνείργασται τῶν κατὰ τόπον διαστάσεων τοῖς νοητοῖς τὰς κατὰ λόγον καὶ ἰδέαν ἀνομοιότητας. ὅθεν ἐνιστάμενος τοῖς ἓν τὸ πᾶν ἀποφαίνουσιν ὁ Πλάτων, τό τε ὂν εἶναί φησι καὶ τὸ ταυτὸν καὶ τὸ ἕτερον· ἐπὶ πᾶσι δὲ κίνησιν καὶ στάσιν. ὄντων οὖν πέντε ταύτων, οὐ θαυμαστὸν ἦν, εἰ τῶν πέντε σωματικῶν στοιχείων ἑκάτερον ἕκαστον ἑκάστου μίμημα τῇ φύσει καὶ εἴδωλόν ἐστι γεγενημένον, οὐκ ἄμικτον, οὐδ'

εἰλικρινές, ἀλλὰ τῷ μάλιστα μετέχειν ἕκαστον ἑκάστης δυνάμεως. ὁ μὲν γὰρ κύβος ἐμφανῶς στάσεως οἰκεῖόν ἐστι σῶμα, διὰ τὴν τῶν ἐπιπέδων ἀσφάλειαν καὶ βεβαιότητα· τῆς δὲ πυραμίδος πᾶς ἄν τις τὸ πυροειδὲς καὶ κινητικὸν ἐν τῇ λεπτότητι τῶν πλευρῶν καὶ τῇ τῶν γωνιῶν ὀξύτητι κατανοήσειεν· ἡ δὲ τοῦ δωδεκαέδρου φύσις, περιληπτικὴ τῶν ἄλλων σχημάτων οὖσα, τοῦ ὄντος εἰκὼν πρὸς πᾶν τὸ σωματικὸν γεγονέναι δόξειε· τῶν δὲ λοιπῶν δυεῖν, τὸ μὲν εἰκοσάεδρον τῆς τοῦ ἑτέρου, τὸ δ' ὀκτάεδρον μάλιστα τῆς ταυτοῦ μετείληχεν ἰδέας. διὸ τοῦτο μὲν ἀέρα συνεκτικὸν οὐσίας πάσης ἐν μιᾷ μορφῇ, θάτερον δὲ ὕδωρ ἐπὶ πλεῖστα τῷ κεράννυσθαι γένη ποιοτήτων τρεπόμενον παρεῖχεν. εἴπερ οὖν ἡ φύσις ἀπαιτεῖ τὴν ἰσονομίαν ἐν πᾶσι, καὶ κόσμους εἰκός ἐστι μήτε πλείους γεγονέναι μήτ' ἐλάττους τῶν παραδειγμάτων, ὅπως ἕκαστον ἑκάστῳ τάξιν ἡγεμονικὴν ἔχῃ καὶ δύναμιν, ὥσπερ ἐν ταῖς συστάσεσι τῶν σωμάτων ἔσχηκεν.

XXXV. Οὐ μὴν ἀλλὰ τοῦτο μὲν ἔστω παραμυθία τοῦ θαυμάζοντος, εἰ τὴν ἐν γενέσει καὶ μεταβολῇ φύσιν εἰς γένη τοσαῦτα διαιροῦμεν. ἐκεῖνο δ' ἤδη σκοπεῖτε κοινῇ προσέχοντες, ὅτι τῶν ἀνωτάτω ἀρχῶν, λέγω δὲ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος, ἡ μὲν ἀμορφίας πάσης στοιχεῖον οὖσα καὶ ἀταξίας, ἀπειρία κέκληται· ἡ δὲ τοῦ ἑνὸς φύσις, ὁρίζουσα καὶ καταλαμβάνουσα τῆς ἀπειρίας τὸ στενὸν καὶ ἄλογον καὶ ἀόριστον, ἔμμορφον παρέχεται, καὶ τὴν ἑπομένην περὶ τὰ αἰσθητὰ δείξει κατηγόρευσιν ἀμωσγε-

πως ὑπομένον καὶ δεχόμενον. αὗται δὲ πρῶτον αἱ ἀρχαὶ περὶ τὸν ἀριθμὸν ἐπιφαίνονται, μᾶλλον δὲ ὅλως ἀριθμὸς οὐκ ἔστι τὸ πλῆθος, ἂν μὴ καθάπερ εἶδος ὕλης τὸ ἐγγινόμενον ἐκ τῆς ἀπειρίας τοῦ ἀορίστου, πῆ μὲν πλεῖον, πῆ δὲ ἔλαττον ἀποτέμνηται. τότε γὰρ ἀριθμὸς γίνεται τῶν πληθῶν ἕκαστον, ὑπὸ τοῦ ἑνὸς ὁριζόμενον· ἐὰν δὲ ἀναιρεθῇ τὸ ἕν, πάλιν ἡ ἀόριστος δυὰς συγχέασα πᾶν ἄῤῥυθμον καὶ ἄπειρον καὶ ἄμετρον ἐποίησεν· ἐπεὶ δὲ τὸ εἶδος οὐκ ἀναίρεσίς ἐστι τῆς ὕλης, ἀλλὰ μορφὴ καὶ τάξις ὑποκειμένης, ἀνάγκη καὶ τῷ ἀριθμῷ τὰς ἀρχὰς ἐνυπάρχειν ἀμφοτέρας, ὅθεν ἡ πρώτη καὶ μεγίστη διαφορὰ καὶ ἀνομοιότης γέγονεν. ἔστι γὰρ ἡ μὲν ἀόριστος ἀρχὴ τοῦ ἀρτίου δημιουργός, ἡ δὲ βελτίων τοῦ περιττοῦ. πρῶτος δὲ τῶν ἀρτίων τὰ δύο, καὶ τὰ τρία τῶν περιττῶν, ἐξ ὧν τὰ πέντε, τῇ μὲν συνθέσει κοινὰ ὢν ἀμφοῖν ἀριθμός, τῇ δὲ δυνάμει γεγονὼς περιττός. ἔδει γάρ, εἰς πλείονα μέρη τοῦ αἰσθητοῦ καὶ σωματικοῦ μεριζομένου διὰ τὴν σύμφυσιν, ἀνάγκῃ τῆς ἑτερότητος, μηδὲ τὸν πρῶτον ἄρτιον γενέσθαι, μήτε τὸν πρῶτον περιττόν, ἀλλὰ τὸν τρίτον ἐκ τούτων ἀποτελούμενον, ὅπως ἀπ᾽ ἀμφοτέρων τῶν ἀρχῶν γένηται, καὶ τῆς τὸ ἄρτιον δημιουργούσης καὶ τῆς τὸ περιττόν. οὐ γὰρ ἦν οἷόν τε τῆς ἑτέρας ἀπαλλαγῆναι τὴν ἑτέραν· ἑκατέρα γὰρ ἀρχῆς φύσιν ἔχει καὶ δύναμιν. ἀμφοτέρων οὖν συνδυαζομένων, ἡ βελτίων κρατήσασα τῆς ἀοριστίας διαιρούσης, τὸ σωματικὸν ἔνστη· καὶ τῆς ὕλης ἐν ἀμφοτέροις διϊσταμένης μέσην τὴν μονάδα θεμένη, δίχα νεμηθῆ-

M 2

καὶ τὸ πᾶν οὐκ εἴασεν, ἀλλὰ πλῆθος μὲν γέγονε κόσμων ὑπὸ τῆς ἑτερότητος τοῦ ἀορίστου καὶ διαφόρως, περιττὸν δὲ πλῆθος ἡ ταυτοῦ καὶ ὡρισμένου δύναμις ἀπείργασται, περιττὸν δὲ τοιοῦτον, ὅτι πορρωτέρω τὴν φύσιν ἢ βέλτιον ἔχει, προελθεῖν οὐκ εἴασεν. εἰ μὲν γὰρ ἀμιγὲς καὶ καθαρὸν ἦν τὸ ἕν, οὐδὲ ὅλως εἶχεν ἡ ὕλη διάστασιν· ἐπεὶ δὲ τῷ διαιρετικῷ τῆς δυάδος μέμικται, τομὴν μὲν ἐδέξατο καὶ διαίρεσιν, ἐνταῦθα δ᾿ ἔστη τῷ περισσῷ τοῦ ἀρτίου κρατηθέντος.

XXXVI. Διὸ καὶ πεμπάσασθαι τὸ ἀριθμῆσαι τοῖς παλαιοῖς ἔθος ἦν καλεῖν. οἶμαι δὲ καὶ τὰ πάντα τῶν πέντε παρώνυμα γεγονέναι κατὰ λόγον, ἅτε δὴ τῆς πεντάδος ἐκ τῶν πρώτων ἀριθμῶν συνεστώσης. καὶ γὰρ οἱ μὲν ἄλλοι πολλαπλασιαζόμενοι πρὸς ἄλλους, εἰς ἕτερον αὐτῶν ἀριθμὸν ἐκβαίνουσιν· ἡ δὲ πεντάς, ἂν μὲν ἀρτιάκις λαμβάνηται, τὸν δέκα ποιεῖ τέλειον· ἐὰν δὲ περισσάκις, ἑαυτὸν πάλιν ἀποδίδωσιν. ἐῶ δ᾿, ὅτι πρῶτον μὲν ἐκ πρώτων δυεῖν τετραγώνων συνέστηκε τῆς τε μονάδος καὶ τῆς τετράδος ἡ πεντάς, πρώτη δὲ ἴσον δυναμένη τοῖς πρὸ αὐτῆς δυσὶ, τὸ κάλλιστον τῶν ὀρθογωνίων τριγώνων συνίστησι· πρώτη δὲ ποιεῖ τὸν ἡμιόλιον λόγον. οὐ γὰρ ἴσως οἰκεῖα ταῦτα τοῖς ὑποκειμένοις πράγμασιν. ἀλλ᾿ ἐκεῖνο μᾶλλον, τὸ φύσει διαιρετικὸν τοῦ ἀριθμοῦ καὶ τὸ πλεῖστα τούτῳ τὴν φύσιν διανέμειν. ἐν μὲν γὰρ ἡμῖν αὐτοῖς αἰσθήσεις πέντε, καὶ μέρη ψυχῆς, φυτικὸν, αἰσθητικὸν, ἐπιθυμητικὸν, θυμοειδὲς, λογιστικόν· καὶ δακτύλους ἑκατέρας χειρὸς τοσού-

τους· καὶ τὸ γονιμώτατον σπέρμα πενταχῆ σχιζόμενον. οὐ γὰρ ἱστόρηται γυνὴ πλείονα τεκοῦσα πέντε συχνὰ ταῖς αὐταῖς ὠδῖσι· καὶ τὴν Ῥέαν Αἰγύπτιοι μυθολογοῦσι πέντε θεοὺς τεκεῖν, αἰνιττόμενοι τὴν ἐκ μιᾶς ὕλης τῶν πέντε κόσμων γένεσιν. ἐν δὲ τῷ παντὶ πέντε μὲν ζώναις ὁ περὶ γῆν τόπος, πέντε δὲ κύκλοις ὁ οὐρανὸς διώρισται, δυσὶν ἀρκτικοῖς καὶ δυσὶν τροπικοῖς καὶ μέσῳ τῷ ἰσημερινῷ. πέντε δ᾽ αἱ τῶν πλανωμένων ἄστρων περίοδοι γεγόνασιν, ἡλίου καὶ φωσφόρου καὶ στίλβωνος ὁμοδρομούντων· ἐναρμόνιος δὲ καὶ ἡ τοῦ κόσμου σύνταξις, ὥσπερ ἀμέλει καὶ τὸ παρ᾽ ἡμῖν ἡρμοσμένον ἐν πέντε τετραχόρδων θέσεσιν ὁρᾶται τῶν ὑπατῶν, καὶ μέσων, καὶ συνημμένων, καὶ διεζευγμένων, καὶ ὑπερβολαίων· καὶ τὰ μελῳδούμενα διαστήματα πέντε, δίεσις, καὶ ἡμιτόνιον, καὶ τόνος, καὶ τριημιτόνιον, καὶ δίτονον. οὕτως ἡ φύσις ἔοικε τῷ πέντε ποιεῖν ἅπαντα χαίρειν μᾶλλον ἢ τῷ σφαιροειδῆ, καθάπερ Ἀριστοτέλης ἔλεγε.

XXXVII. Τί δῆτα (φήσαι τις ἂν) ὁ Πλάτων ἐπὶ τὰ πέντε σχήματα τὸν τῶν πέντε κόσμων ἀριθμὸν ἀνήνεγκεν, εἰπὼν, ὅτι τῇ πέμπτῃ συστάσει ὁ θεὸς ἐπὶ τὸ πᾶν κατεχρήσατο, ἐκεῖνο διαγράφων; εἶτα τὴν περὶ τοῦ πλήθους τῶν κόσμων ὑποθεὶς ἀπορίαν, πότερον ἕνα, ἢ πέντε αὐτοὺς ἀληθείᾳ πεφυκότας λέγειν προσήκει, δῆλός ἐστιν ἐντεῦθεν οἰόμενος ὡρμῆσθαι τὴν ὑπόνοιαν. εἴπερ οὖν δεῖ πρὸς τὴν ἐκείνου διάνοιαν ἀπάγειν τὸ εἰκὸς, σκοπῶμεν, ὅτι ταῖς τῶν σωμάτων καὶ σχημάτων ἐκείνων δια-

φοραῖς ἀνάγκη καὶ κινήσεων εὐθὺς ἕπεσθαι διαφορὰς, ὥσπερ αὐτὸς διδάσκει, τὸ διακρινόμενον ἢ συγκρινόμενον ἅμα τῆς οὐσίας τῇ ἑτεροιώσει καὶ τὸν τόπον μεταλλάττειν ἀποφαινόμενος. ἂν γὰρ ἐξ ἀέρος πῦρ γένηται, λυθέντος τοῦ ὀκταέδρου καὶ κερματισθέντος εἰς πυραμίδας, ἢ πάλιν ἀὴρ ἐκ πυρὸς, συνωσθέντος καὶ συνθλιβέντος εἰς ὀκτάεδρον, οὐ δυνατὸν μένειν, ὅπου πρότερον ἦν; ἀλλὰ φεύγει καὶ φέρεται πρὸς ἑτέραν χώραν ἐκβιαζόμενον καὶ μαχόμενον τοῖς ἐνισταμένοις καὶ κατεπείγουσιν. ἔτι δὲ μᾶλλον εἰκόνι τὸ συμβαῖνον ἐνδείκνυται, τοῖς ἐπὶ τῶν πλοκάνων καὶ ὀργάνων τῶν περὶ τὴν τοῦ σίτου κάθαρσιν σειομένοις καὶ ἀναλικμωμένοις ὁμοίως λέγων τὰ στοιχεῖα σείοντα τὴν ὕλην, ὑπ' ἐκείνης τε σειόμενα, προσχωρεῖν ἀεὶ τὰ ὅμοια τοῖς ὁμοίοις, ἄλλην τε χώραν ἄλλα ἴσχειν πρὶν ἐξ αὐτῶν γενέσθαι τὸ πᾶν διακοσμηθέν· οὕτως οὖν τότε τῆς ὕλης ἐχούσης ὡς ἔχειν τὸ πᾶν εἰκὸς, οὗ θεὸς ἄπεστιν, εὐθὺς αἱ πρῶται πέντε ποιότητες, ἰδίας ἔχουσαι ῥοπὰς, ἐφέροντο χωρὶς, οὐ παντάπασιν, οὐδ' εἰλικρινῶς ἀποκρινόμεναι, διὰ τὸ πάντων ἀναμεμιγμένον ἀεὶ τὰ κρατούμενα τοῖς ἐπικρατοῦσι κατὰ φύσιν ἕπεσθαι. διὸ δὴ ταῖς τῶν σωμάτων γένεσιν ἄλλων ἀλλαχῇ φερομένων ἰσαρίθμους μερίδας καὶ διαστάσεις ἐποίησαν· τὴν μὲν οὐ καθαροῦ πυρὸς, ἀλλὰ πυροειδῆ· τὴν δὲ, οὐκ ἀμιγοῦς αἰθέρος, ἀλλ' αἰθεροειδῆ· τὴν δ' οὐ γῆς αὐτῆς καθ' ἑαυτὴν, ἀλλὰ γεωειδῆ· μάλιστα δὲ καὶ τὴν ἀέρος κοίνωσιν τὴν ὕδατος, διὰ τὸ πολλῶν, ὥσπερ εἴρηται, τῶν ἄλλων φύλων ἀναπε-

πληρωμένα, ἀπελθεῖν. οὐ γὰρ ὁ θεὸς διέστησεν οὐδὲ διῴκισε τὴν οὐσίαν, ἀλλ᾽ ὑπ᾽ αὐτῆς διεστῶσαν αὐτὴν, καὶ φερομένην χωρὶς, ἐν ἀκοσμίαις τοσαύταις παραλαβὼν, ἔταξε καὶ συνήρμοσε δι᾽ ἀναλογίας καὶ μεσότητος· εἶθ᾽ ἑκάστῃ λόγον ἐγκαταστήσας ὥσπερ ἁρμοστὴν καὶ φύλακα, κόσμους ἐποίησε τοσούτους, ὅσα γένη τῶν πρώτων σωμάτων ὑπῆρχε. ταῦτα μὲν οὖν τῇ Πλάτωνος ἀνακείσθω χάριτι, δι᾽ Ἀμμώνιον· ἐγὼ δὲ περὶ μὲν ἀριθμοῦ κόσμων οὐκ ἄν ποτε διισχυρισαίμην, ὅτι τοσοῦτοι, τὴν δὲ πλείονας μὴν ἑνὸς, οὐ μὲν ἀπείρους, ἀλλ᾽ ὡρισμένους πλήθει τιθεμένην δόξαν, οὐδετέρας ἐκείνων ἀναλογωτέραν ἡγοῦμαι, τὸ φύσει τῆς ὕλης σκεδαστὸν καὶ μεριστὸν ὁρῶν, οὔτ᾽ ἐφ᾽ ἑνὸς μένον, οὔτ᾽ εἰς ἄπειρον ὑπὸ τοῦ λόγου βαδίζειν ἐώμενον. εἰ δ᾽ ἀλλαχόθι που, κἀνταῦθα τῆς ἀκαδημίας ὑπομιμνήσκοντες, ἑαυτοὺς, τὸ ἄγαν τῆς πίστεως ἀφαιρῶμεν, καὶ τὴν ἀσφάλειαν, ὥσπερ ἐν χωρίῳ σφαλερῷ, τῷ περὶ τῆς ἀπειρίας λόγῳ, μόνον διασώζωμεν.

XXXVIII. Ἐμοῦ δὲ ταῦτα εἰπόντος, ὁ Δημήτριος· Ὀρθῶς (ἔφη) Λαμπρίας παραινεῖ. πολλαῖς γὰρ οἱ θεοὶ μορφαῖς οὐ σοφισμάτων, (ὡς Εὐριπίδης φησὶν) ἀλλὰ πραγμάτων σφάλλουσιν ἡμᾶς, ὅταν ὡς ἐπιστάμενοι τολμῶμεν ἀποφαίνεσθαι περὶ τηλικούτων. ἀλλ᾽ ἀνοιστέος ὁ λόγος (ὡς αὐτὸς ἀνὴρ φησιν) ἐπὶ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν. τὸ γὰρ ἀφισταμένων καὶ ἀπολειπόντων τὰ χρηστήρια τῶν δαιμόνων, ὥσπερ ὄργανα τεχνιτῶν ἀργὰ καὶ ἄναυδα κεῖσθαι λεχθὲν, ἕτερον λόγον ἐγείρει τὸν περὶ τῆς αἰτίας μεθ᾽-

ζοντα καὶ δυνάμεως, ἢ χρώμενοι ποιοῦσι κατόχους τοῖς ἐνθουσιασμοῖς καὶ φαντασιαστικοὺς τοὺς προφήτας καὶ τὰς προφήτιδας. οὐ γὰρ οἶόν τι τὴν ἔκλειψιν αἰτιᾶσθαι τοῦ ἀπαυδᾶν τὰ μαντεῖα, μὴ πεισθέντας ὃν τρόπον ἐφεστῶτες αὐτοῖς καὶ παρόντες ἐνεργὰ καὶ λόγια ποιοῦσιν οἱ δαίμονες. ὑπολαβὼν δὲ ὁ Ἀμμώνιος· Οἴει γὰρ ἕτερόν τι τοὺς δαίμονας, εἶπεν, ἢ ψυχὰς ὄντας περιπολεῖν καθ᾽ Ἡσίοδον, ἠέρα ἑσσαμένους. ἐμοὶ μὲν γὰρ, ἣν ἄνθρωπος ἔχει διαφορὰν πρὸς ἄνθρωπον ὑποκρινόμενον τραγῳδίαν, ἢ κωμῳδίαν, ταύτην ἔχειν δοκεῖ ψυχὴ πρὸς ψυχὴν ἐνεσκευασμένην σῶμα παρόντι βίῳ πρόσφορον. οὐδὲν οὖν ἄλογον οὐδὲ θαυμαστὸν, εἰ ψυχαὶ ψυχαῖς ἐντυγχάνουσαι, φαντασίας ἐμποιοῦσι τοῦ μέλλοντος, ὥςπερ ἡμεῖς ἀλλήλοις οὐ πάντα διὰ φωνῆς, ἀλλὰ καὶ γράμμασι, καὶ θίγοντες μόνον καὶ προσβλέψαντες, πολλὰ καὶ μηνύομεν τῶν γεγονότων καὶ τῶν ἐσομένων προσημαίνομεν. εἰ μήτι σὺ λέγεις ἕτερον, ὦ Λαμπρία· καὶ γὰρ ἔναγχος ἧκέν τις φωνὴ πρὸς ἡμᾶς, ὡς σοῦ πολλὰ περὶ τούτων ἐν Λεβαδίᾳ ξένοις διαλεχθέντος, ὧν οὐδὲν ὁ διηγούμενος ἀκριβῶς διεμνημόνευσε. Μὴ θαυμάσῃς, (ἔφην ἐγὼ) πολλαὶ γὰρ ἅμα πράξεις διὰ μέσου καὶ ἀσχολίαι συντυγχάνουσαι, διὰ τὸ μαντεῖον εἶναι καὶ θυσίαν, τοὺς λόγους διεσπαρμένους ἡμῖν καὶ σποράδας ἐποίησαν. ἀλλὰ νῦν, ὁ Ἀμμώνιος ἔφη, καὶ σχολὴν ἄγοντας ἀκροατὰς ἔχεις, καὶ προθύμους τὰ μὲν ζητεῖν, τὰ δὲ μανθάνειν, ἔριδος ἐκποδὼν οὔσης καὶ φιλονεικίας ἁπάσης,

συγγνώμης δὲ παντὶ λόγῳ καὶ παῤῥησίας, ὡς ὁρᾷς, δεδομένης.

XXXIX. Ταῦτα δὴ καὶ τῶν ἄλλων συμπαρακαλούντων, μικρὸν ἐγὼ σιωπήσας· Καὶ μὴν ἀπὸ τύχης τινὸς, ὦ Ἀμμώνιε, τοῖς τότε λόγοις αὐτὸς ἀρχήν τινα καὶ πάροδον ἐνδέδωκας. εἰ γὰρ αἱ διακριθεῖσαι σώματος ἢ μὴ μετασχοῦσαι τὸ παράπαν ψυχαὶ δαίμονές εἰσι, κατὰ σε καὶ τὸν θεῖον Ἡσίοδον,

Ἁγνοὶ ἐπιχθόνιοι φύλακες θνητῶν ἀνθρώπων,

διὰ τί τὰς ἐν τοῖς σώμασι ψυχὰς ἐκείνης τῆς δυνάμεως ἀποστεροῦμεν, ᾗ τὰ μέλλοντα καὶ προγινώσκειν πεφύκασι καὶ προδηλοῦν οἱ δαίμονες; οὔτε γὰρ δύναμιν, οὔτε μέρος οὐθὲν ἐπιγίνεσθαι ταῖς ψυχαῖς, ὅταν ἀπολείπωσι τὸ σῶμα μὴ κεκτημέναις πρότερον εἰκός ἐστιν. ἀλλ᾽ ἀεὶ μὲν ἔχειν, ἔχειν δὲ φαυλότερα τῷ σώματι μεμιγμένας, καὶ τὰ μὲν ὅλως ἄδηλα καὶ κεκρυμμένα, τὰ δὲ ἀσθενῆ καὶ ἀμαυρὰ, καὶ τοῖς δι᾽ ὁμίχλης ὁρῶσιν, ἢ κινουμένοις ἐν ὑγρῷ παραπλησίως δύσεργα καὶ βραδέα καὶ πολλὴν ποθοῦντα θεραπείαν τοῦ οἰκείου καὶ ἀνάληψιν, ἀφαίρεσιν δὲ καὶ κάθαρσιν τοῦ κλέπτοντος. ὥσπερ γὰρ ὁ ἥλιος οὐχ ὅταν διαφύγῃ τὰ νέφη γίγνεται λαμπρὸς, ἀλλ᾽ ἔστι μὲν ἀεὶ, φαίνεται δ᾽ ἡμῖν ἐν ὁμίχλῃ δυσφαὴς καὶ ἀμαυρός· οὕτως ἡ ψυχὴ τὴν μαντικὴν οὐκ ἐπικτᾶται δύναμιν ἐκβᾶσα τοῦ σώματος, ὥσπερ νέφους, ἀλλ᾽ ἔχουσα καὶ νῦν, τυφλοῦται διὰ τὴν πρὸς τὸ θνητὸν ἀνάμιξιν αὐτῆς καὶ σύγχυσιν. οὐ δεῖ δὲ θαυμάζειν, οὐδ᾽ ἀπιστεῖν, ὁρῶντας, εἰ μηθὲν ἄλλο, τῆς ψυχῆς τὴν ἀντίστροφον τῇ μαντικῇ

δύναμιν, ἣν μνήμην καλοῦμεν, ἡλίκον ἔργον ἀποδείκνυται τὸ σώζειν τὰ παρῳχημένα καὶ φυλάττειν, μᾶλλον δὲ ὄντα. τῶν γὰρ γεγονότων οὐδέν ἐστιν, οὐδ' ὑφέστηκεν, ἀλλ' ἅμα γίνεται πάντα καὶ φθείρεται, καὶ πράξεις, καὶ λόγοι, καὶ παθήματα, τοῦ χρόνου, καθάπερ ῥεύματος, ἕκαστα παραφέροντος. αὕτη δὲ τῆς ψυχῆς ἡ δύναμις οὐκ οἶδ' ὅντινα τρόπον ἀντιλαμβανομένη, τοῖς μὴ παροῦσι φαντασίαν καὶ οὐσίαν περιτίθησιν. ὁ μὲν γὰρ Θεσσαλοῖς περὶ Ἄρνης δοθεὶς χρησμὸς ἐκέλευε φράζειν, κωφοῦ τ' ἀκοὴν, τυφλοῖό τε δέρξιν. ἡ δὲ μνήμη, καὶ κωφῶν πραγμάτων ἀκοὴ, καὶ τυφλῶν ὄψις ἡμῖν ἐστιν. ὅθεν (ὡς ἔφην) οὐκ ἔστι θαυμαστὸν, εἰ κρατοῦσα τῶν μηκέτ' ὄντων, προλαμβάνει πολλὰ τῶν μηδέπω γεγονότων· ταῦτα γὰρ αὐτῇ μᾶλλον προσήκει, καὶ τούτοις συμπαθής ἐστι· καὶ γὰρ ἐπιβάλλεται καὶ προτίθεται πρὸς τὰ μέλλοντα, καὶ παρῳχημένων καὶ τέλος ἐχόντων ἀπήλλακται, πλὴν τοῦ μνημονεύειν.

XL. Ταύτην οὖν ἔχουσαι τὴν δύναμιν ψυχαὶ σύμφυτον μὲν καὶ ἀμυδρὸν καὶ δυσφάνταστον, ὅμως ἐξανθοῦσι πολλάκις καὶ ἀναλαμβάνουσιν ἔν τε τοῖς ἐνυπνίοις καὶ περὶ τὰς τελετὰς ἔνιαι, καθαροῦ γινομένου τοῦ σώματος, ἤ τινα κρᾶσιν οἰκείαν πρὸς τοῦτο λαμβάνοντος, ἢ τὸ λογιστικὸν καὶ φροντιστικὸν ἀνίεσθαι καὶ ἀπολύεσθαι τῶν παρόντων, ἀλόγῳ καὶ φανταστικῷ τοῦ μέλλοντος ἐπιστρεφομένας. οὐ γὰρ, ὥς Εὐριπίδης φησὶ, μάντις ἄριστος, ὅστις εἰκάζει καλῶς, ἀλλ' οὗτος ὁ μὲν ἔμφρων μὲν ἀνὴρ καὶ τῷ νοῦν ἔχοντι τῆς ψυχῆς καὶ μετ' εἰκότος ἡγουμένῳ

καθ' ὁδὸν ἑπόμενος. τὸ δὲ μαντικὸν, ὥσπερ γραμματεῖον ἄγραφον καὶ ἄλογον καὶ ἀόριστον ἐξ αὑτοῦ, δεκτικὸν δὲ φαντασιῶν παθῶν καὶ προαισθήσεων, ἀσυλλογίστως ἅπτεται τοῦ μέλλοντος, ὅταν ἐκστῇ μάλιστα τοῦ παρόντος. ἐξίσταται δὲ κράσει καὶ διαθέσει τοῦ σώματος, ἐν μεταβολῇ γενόμενον, ὃν ἐνθουσιασμὸν καλοῦμεν. αὐτὸ μὲν οὖν ἐξ αὑτοῦ τὸ σῶμα τοιαύτην πολλάκις ἴσχει διάθεσιν· ἡ δὲ γῆ πολλῶν μὲν ἄλλων δυνάμεων πηγὰς ἀνίησιν ἀνθρώποις, τὰς μὲν, ἐκστατικὰς καὶ νοσώδεις καὶ θανατηφόρους, τὰς δὲ, χρηστὰς καὶ προσηνεῖς καὶ ὠφελίμους, ὡς δῆλαι γίνονται πεῖρα προςτυγχάνουσιν. τὸ δὲ μαντικὸν ῥεῦμα καὶ πνεῦμα θειότατόν ἐστι καὶ ὁσιώτατον, ἄν τε καθ' ἑαυτὸ δι' ἀέρος, ἄν τε μεθ' ὑγροῦ νάματος ἀφαιρῆται· καταμιγνύμενον γὰρ εἰς τὸ σῶμα, κρᾶσιν ἐμποιεῖ ταῖς ψυχαῖς ἀήθη καὶ ἄτοπον· ἧς τὴν ἰδιότητα χαλεπὸν εἰπεῖν σαφῶς, εἰκάσαι δὲ πολλαχῶς ὁ λόγος δίδωσι. θερμότητι γὰρ καὶ διαχύσει πόρους τινὰς ἀνοίγειν φανταστικοὺς τοῦ μέλλοντος, εἰκός ἐστιν, ὡς οἶνος ἀναθυμιαθεὶς ἕτερα πολλὰ κινήματα καὶ λόγους ἀποκειμένους καὶ λανθάνοντας ἀποκαλύπτει. τὸ γὰρ βακχεύσιμον καὶ τὸ μανιῶδες μαντευτικὴν πολλὴν ἔχει, κατ' Εὐριπίδην, ὅταν ἔνθερμος ἡ ψυχὴ γενομένη καὶ πυρώδης ἀπώσηται τὴν εὐλάβειαν, ἣν ἡ θνητὴ φρόνησις ἐπάγουσα πολλάκις ἀποστρέφει καὶ κατασβέννυσι τὸν ἐνθουσιασμόν.

XLI. Ἅμα δ' ἄν τις οὐκ ἀλόγως καὶ ξηρότητα φαίη μετὰ τῆς θερμότητος ἐγγινομένην, λεπτύνειν

τὸ πνεῦμα καὶ ποιεῖν αἰθερῶδες καὶ καθαρόν. αὕτη γὰρ ξηρὰ ψυχή, καθ' Ἡράκλειτον. ὑγρότης δὲ οὐ μόνον ὄψιν ἀμβλύνει καὶ ἀκοήν, ἀλλὰ καὶ κατόπτρων θίγουσα καὶ μίχος καὶ πρὸς ἀέρας ἀφαιρεῖ τὴν λαμπρότητα καὶ τὸ φέγγος. τοὐναντίον πάλιν οὐ περιψύξει τινὶ καὶ πυκνώσει τοῦ πνεύματος, οἷον βαφῇ σιδήρου τὸ προγνωστικὸν μόριον ἐγγίνεσθαι καὶ στομοῦσθαι τῆς ψυχῆς, οὐκ ἀδύνατόν ἐστι. καὶ μὴν ὡς κασσίτερος μανὸν ὄντα καὶ πολύπορον τὸν χαλκὸν ἐντακεὶς ἅμα μὲν ἔσφιγξε καὶ κατεπύκνωσεν, ἅμα δὲ λαμπρότερον ἀπέδειξε καὶ καθαρώτερον· οὕτως οὐδὲν ἀπέχει τὴν μαντικὴν ἀναθυμίασιν οἰκεῖόν τι ταῖς ψυχαῖς καὶ συγγενὲς ἔχουσαν, ἀναπληροῦν τὰ μανὰ καὶ συνέχειν ἐναρμόττουσαν. ἄλλα γὰρ ἄλλοις οἰκεῖα καὶ πρόσφορα, καθάπερ τῆς μὲν πορφύρας ὁ κύαμος, τῆς δὲ κόκκου τὸ νίτρον δοκεῖ τὴν βαφὴν ἄγειν μεμιγμένον. βύσσῳ δὲ γλαυκῆς κρόκου καταμίσγεται, ὡς Ἐμπεδοκλῆς εἴρηκε. περὶ δὲ τοῦ Κύδνου καὶ τῆς ἱερᾶς τοῦ Ἀπόλλωνος ἐν Ταρσῷ μαχαίρας, ὦ φίλε Δημήτριε, σοῦ λέγοντος ἠκούομεν, ὡς ὁ Κύδνος μᾶλλον ἐκκαθαίρει σίδηρον ἐκεῖνον, οὔτε ὕδωρ ἄλλο τὴν μάχαιραν, ἣ ἐκεῖνοι καθάπερ ἐν Ὀλυμπίᾳ τὴν τέφραν προσπλάττουσι τῷ βωμῷ καὶ περιπηγνύουσιν ἐκ τοῦ Ἀλφειοῦ παραχέοντες ὕδωρ, ἑτέρῳ δὲ πειρώμενοι ποταμῷ, οὐδενὶ δύνανται συναγαγεῖν οὐδὲ κολλῆσαι τὴν τέφραν.

XLII. Οὐ θαυμαστέον οὖν, εἰ πολλὰ τῆς γῆς ἄνω ῥεύματα μεθιείσης, ταῦτα μόνα τὰς ψυχὰς ἐνθουσιαστικῶς διατίθησι, καὶ φανταστικῶς τοῦ μέλ-

λόντος. ἀμαχεὶ δὲ καὶ τὰ τῆς φήμης συνᾴδει τῷ λόγῳ. καὶ γὰρ ἐνταῦθα τὴν περὶ τὸν τόπον δύναμιν ἐμφανῆ γενέσθαι πρῶτον ἱστοροῦσιν, νομέως τινὸς ἐμπεσόντος κατὰ τύχην, εἶτα φωνὰς ἀναφέροντος ἐνθουσιώδεις, ὧν τὸ μὲν πρῶτον οἱ παραγενόμενοι κατεφρόνουν, ὕστερον δὲ γενομένων, ὧν προεῖπεν ὁ ἄνθρωπος, ἐθαύμασαν. οἱ δὲ λογιώτατοι Δελφῶν καὶ τοὔνομα τοῦ ἀνθρώπου διαμνημονεύοντες Κορήταν λέγουσιν. ἐμοὶ δὲ δοκεῖ μάλιστα τοιαύτην πρὸς τὸ μαντικὸν πνεῦμα λαμβάνειν σύγκρασιν ψυχὴ καὶ σύμπηξιν, οἵαν πρὸς τὸ φῶς ἡ ὄψις ὁμοιοπαθὲς γινόμενον· ὀφθαλμοῦ τε γὰρ ἔχοντος τὴν ὁρατικὴν δύναμιν, οὐδὲν ἄνευ φωτὸς ἔργον ἐστίν· ψυχῆς τε τὸ μαντικὸν ὥςπερ ὄμμα δεῖται τοῦ συνεξάπτοντος οἰκείου καὶ συνεπιθήγοντος. ὅθεν οἱ μὲν πολλοὶ τῶν προγενεστέρων ἕνα καὶ τὸν αὐτὸν ἡγοῦντο θεὸν Ἀπόλλωνα καὶ ἥλιον· οἱ δὲ τὴν καλὴν καὶ σοφὴν ἐπιστάμενοι καὶ τιμῶντες ἀναλογίαν, ὅπερ σῶμα πρὸς ψυχὴν, ὄψις δὲ πρὸς νοῦν, φῶς δὲ πρὸς ἀλήθειάν ἐστι, τοῦτο τὴν ἡλίου δύναμιν εἴκαζον εἶναι πρὸς τὴν Ἀπόλλωνος φύσιν, ἔκγονον ἐκείνου καὶ τόκον ὄντος ἀεὶ γινόμενον, ἀεὶ τοῦτον ἀποφαίνοντες. ἐξάπτει γὰρ καὶ προάγεται καὶ συνεξορμᾷ τῆς αἰσθήσεως τὴν ὁρατικὴν δύναμιν οὗτος, ὡς τῆς ψυχῆς τὴν μαντικὴν ἐκεῖνος.

XLIII. Οἱ μέντοι δοξάζοντες ἕνα καὶ τὸν αὐτὸν θεὸν εἶναι, εἰκότως Ἀπόλλωνι καὶ γῇ κοινῶς ἀνέθεσαν τὸ χρηστήριον, οἰόμενοι τὴν διάθεσιν καὶ κρᾶσιν ἐμποιεῖν τῇ γῇ τὸν ἥλιον, ἀφ' ἧς ἐκφέρεσθαι τὰς μαν-

τινὰς ἀναθυμιάσεις. αὐτὴν μὲν οὖν τὴν γῆν ὥςπερ Ἡσίοδος, ἐνίων φιλοσόφων βέλτιον διανοηθεὶς, πάντων ἕδος ἀσφαλὲς προςεῖπεν, οὕτως καὶ ἡμεῖς καὶ ἀΐδιον καὶ ἄφθαρτον νομίζομεν· τῶν δὲ περὶ αὐτὴν δυνάμεων πῆ μὲν ἐκλείψεις, πῆ δὲ γενέσεις, ἀλλαχοῦ δὲ μεταστάσεις καὶ μεταῤῥοίας ἀλλαχόθεν εἰκός ἐςι συμβαίνειν, καὶ κυκλεῖν ἐν αὐτῇ τὰς τοιαύτας ἐν τῷ χρόνῳ παντὶ πολλάκις περιόδους, ὡς ἔστι τεκμαίρεσθαι τοῖς φαινομένοις. λιμνῶν τε γὰρ γεγόνασι καὶ ποταμῶν, ἔτι δὲ πλείονες ναμάτων θερμῶν, ὅπου μὲν ἐκλείψεις καὶ φθοραὶ παντάπασιν, ὅπου δ᾽ οἷον ἀποδράσεις καὶ καταδύσεις· εἶτα πάλιν ἐκεῖ διὰ χρόνου ἐπιφαινόμενα τοῖς αὐτοῖς, ἢ πλησίον ὑποῤῥέοντα· καὶ μετάλλων ἴσμεν ἐξαμαυρώσεις γεγονέναι καινὰς, ὡς τῶν περὶ τὴν Ἀττικὴν ἀργυρείων, καὶ τῆς ἐν Εὐβοίᾳ χαλκίτιδος, ἐξ ἧς ἐδημιουργεῖτο τὰ ψυχρήλατα τῶν ξιφῶν, ὡς Αἰσχύλος εἴρηκε·

Λαβὼν γὰρ αὐτόθακτον Εὐβοϊκὸν ξίφος·

τῆς τ᾽ ἐν Καρύστῳ πέτρας, ἣ χρόνος οὐ πολὺς, ἀφ᾽ οὗ πέπαυται μηρύματα λίθων μαλακὰ νηματώδη συνεκφέρουσα. καὶ γὰρ ὑμῶν ἑωρακέναι τινὰς οἴομαι χειρόμακτρα καὶ δίκτυα καὶ κεκρυφάλους ἐκεῖθεν, οὔτε πυρικαομένους, ἀλλ᾽ ὅσ᾽ ἂν ῥυπανθῇ χρωμένων, ἐμβαλόντες εἰς φλόγα, λαμπρὰ καὶ διαφανῆ κομίζονται· νῦν δ᾽ ἠφάνισται, καὶ μόλις οἷον ἶνες, ἢ θρίξες ἀραιαὶ διατρέχουσιν ἐν τοῖς μετάλλοις.

XLIV. Καὶ πάντων τούτων οἱ περὶ Ἀριστοτέλην δημιουργὸν ἐν τῇ γῇ τὴν ἀναθυμίασιν ἀποφαίνουσιν, ᾗ καὶ συνεκλείπειν καὶ συμμεθίστασθαι,

καὶ συνεξανθεῖν πάλιν τὰς τοιαύτας φύσεις ἀναγκαῖόν ἐστι. ταῦτα δὴ περὶ μαντικῶν πνευμάτων διανοητέον, ὡς οὐκ ἐχόντων ἀΐδιον οὐδὲ ἀγήρω τὴν δύναμιν, ἀλλ' ὑποκειμένην μεταβολαῖς. καὶ γὰρ ὄμβρους ὑπερβάλλοντας εἰκός ἐστι κατασβεννύναι καὶ κεραυνῶν ἐμπεσόντων διαφορεῖσθαι, μάλιστα δὲ τῆς γῆς ὑπὸ σάλου κινουμένης καὶ λαμβανούσης ἱζήματα καὶ σύγχυσιν, ἐν βάθει μεθίστασθαι τὰς ἀναθυμιάσεις, ἢ τυφλοῦσθαι τοπαράπαν, ὥςπερ ἐνταῦθα φασὶ παραμένειν τὰ περὶ τὸν μέγαν σεισμὸν, ὃς καὶ τὴν πόλιν ἀνέτρεψεν. ἐν δ' Ὀρχομενῷ λέγουσι λοιμοῦ γενομένου πολλοὺς μὲν ἀνθρώπων διαφθαρῆναι, τὸ δὲ τοῦ Τειρεσίου χρηστήριον ἐκλιπεῖν παντάπασι, καὶ μέχρι τοῦ νῦν ἀργὸν διαμένειν καὶ ἄναυδον. εἰ δὲ καὶ τοῖς περὶ Κιλικίαν ὅμοια συμβέβηκε παθεῖν, ὡς ἀκούομεν, οὐδεὶς ἂν ἡμῖν, ὦ Δημήτριε, σοῦ φράσειε σαφέστερον.

XLV. Καὶ ὁ Δημήτριος· Οὐκ οἶδα ἔγωγε τάδε νῦν. ἀποδημῶ γὰρ (ὡς ἴστε) πάμπολυν ἤδη χρόνον· ἔτι δ' ἤκμαζεν ἐμοῦ παρόντος καὶ τὸ Μόψου καὶ τὸ Ἀμφιλόχου μαντεῖον. ἔχω δ' εἰπεῖν τῷ Μόψου παραγενόμενος πρᾶγμα θαυμασιώτατον. ὁ γὰρ ἡγεμὼν τῆς Κιλικίας αὐτὸς μὲν ἀμφίδοξος ὢν ἔτι πρὸς τὰ θεῖα, δι' ἀσθένειαν ἀπιστίας οἶμαι· τἄλλα γὰρ ἦν ὑβριστὴς καὶ φαῦλος· ἔχων δὲ περὶ αὐτὸν Ἐπικουρείους τινὰς τὴν καλὴν δὴ, ὡς αὐτοὶ λέγουσι, φυσιολογίαν ἐνυβρίζοντας τοῖς τοιούτοις, εἰςέπεμψεν ἀπελεύθερον, οἷον εἰς πολεμίων κατάσκοπον ἐνσκευάσας, ἔχοντα κατεσφραγισμένην δέλτον, ἐν ᾗ τὸ

ἐρώτημα ἦν ἐγγεγραμμένον, οὐδενὸς εἰδότος. ἐννυχεύσας οὖν ὁ ἄνθρωπος (ὥςπερ ἔθος ἐστὶ) τῷ σηκῷ, καὶ κατακοιμηθεὶς ἀπήγγειλε μεθ᾽ ἡμέραν ἐνύπνιον τοιοῦτον. ἄνθρωπον ἔδοξεν αὐτῷ καλὸν ἐπιστάντα φθέγξασθαι τοσοῦτον· Μέλανα, καὶ πλέον οὐθὲν, ἀλλ᾽ εὐθὺς οἴχεσθαι· τοῦτο ἡμῖν μὲν ἄτοπον ἐφάνη καὶ πολλὴν ἀπορίαν παρέσχεν· ὁ δ᾽ ἡγεμὼν ἐκεῖνο ἐξεπλάγη καὶ προσεκύνησεν, καὶ τὴν δέλτον ἀνοίξας, ἐπεδείκνυεν ἐρώτημα τοιοῦτον γεγραμμένον· Πότερόν σοι λευκὸν, ἢ μέλανα θύσω ταῦρον; ὥςτε καὶ τοὺς Ἐπικουρείους διατραπῆναι, κἀκεῖνον αὐτὸν τήν τε θυσίαν ἐπιτελεῖν, καὶ σέβεσθαι διὰ τέλους τὸν Μόψον.

XLVI. Ὁ μὲν οὖν Δημήτριος ταῦτ᾽ εἰπὼν, ἐσιώπησεν· ἐγὼ δὲ βουλόμενος ὥςπερ τι κεφάλαιον ἐπιθεῖναι τῷ λόγῳ, πρὸς τὸν Φίλιππον αὖθις ἀπέβλεψα καὶ τὸν Ἀμμώνιον, ὁμοῦ καθημένους. ἔδοξαν οὖν μοι βούλεσθαί τι διαλεχθῆναι, καὶ πάλιν ἐπέσχον. ὁ δ᾽ Ἀμμώνιος· Ἔχει μὲν (ἔφη) καὶ Φίλιππος, ὦ Λαμπρία, περὶ τῶν εἰρημένων εἰπεῖν. οἴεται γὰρ, ὥςπερ οἱ πολλοὶ, καὶ αὐτὸς, οὐχ ἕτερον εἶναι τὸν Ἀπόλλωνα θεὸν, ἀλλὰ τῷ ἡλίῳ τὸν αὐτόν. ἡ δ᾽ ἐμὴ μείζων ἀπορία καὶ περὶ μειζόνων. ἄρτι γὰρ οὐκ οἶδ᾽ ὅπως τῷ λόγῳ παρεχωρήσαμεν ἐκ τῶν θεῶν τὴν μαντικὴν ἐς δαίμονας ἀτεχνῶς ἀποδιοπομπούμενοι. νυνὶ δέ μοι δοκοῦμεν αὐτοὺς πάλιν ἐκείνους ἐξωθεῖν καὶ ἀπελαύνειν ἐνθένδε τοῦ χρηστηρίου καὶ τοῦ τρίποδος, εἰς πνεύματα καὶ ἀτμοὺς καὶ ἀναθυμιάσεις τὴν τῆς μαντικῆς ἀρχὴν, μᾶλλον δὲ τὴν οὐσίαν αὐ-

τὴν καὶ τὴν δύναμιν ἀναλύοντες. αἱ γὰρ εἰρημέναι κράσεις καὶ θερμότητες αὗται καὶ στομώσεις, δοκῶ μᾶλλον ἀπάγουσι τὴν δόξαν ἀπὸ τῶν θεῶν, καί τινα τοιοῦτον ἐπιβάλλουσι τῆς αἰτίας ἐπιλογισμόν, οἷον ποιεῖ τὸν Κύκλωπα χρώμενον Εὐριπίδης·

Ἡ γῆ δ' ἀνάγκῃ, κἂν θέλῃ, κἂν μὴ θέλῃ,
Τίκτουσα ποίαν, τἀμὰ πιαίνει βοτά.

πλὴν ἐκεῖνος μὲν οὔ φησι θύειν θεοῖς, ἀλλ' ἑαυτῷ καὶ τῇ μεγίστῃ γαστρὶ δαιμόνων· ἡμεῖς δὲ καὶ θύομεν καὶ προσευχόμεθα, τί παθόντες ἐπὶ τοῖς χρηστηρίοις, εἰ δύναμιν μὲν ἐν ἑαυταῖς μαντικὴν αἱ ψυχαὶ κομίζουσιν, ἡ δὲ κινοῦσα ταύτην, ἀέρος τίς ἐστι κρᾶσις ἢ πνεύματος; αἱ δὲ τῶν ἱερείων καταστάσεις τί βούλονται, καὶ τὸ μὴ θεμιστεύειν, εἰ μὴ τὸ ἱερεῖον ὅλον ἐξ ἄκρων σφυρῶν ὑπότρομον γένηται καὶ κραδανθῇ κατασπενδόμενον; οὐ γὰρ ἀρκεῖ τὸ διασεῖσαι τὴν κεφαλήν, ὥσπερ ἐν ταῖς ἄλλαις θυσίαις, ἀλλὰ πᾶσι δεῖ τοῖς μέρεσι τὸν σάλον ὁμοῦ καὶ τὸν παλμὸν ἐγγενέσθαι μετὰ ψόφου τρομώδους. ἐὰν γὰρ μὴ τοῦτο γένηται, τὸ μαντεῖον οὔ φασι χρηματίζειν, οὐδ' εἰσάγουσι τὴν Πυθίαν. καίτοι θεῷ μὲν ἢ δαίμονι τὴν αἰτίαν τὴν πλείστην ἀνατιθέντας, εἰκός ἐστι ταῦτα ποιεῖν καὶ νομίζειν· ὡς δὲ σὺ λέγεις, οὐκ εἰκός. ἡ γὰρ ἀναθυμίασις, ἄν τε πτοῆται τὸ ἱερεῖον, ἄν τε μή, παροῦσα ποιήσει τὸν ἐνθουσιασμόν, καὶ διαθήσει τὴν ψυχὴν ὁμοίως, οὐ τῆς Πυθίας μόνον, ἀλλὰ κἂν τοῦ τυχόντος ἅψηται σώματος. ὅθεν εὔηθές ἐστι τὸ μιᾷ γυναικὶ πρὸς τὰ μαντεῖα χρῆσθαι, καὶ ταύτῃ παρέχειν πράγματα, φυλάττοντας ἁγνὴν

διὰ βίου καὶ καθαρεύουσαν. ὁ γὰρ Κορήτας ἐκεῖνος, ὃν Δελφοὶ λέγουσι πρῶτον ἐμπεσόντα τῆς περὶ τὸν τόπον δυνάμεως αἴσθησιν παρασχεῖν, οὐδὲν (οἶμαι) διέφερε τῶν ἄλλων αἰπόλων καὶ ποιμένων· εἴ γε δὴ τοῦτο μὴ μῦθός ἐστι, μηδὲ πλάσμα κενὸν, ὡς ἔγωγε ἡγοῦμαι· καὶ λογιζόμενος, πηλίκων ἀγαθῶν τουτὶ τὸ μαντεῖον αἴτιον γέγονε τοῖς Ἕλλησιν ἔν τε πολέμοις καὶ κτίσεσι πόλεων, ἔν τε λοιμοῖς καὶ καρπῶν ἀφορίαις, δεινὸν ἡγοῦμαι μὴ θεῷ καὶ προνοίᾳ τὴν εὕρεσιν αὐτοῦ καὶ ἀρχὴν, ἀλλὰ τῷ κατὰ τύχην καὶ αὐτομάτῳ ἀνατίθεσθαι. Πρὸς δὴ ταῦτ᾽, (εἶπεν) τὸν Λαμπρίαν βούλομαι διαλεχθῆναι· περιμένοις δέ; Πάνυ μὲν οὖν (ὁ Φίλιππος ἔφη) καὶ πάντες οὗτοι· πάντας γὰρ ἡμᾶς ὁ λόγος κεκίνηκε.

XLVII. Κἀγὼ πρὸς αὐτόν· Ἐμὲ δ᾽ (εἶπον) οὐ κεκίνηκεν, ὦ Φίλιππε, μόνον, ἀλλὰ καὶ συγκέχυκεν, εἰ ἐν τοσούτοις καὶ τηλικούτοις οὖσιν ὑμῖν, δοκῶ παρ᾽ ἡλικίαν τῷ πιθανῷ τοῦ λόγου καλλωπιζόμενος, ἀναιρεῖν τι καὶ κινεῖν τῶν ἀληθῶς καὶ θείως περὶ τοῦ θείου νενομισμένων. ἀπολογήσομαι δὲ, μάρτυρα καὶ σύνδικον ὁμοῦ Πλάτωνα παριστάμενος. ἐκεῖνος γὰρ ἀνὴρ Ἀναξαγόραν μὲν ἐμέμψατο τὸν παλαιὸν, ὅτι ταῖς φυσικαῖς ἄγαν ἐνδεδυμένος αἰτίαις, καὶ τὸ κατ᾽ ἀνάγκην τοῖς τῶν σωμάτων ἀποτελούμενον πάθεσι μετιὼν ἀεὶ καὶ διώκων, τὸ οὗ ἕνεκα καὶ ὑφ᾽ οὗ, βελτίονας αἰτίας οὔσας καὶ ἀρχὰς, ἀφῆκεν· αὐτὸς δὲ πρῶτος ἢ μάλιστα τῶν φιλοσόφων ἀμφοτέρας ἐπεξῆλθε, τῷ μὲν θεῷ τὴν ἀρχὴν ἀποδιδοὺς τῶν κατὰ λόγον ἐχόντων, οὐκ ἀποστερῶν δὲ

τὴν ὕλην τῶν ἀναγκαίων πρὸς τὸ γινόμενον αἰτιῶν, ἀλλὰ συνορῶν, ὅτι τῇδέ πη καὶ τὸ πᾶν αἰσθητὸν διακεκοσμημένον, οὐ καθαρὸν δὲ οὐδ' ἀμιγές ἐστιν, ἀλλὰ τῆς ὕλης συμπλεκομένης τῷ λόγῳ λαμβάνει τὴν γένεσιν. ὅρα δὲ πρῶτον ἐπὶ τῶν τεχνιτῶν· οἷον εὐθὺς ἡ περιβόητος ἐνταῦθα τοῦ κρατῆρος ἕδρα καὶ βάσις, ἣν Ἡρόδοτος ὑποκρητηρίδιον ὠνόμασεν, αἰτίας μὲν ἔχοντος ὑλικάς, πῦρ καὶ σίδηρον, καὶ μάλαξιν διὰ πυρός, καὶ ὕδατος βαφήν, ὧν ἄνευ γενέσθαι τὸ ἔργον οὐδεμία μηχανή· τὴν δὲ κυριωτέραν ἀρχὴν καὶ ταῦτα κινοῦσαν, καὶ διὰ τούτων ἐνεργοῦσαν, ἡ τέχνη καὶ ὁ λόγος τῷ ἔργῳ παρέσχε. καὶ μὴν τῶν γε μιμημάτων τούτων καὶ εἰδώλων ὁ ποιητὴς καὶ δημιουργὸς ἐπιγέγραπται·

Γράψε Πολύγνωτος, Θάσιος γένος, Ἀγλαοφῶντος
Υἱὸς περθομέναν Ἰλίου ἀκρόπολιν·

ὡς ὁρᾶται γράψας· ἄνευ δὲ φαρμάκων συντριβέντων καὶ συμφθαρέντων ἀλλήλοις, οὐδὲν ἦν οἷόν τε τοιαύτην διάθεσιν λαβεῖν καὶ ὄψιν. ἆρ' οὖν ὁ βουλόμενος ἅπτεσθαι τῆς ὑλικῆς ἀρχῆς, ζητῶν δὲ καὶ διδάσκων τὰ παθήματα καὶ τὰς μεταβολάς, ἃς ὤχρα μιχθεῖσα σινωπὶς ἴσχει, καὶ μέλανι μηλιάς, ἀφαιρεῖται τὴν τοῦ Πολυγνώτου δόξαν; ὁ δὲ τοῦ σιδήρου τὴν στόμωσιν ἐπεξιών, καὶ τὴν μάλαξιν, ὅτι τῷ μὲν πυρὶ χαλασθεὶς ἐνδίδωσι καὶ ὑπείκει τοῖς ἐλαύνουσι καὶ πλήττουσιν, ἐμπεσὼν δὲ πάλιν εἰς ὕδωρ ἀκραιφνές, καὶ τῇ ψυχρότητι διὰ τὴν ὑπὸ πυρὸς ἐγγενομένην ἁπαλότητα καὶ μανότητα, πιληθεὶς καὶ καταπυκνωθείς, εὐτονίαν ἴσχει καὶ πῆξιν, ἣν Ὅμηρος

σιδήρου κράτος εἶπεν, ἧττόν τι τῷ τεχνίτῃ τηρεῖ τὴν αἰτίαν τῆς τοῦ ἔργου γενέσεως; ἐγὼ μὲν οὐκ οἴομαι. καὶ γὰρ τῶν ἰατρικῶν δυνάμεων ἔνιοι τὰς ποιότητας ἐλέγχουσι, τὴν δ᾽ ἰατρικὴν οὐκ ἀναιροῦσιν. ὥςπερ ἀμέλει καὶ Πλάτων ὁρᾷν μὲν ἡμᾶς τῇ περὶ τὸν ὀφθαλμὸν αὐγῇ συγκεραννυμένῃ πρὸς τὸ τοῦ ἡλίου φῶς, ἀκούειν δὲ τῇ πληγῇ τοῦ ἀέρος ἀποφαινόμενος, οὐκ ἀνῄρει τὸ κατὰ λόγον καὶ πρόνοιαν ὁρατικοὺς, καὶ ἀκουστικοὺς γεγονέναι.

XLVIII. Καθόλου γὰρ, ὥς φημὶ, δύο πάσης γενέσεως αἰτίας ἐχούσης, οἱ μὲν σφόδρα παλαιοὶ θεολόγοι καὶ ποιηταὶ τῇ κρείττονι μόνῃ τὸν νοῦν προςέχειν εἵλοντο, τοῦτο δὴ τὸ κοινὸν ἐπιφθεγγόμενοι πᾶσι πράγμασι·

Ζεὺς ἀρχὴ, Ζεὺς μέσσα, Διὸς δ᾽ ἐκ πάντα πέλονται·

ταῖς δ᾽ ἀναγκαίαις καὶ φυσικαῖς οὐκ ἔτι προςῄεσαν αἰτίαις. οἱ δὲ νεώτεροι τούτων καὶ φυσικοὶ προςαγορευόμενοι τοὐναντίον ἐκείνοις τῆς καλῆς καὶ θείας ἀποπλανηθέντες ἀρχῆς, ἐν σώμασι καὶ πάθεσι σωμάτων, πληγαῖς τε καὶ μεταβολαῖς καὶ κράσεσι τίθενται τὸ σύμπαν. ὅθεν ἀμφοτέροις ὁ λόγος ἐνδεὴς τοῦ προςήκοντός ἐστι, τοῖς μὲν τὸ δι᾽ οὗ καὶ ὑφ᾽ οὗ, τοῖς δὲ τὸ ἐξ ὧν καὶ δι᾽ ὧν ἀγνοοῦσιν, ἢ παραλείπουσιν. ὁ δὲ πρῶτος ἐκφανῶς ἁψάμενος ἀμφοῖν, καὶ τῷ κατὰ λόγον ποιοῦντι καὶ κινοῦντι προςλαβὼν ἀναγκαίως τὸ ὑποκείμενον καὶ πάσχον, ἀπολύεται καὶ ὑπὲρ ἡμῶν πᾶσαν ὑποψίαν καὶ διαβολήν. οὐ γὰρ ἄθεον ποιοῦμεν οὐδ᾽ ἄλογον τὴν μαντικὴν,

ὕλην μὲν αὐτῇ τὴν ψυχὴν τοῦ ἀνθρώπου, τὸ δ' ἐνθουσιαστικὸν πνεῦμα καὶ τὴν ἀναθυμίασιν, οἷον ὄργανον ἢ πλῆκτρον ἀποδιδόντες· πρῶτον μὲν γὰρ ἡ γεννήσασα γῆ τὰς ἀναθυμιάσεις, ὁ δὲ πᾶσαν ἐνδιδοὺς κράσεως τῇ γῇ καὶ μεταβολῆς δύναμιν ἥλιος, νόμῳ πατέρων θεός ἐστιν ἡμῖν· ἔπειτα δαίμονας ἐπιστάτας καὶ περιπόλους καὶ φύλακας, οἷον ἁρμονίας, τῆς κράσεως ταύτης, τὰ μὲν ἀνιέντας ἐν καιρῷ, τὰ δ' ἐπιτείνοντας, καὶ τὸ ἄγαν ἐκστατικὸν αὐτῆς καὶ ταρακτικὸν ἀφαιροῦντας, τὸ δὲ κινητικὸν ἀλύπως καὶ ἀβλαβῶς τοῖς χρωμένοις καταμιγνύντας ἀπολείποντες, οὐδὲν ἄλογον ποιεῖν οὐδ' ἀδύνατον δόξωμεν.

XLIX. Οὐδέ γε προθυόμενοι καὶ καταστέφοντες ἱερεῖα καὶ κατασπένδοντες, ἐναντία τῷ λόγῳ τούτῳ πράττομεν. οἱ γὰρ ἱερεῖς καὶ ὅσιοι θύειν φασὶ τὸ ἱερεῖον καὶ κατασπένδειν καὶ τὴν κίνησιν αὐτοῦ καὶ τὸν τρόμον ἀποθεωρεῖν, ἑτέρου τινὸς τοῦθ' ἡμῖν, ἢ τοῦ θεμιστεύειν τὸν θεὸν λαμβάνοντες. δεῖ γὰρ τὸ θύσιμον τῷ τε σώματι καὶ τῇ ψυχῇ καθαρὸν εἶναι καὶ ἀσινὲς καὶ ἀδιάφθορον. μήνυτρα μὲν οὖν περὶ τὸ σῶμα κατιδεῖν, οὐ πάνυ χαλεπόν ἐστι· τὴν δὲ ψυχὴν δοκιμάζουσι, τοῖς μὲν ταύροις ἄλφιτα, τοῖς δὲ κάπροις ἐρεβίνθους παρατιθέντες· τὸ γὰρ μὴ γευσάμενον, ὑγιαίνειν οὐκ οἴονται· τὴν δ' αἶγα διελέγχειν τὸ ψυχρὸν ὕδωρ. οὐ γὰρ εἶναι ψυχῆς κατὰ φύσιν ἐχούσης τὸ πρὸς τὴν κατάσπεισιν ἀπαθὲς καὶ ἀκίνητον. ἐγὼ δέ, κἂν ᾖ βέβαιον, ὅτι σημεῖόν ἐστι τοῦ θεμιστεύειν τὸ σείσασθαι καὶ τοῦ μὴ θεμιστεύ-

ειν τοὐναντίον, οὐχ ὁρῶ τί συμβαίνει δυσχερὲς ἀπ' αὐτοῦ τοῖς εἰρημένοις. πᾶσα γὰρ δύναμις ᾧ πέφυκε σὺν καιρῷ βέλτιον ἢ χεῖρον ἀποδίδωσι. τοῦ δὲ καιροῦ διαφεύγοντος ἡμᾶς, σημεῖα διδόναι τὸν θεὸν εἰκός ἐστιν.

L. Οἴομαι μὲν οὖν μήτε τὴν ἀναθυμίασιν ὡσαύτως ἔχειν ἀεὶ διὰ παντὸς, ἀνέσεις δέ τινας ἴσχειν καὶ πάλιν σφοδρότητας. ᾧ δὲ τεκμηρίῳ χρῶμαι, μάρτυρας ἔχω καὶ ξένους πολλοὺς καὶ τοὺς θεραπεύοντας τὸ ἱερὸν ἅπαντας. ὁ γὰρ οἶκος, ἐν ᾧ τοὺς χρωμένους τῷ θεῷ καθίζουσιν, οὔτε πολλάκις οὔτε τεταγμένως, ἀλλ' ὡς ἔτυχε διὰ χρόνων εὐωδίας ἀναπίμπλαται καὶ πνεύματος, οἵας ἂν τὰ ἥδιστα καὶ πολυτελέστατα τῶν μύρων ἀποφορὰς, ὥσπερ ἐκ πηγῆς τοῦ ἀδύτου προσβάλλοντος. ἐξανθεῖν γὰρ εἰκὸς ὑπὸ θερμότητος, ἢ τινος ἄλλης ἐγγινομένης δυνάμεως. εἰ δὲ τοῦτο μὴ δοκεῖ πιθανὸν, ἀλλά γε τὴν Πυθίαν αὐτὴν ἐν πάθεσι καὶ διαφοραῖς ἄλλοτε ἄλλαις ἐκεῖνο τὸ μέρος τῆς ψυχῆς ἴσχειν, ᾧ πλησιάζει τὸ πνεῦμα, καὶ μὴ μίαν ἀεὶ κρᾶσιν, ὥσπερ ἁρμονίαν ἀμετάβολον ἐν παντὶ καιρῷ διαφυλάττειν, ὁμολογήσετε. πολλαὶ μὲν γὰρ αἰσθομένης, πλείονες δὲ ἄδηλοι, τό τε σῶμα καταλαμβάνουσι καὶ τὴν ψυχὴν ὑποῤῥέουσι δυσχέρειαι καὶ κινήσεις· ὧν ἀναπιμπλαμένην οὐκ ἄμεινον ἐκεῖ βαδίζειν, οὐδὲ παρέχειν ἑαυτὴν τῷ θεῷ μὴ παντάπασι καθαρὰν οὖσαν, ὥσπερ ὄργανον ἐξηρτυμένον, καὶ εὐηχὲς, ἀλλ' ἐμπαθῆ καὶ ἀκατάστατον. οὔτε γὰρ ὁ οἶνος ὡσαύτως ἀεὶ τὸν μεθυστικὸν, οὔθ' ὁ αὐλὸς τὸν ἐνθουσιαστικὸν ὁμοίως διατίθησιν, ἀλλὰ νῦν

μὲν ἧττον οἱ αὐτοί, νῦν δὲ μᾶλλον ἐκβακχεύονται καὶ παροινοῦσι, τῆς κράσεως ἐν αὐτοῖς ἑτέρας γενομένης. μάλιστα δὲ τὸ φανταστικὸν ἔοικε τῆς ψυχῆς ὑπὸ τοῦ σώματος ἀλλοιουμένου κρατεῖσθαι, καὶ συμμεταβάλλειν· ὡς δῆλόν ἐστιν ἀπὸ τῶν ὀνείρων. ποτὲ μὲν γὰρ ἐν πολλαῖς γινόμεθα καὶ παντοδαπαῖς ἐνυπνίων ὄψεσι, ποτὲ δ' αὖ πάλιν πᾶσα γίνεται γαλήνη καὶ ἡσυχία τῶν τοιούτων. καὶ Κλέωνα μὲν ἴσμεν αὐτοὶ τῶν ἐκ Δαυλείας τοῦτον ἐν πολλοῖς ἔτεσιν οἷς βεβίωκε φάσκοντα μηδὲν ἰδεῖν πώποτε ἐνύπνιον. τῶν δὲ πρεσβυτέρων ταὐτὸ τοῦτο λέγεται περὶ Θρασυμήδους τοῦ Ἡραιέως. αἰτία δ' ἡ κρᾶσις τοῦ σώματος, ὥσπερ αὖ πάλιν ἡ τῶν μελαγχολικῶν πολυόνειρος καὶ πολυφάνταστος, εἰ καὶ δοκεῖ τὸ εὐθυόνειρον αὐτοῖς ὑπάρχειν· ἐπ' ἄλλα γὰρ ἄλλοτε τῷ φανταστικῷ τρεπόμενοι, καθάπερ οἱ πολλὰ βάλλοντες, ἐπιτυγχάνουσι πολλάκις.

LI. Ὅταν οὖν ἁρμοστῶς ἔχῃ πρὸς τὴν τοῦ πνεύματος, ὥσπερ φαρμάκου, κρᾶσιν ἡ φανταστικὴ καὶ μαντικὴ δύναμις, ἐν τοῖς προφητεύουσιν ἀνάγκη γίνεσθαι τὸν ἐνθουσιασμόν· ὅταν μὴ οὕτως, μὴ γίνεσθαι, ἢ γίνεσθαι παράφορον καὶ οὐκ ἀκέραιον καὶ ταρακτικόν, ὥσπερ ἴσμεν ἐπὶ τῆς ἔναγχος ἀποθανούσης Πυθιάδος. Θεοπρόπων γὰρ ἀπὸ ξένης παραγενομένων, λέγεται τὰς πρώτας κατασπείσεις ἀκίνητον ὑπομεῖναι καὶ ἀπαθὲς τὸ ἱερεῖον· ὑπερβαλλομένων δὲ φιλοτιμίᾳ τῶν ἱερέων καὶ προσλιπαρούντων, μόλις ὕπομβρον γενόμενον καὶ κατακλυσθὲν, ἐνδοῦναι. τί οὖν συνέβη περὶ τὴν Πυθιάδα;

κατέβη μὲν εἰς τὸ μαντεῖον (ὥς φασιν) ἄκουσα καὶ ἀπρόθυμος, εὐθὺς δὲ περὶ τὰς πρώτας ἀποκρίσεις ἦν καταφανὴς τῇ τραχύτητι τῆς φωνῆς οὐκ ἀναφέρουσα, δίκην νεὼς ἐπειγομένης, ἀλάλου καὶ κακοῦ πνεύματος οὖσα πλήρης· τέλος δὲ παντάπασιν ἐκταραχθεῖσα καὶ μετὰ κραυγῆς φοβερᾶς φερομένη πρὸς τὴν ἔξοδον, ἔῤῥιψεν ἑαυτήν· ὥστε φυγεῖν μὴ μόνον τοὺς θεοπρόπους, ἀλλὰ καὶ τὸν προφήτην Νίκανδρον, καὶ τοὺς παρόντας τῶν ὁσίων. ἀνείλοντο μέντοι μετὰ μικρὸν αὐτὴν εἰσελθόντες ἔμφρονα, καὶ διεβίωσεν ὀλίγας ἡμέρας. τούτων ἕνεκα, καὶ συνουσίας ἁγνὸν τὸ σῶμα καὶ τὸν βίον ὅλως ἀνεπίμικτον ἀλλοδαπαῖς ὁμιλίαις καὶ ἄθικτον φυλάττουσι τῆς Πυθιάδος, καὶ πρὸ τοῦ χρηστηρίου τὰ σημεῖα λαμβάνουσιν, οἰόμενοι τῷ θεῷ κατάδηλον εἶναι, πότε τὴν πρόσφορον ἔχουσα κρᾶσιν καὶ διάθεσιν, ἀβλαβῶς ὑπομενεῖ τὸν ἐνθουσιασμόν. οὔτε γὰρ πάντας, οὔτε τοὺς αὐτοὺς ἀεὶ διατίθησιν ὡσαύτως ἡ τοῦ πνεύματος δύναμις, ἀλλ' ὑπέκκαυμα παρέχει καὶ ἀρχὴν, ὥσπερ εἴρηται, τοῖς πρὸς τὸ παθεῖν καὶ μεταβαλεῖν οἰκείως ἔχουσιν. ἔστι δὲ θεία μὲν ὄντως καὶ δαιμόνιος, οὐ μὴν ἀνέκλειπτος, οὐδ' ἄφθαρτος, οὐδ' ἀγήρως καὶ διαρκὴς εἰς τὸν ἄπειρον χρόνον· ὑφ' οὗ πάντα κάμνει τὰ μεταξὺ γῆς καὶ σελήνης, κατὰ τὸν ἡμέτερον λόγον. εἰσὶ δ' οἳ καὶ τὰ ἐπάνω φάσκοντες οὐχ ὑπομένειν, ἀλλ' ἀπαυδῶντα πρὸς τὸ ἀΐδιον καὶ ἄπειρον, ὀξείαις χρῆσθαι μεταβολαῖς καὶ παλιγγενεσίαις.

LII. Ταῦτ' ἔφην ἐγὼ πολλάκις ἀνασκέπτεσθαι

καὶ ὑμᾶς παρακαλῶ καὶ ἐμαυτὸν, ὡς ἔχοντα πολλὰς ἀντιλήψεις καὶ ὑπονοίας πρὸς τοὐναντίον, ἃς ὁ καιρὸς οὐ παρέχει πάσας ἐπεξελθεῖν· ὥστε καὶ ταῦτα ὑπερκείσθω, καὶ ἃ Φίλιππος διαπορεῖ περὶ ἡλίου καὶ Ἀπόλλωνος.

# ΠΛΟΥΤΑΡΧΟΥ

## ὍΤΙ

## ΔΙΔΑΚΤΟΝ Ἡ ΑΡΕΤΗ.

Περὶ τῆς ἀρετῆς βουλευόμεθα καὶ διαποροῦμεν, εἰ διδακτόν ἐστι τὸ φρονεῖν, τὸ δικαιοπραγεῖν, τὸ εὖ ζῆν· εἶτα θαυμάζομεν, εἰ ῥητόρων μὲν ἔργα καὶ κυβερνητῶν καὶ οἰκοδόμων καὶ γεωργῶν μυρία ἐστίν· ἀγαθοὶ δ' ἄνδρες ὀνομάζονται καὶ λέγονται μόνον, ὡς ἱπποκένταυροι καὶ γίγαντες καὶ κύκλωπες, ἔργον δ' ἀμεμφὲς εἰς ἀρετὴν καὶ ἀκέραιον οὐκ ἔστιν εὑρεῖν, οὐδὲ πάθους ἀκέραιον ἦθος καὶ ἄθικτον· ἀλλ' εἰ καί τι καλὸν ἡ φύσις αὐτομάτως ἐκφέρει, τοῦτο πολλῷ τῷ ἀλλοτρίῳ, καθάπερ ὕλη καρπὸς ἀγρίᾳ καὶ ἀκαθάρτῳ μιγνύμενος, ἐξαμαυροῦται. ψάλλειν μανθάνουσιν ἄνθρωποι, καὶ ὀρχεῖσθαι, καὶ ἀναγινώσκειν γράμματα, καὶ γεωργεῖν, καὶ ἱππεύειν· ὑποδεῖσθαι μανθάνουσι, περιβάλλεσθαι· οἰνοχοεῖν δι-

διάσκουσιν, ὀψοποιεῖν· ταῦτα ἄνευ τοῦ μαθεῖν οὐκ ἔστι χρησίμως ποιεῖν. δι' ὃ δὲ ταῦτα πάντα, τὸ εὖ βιοῦν, ἀδίδακτον καὶ ἄλογον καὶ ἄτεχνον καὶ αὐτόματον.

II. Ὦ ἄνθρωποι, τί τὴν ἀρετὴν λέγοντες ἀδίδακτον εἶναι, ποιοῦμεν ἀνύπαρκτον; εἰ γὰρ ἡ μάθησις, γένεσίς ἐστιν, ἡ τοῦ μαθεῖν κώλυσις, ἀναίρεσις. καίτοι γε (ὥς φησιν ὁ Πλάτων) διὰ τὴν τοῦ ποδὸς πρὸς τὴν λύραν ἀμετρίαν καὶ ἀναρμοστίαν οὔτε ἀδελφὸς ἀδελφῷ πολεμεῖ, οὔτε φίλος φίλῳ διαφέρεται, οὔτε πόλεις πόλεσι δι' ἀπεχθείας γενόμεναι, τὰ ἔσχατα κακὰ δρῶσί τε καὶ πάσχουσιν ὑπ' ἀλλήλων· οὐδὲ περὶ προσῳδίας ἔχει τις εἰπεῖν στάσιν ἐν πόλει γινομένην, πότερον Τελχῖνας ἀναγνωστέον· οὐδ' ἐν οἰκίᾳ διαφορὰν ἀνδρὸς καὶ γυναικὸς ὑπὲρ κρόκης ἢ στήμονος. ἀλλ' ὅμως οὔτ' ἂν ἱστὸν, οὔτε βιβλίον, ἢ λύραν, ὁ μὴ μαθὼν μεταχειρίσαιτο, καίπερ εἰς οὐδὲν μέγα βλαβησόμενος, ἀλλ' αἰδεῖται γενέσθαι καταγέλαστος· ἀμαθίαν γὰρ Ἡράκλειτός φησι κρύπτειν ἄμεινον· οἶκον δὲ καὶ γάμον καὶ πολιτείαν καὶ ἀρχὴν οἴεται καλῶς μεταχειρίζεσθαι. παιδὸς ὑψοφαγοῦντος, ὁ Διογένης τῷ παιδαγωγῷ κόνδυλον ἔδωκεν· ὀρθῶς οὐ τοῦ μὴ μαθόντος, ἀλλὰ τοῦ μὴ διδάξαντος, τὸ ἁμάρτημα ποιήσας. εἶτα παροψίδος μὲν, ἢ κύλικος, οὐκ ἔστι κοινωνεῖν ἐπιδεξίως, ἂν μὴ μάθῃ τις εὐθὺς ἐκ παίδων ἀρξάμενος· ὡς Ἀριστοφάνης· Μὴ κιχλίζειν, μηδὲ ὑψοφαγεῖν, μηδ' ἴσχειν τὼ πόδ' ἐναλλάξ· οἴκου δὲ καὶ πόλεως καὶ γάμου καὶ βίου καὶ ἀρχῆς κοινωνίαν, ἀνέγκλητον ἐνδέχεται

γενέσθαι, μὴ μαθόντων, ὅντινα χρὴ τρόπον ἀλλήλοις συμφέρεσθαι; ὁ Ἀρίστιππος ἐρωτηθεὶς ὑπό τινος· Πανταχοῦ σὺ ἄρα εἶ; γελάσας· Οὐκοῦν (ἔφη) παραπόλλυμι τὸ ναῦλον, εἴγε πανταχοῦ εἰμί. τί οὖν οὐκ ἂν εἴποις καὶ αὐτός· Εἰ μὴ γίνονται μαθήσει βελτίονες ἄνθρωποι, παραπόλλυται ὁ μισθὸς τῶν παιδαγωγῶν. πρῶτον γὰρ οὗτοι λαμβάνοντες ἐκ γάλακτος, ὥσπερ αἱ τίτθαι ταῖς χερσὶ τὸ σῶμα πλάττουσιν, οὕτως ῥυθμίζουσι τοῖς ἔθεσιν, εἰς ἴχνος τι πρῶτον ἀρετῆς καθιστάντες. καὶ ὁ Λάκων ἐρωτηθεὶς, τί παρέχει παιδαγωγῶν· Τὰ καλὰ (ἔφη) τοῖς παισὶν ἡδέα ποιῶ. καὶ αὐτοὶ διδάσκουσιν οἱ παιδαγωγοὶ, κεκυφότας ἐν ταῖς ὁδοῖς περιπατεῖν, ἑνὶ δακτύλῳ τὸ τάριχον ἅψασθαι, δυσὶ τὸν ἰχθὺν, σῖτον, κρέας· οὕτω κνᾶσθαι, τὸ ἱμάτιον οὕτως ἀναλαβεῖν.

III. Τί οὖν; ὁ λέγων λειχῆνος ἰατρικὴν εἶναι καὶ παρωνυχίας, πλευρίτιδος δὲ καὶ πυρετοῦ καὶ φρενίτιδος μὴ εἶναι, τί διαφέρει τοῦ λέγοντος, ὅτι τῶν μικρῶν καὶ παιδικῶν καθηκόντων εἰσὶ διδασκαλεῖα καὶ λόγοι καὶ ὑποθῆκαι· τῶν δὲ μεγάλων καὶ τελείων ἄλογος τριβὴ καὶ περίπτωσίς ἐστιν; ὡς γὰρ ὁ λέγων, δεῖ κώπην ἐλαύνειν μὴ μαθόντα, γελοῖός ἐστιν· οὕτως ὁ μὲν τῶν ἄλλων ἀπολείπων τεχνῶν μάθησιν, ἀρετῆς δ᾽ ἀναιρῶν, τοὐναντίον ἔοικε τοῖς Σκύθαις ποιεῖν. ἐκεῖνοι μὲν γὰρ, ὥς φησιν Ἡρόδοτος, τοὺς οἰκέτας ἐκτυφλοῦσιν, ὅπως παραμένωσιν αὐτοῖς· οὗτος δὲ ταῖς δούλαις καὶ ὑπηρέτισι τέχναις ὥσπερ ὄμμα τὸν λόγον ἐντιθεὶς, τῆς ἀρετῆς ἀφαιρεῖ.

καίτοιγε ὁ στρατηγὸς Ἰφικράτης πρὸς τὸν Χαβρίου Καλλίαν, ἐρωτῶντα καὶ λέγοντα· Τίς εἶς τοξότης, πελταστὴς, ἱππεὺς, ὁπλίτης; Οὐδεὶς (ἔφη) τούτων, ἀλλ' ὁ τούτοις πᾶσιν ἐπιτάττων. γελοῖος οὖν ὁ λέγων, ὅτι τοξικὴ καὶ ὁπλιτικὴ καὶ τὸ σφενδονᾷν καὶ τὸ ἱππεύειν διδακτόν ἐστι, στρατηγία δὲ καὶ τὸ στρατηγεῖν, ὡς ἔτυχε παραγίνεται. οὐκοῦν ἔτι γελοιότερος ὁ μόνην τὴν φρόνησιν μὴ διδακτὴν ἀποφαίνων, ἧς ἄνευ, τῶν ἄλλων τεχνῶν ὄφελος οὐδὲν, οὔτε ὄνησίς ἐστιν. εἰ δὲ ἡγεμὼν αὕτη, καὶ κόσμος οὖσα πασῶν καὶ τάξις, εἰς τὸ χρήσιμον ἕκαστον καθίστησιν, αὐτίκα τίς δείπνου χάρις, ἠσκημένων καὶ μεμαθηκότων παίδων δαιτρεῦσαι καὶ ὀπτῆσαι καὶ οἰνοχοῆσαι, εἰ μὴ διάθεσις, μηδὲ διάταξις εἴη πρὸς τοὺς διακονοῦντας.

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΠΕΡΙ ΤΗΣ ΗΘΙΚΗΣ ΑΡΕΤΗΣ.

Περὶ τῆς ἠθικῆς λεγομένης ἀρετῆς καὶ δοκούσης, ᾧ δὴ μάλιστα τῆς θεωρητικῆς διαφέρει, τῷ τὸ μὲν πάθος ὕλην ἔχειν, τὸν δὲ λόγον εἶδος, εἰπεῖν πρόκειται, τίνα τε οὐσίαν ἔχει, καὶ πῶς ὑφίστασθαι

πέφυκε· καὶ πότερον οἰκείῳ λόγῳ κεκόσμηται τὸ δεδεγμένον μόριον αὐτὴν τῆς ψυχῆς, ἢ μετέσχηκεν ἀλλοτρίου· καὶ εἰ μετέσχηκε, πότερον ὡς τὰ μεμιγμένα πρὸς τὸ βέλτιον, ἢ μᾶλλον, ὡς ἐπιστασίᾳ τινὶ χρώμενον καὶ ἀρχῇ μετέχειν λέγεται τῆς τοῦ ἄρχοντος δυνάμεως. ὅτι μὲν γὰρ δύναται καὶ ἀρετὴ γεγονέναι, καὶ μένειν παντάπασιν ἄϋλον καὶ ἄκρατον, οἶμαι δῆλον εἶναι. βέλτιον δὲ βραχέως ἐπιδραμεῖν καὶ τὰ τῶν ἑτέρων, οὐχ ἱστορίας ἕνεκα μᾶλλον ἢ τοῦ σαφέστερα γενέσθαι τὰ οἰκεῖα καὶ βεβαιότερα, προεκτεθέντων ἐκείνων.

II. Μενέδημος μὲν ὁ ἐξ Ἐρετρίας ἀνῄρει τῶν ἀρετῶν καὶ τὸ πλῆθος καὶ τὰς διαφοράς, ὡς μιᾶς οὔσης καὶ χρωμένης πολλοῖς ὀνόμασι· τὸ γὰρ αὐτὸ σωφροσύνην καὶ ἀνδρείαν καὶ δικαιοσύνην λέγεσθαι, καθάπερ βροτὸν καὶ ἄνθρωπον. Ἀρίστων δὲ ὁ Χῖος τῇ μὲν οὐσίᾳ μίαν καὶ αὐτὸς ἀρετὴν ἐποίει, καὶ ὑγείαν ὠνόμαζε· τῷ δὲ πρός τι πως διαφόρους καὶ πλείονας, ὡς εἴ τις ἐθέλοι τὴν ὅρασιν ἡμῶν, λευκῶν μὲν ἀντιλαμβανομένην, λευκοθέαν καλεῖν, μελάνων δὲ, μελανθέαν, ἤ τι τοιοῦτον ἕτερον. καὶ γὰρ ἡ ἀρετὴ ποιητέα μὲν ἐπισκοποῦσα καὶ μὴ ποιητέα, κέκληται φρόνησις· ἐπιθυμίαν δὲ κοσμοῦσα, καὶ τὸ μέτριον καὶ τὸ εὔκαιρον ἐν ἡδοναῖς ὁρίζουσα, σωφροσύνη· κοινωνήμασι δὲ καὶ συμβολαίοις ὁμιλοῦσα τοῖς πρὸς ἑτέρους, δικαιοσύνη· καθάπερ τὸ μαχαίριον ἓν μέν ἐστιν, ἄλλοτε δὲ ἄλλο διαιρεῖ· καὶ τὸ πῦρ ἐνεργεῖ περὶ ὕλας διαφόρους μιᾷ φύσει χρώμενον. ἔοικε δὲ καὶ Ζήνων εἰς τοῦτό πως ὑποφέρε-

σθαι ὁ Κιττιεὺς, ὁριζόμενος τὴν φρόνησιν ἐν μὲν ἀπονεμητέοις, δικαιοσύνην· ἐν δὲ διαιρετέοις, σωφροσύνην· ἐν δὲ ὑπομενετέοις, ἀνδρείαν. ἀπολογούμενοι δὲ, ἀξιοῦσιν ἐν τούτοις τὴν ἐπιστήμην φρόνησιν ὑπὸ τοῦ Ζήνωνος ὠνομάσθαι. Χρύσιππος δὲ κατὰ τὸ ποιὸν ἀρετὴν ἰδίᾳ ποιότητι συνίστασθαι νομίζων, ἔλαθεν ἑαυτὸν (κατὰ τὸν Πλάτωνα) σμῆνος ἀρετῶν οὐ σύνηθες, οὐδὲ γνώριμον ἐγείρας· ὡς γὰρ παρὰ τὸν ἀνδρεῖον ἀνδρείαν, καὶ παρὰ τὸν πρᾷον πρᾳότητα, καὶ δικαιοσύνην παρὰ τὸν δίκαιον, οὕτως παρὰ τὸν χαρίεντα χαριεντότητα, καὶ παρὰ τὸν ἐσθλὸν ἐσθλότητα, καὶ παρὰ τὸν μέγαν μεγαλότητα, καὶ παρὰ τὸν καλὸν καλότητα, ἑτέρας τε τοιαύτας ἐπιδεξιότητας, εὐαπαντησίας, εὐτραπελίας, ἀρετὰς τιθέμενος, πολλῶν καὶ ἀτόπων ὀνομάτων οὐδὲν δεομένην ἐμπέπληκε φιλοσοφίαν.

III. Κοινῶς δὲ ἅπαντες οὗτοι τὴν ἀρετὴν τοῦ ἡγεμονικοῦ τῆς ψυχῆς διάθεσίν τινα καὶ δύναμιν γεγενημένην ὑπὸ λόγου, μᾶλλον δὲ λόγον οὖσαν αὐτὴν ὁμολογούμενον καὶ βέβαιον καὶ ἀμετάπτωτον, ὑποτίθενται· καὶ νομίζουσιν οὐκ εἶναι τὸ παθητικὸν καὶ ἄλογον διαφορᾷ τινι καὶ φύσει ψυχῆς τοῦ λογικοῦ διακεκριμένον, ἀλλὰ τὸ αὐτὸ τῆς ψυχῆς μέρος (ὃ δὴ καλοῦσι διάνοιαν καὶ ἡγεμονικὸν) διόλου τρεπόμενον καὶ μεταβάλλον ἔν τε τοῖς πάθεσι, καὶ ταῖς κατὰ ἕξιν ἢ διάθεσιν μεταβολαῖς, κακίαν τε γίνεσθαι καὶ ἀρετὴν, καὶ μηδὲν ἔχειν ἄλογον ἐν ἑαυτῷ· λέγεσθαι δὲ ἄλογον, ὅταν τῷ πλεονάζοντι τῆς ὁρμῆς ἰσχυρῷ γενομένῳ καὶ κρατήσαντι, πρός τι τῶν ἀτόπων παρὰ

τὸν αἱροῦντα λόγον ἐκφέρηται· καὶ γὰρ τὸ πάθος εἶναι λόγον πονηρὸν καὶ ἀκόλαστον, ἐκ φαύλης καὶ διημαρτημένης κρίσεως σφοδρότητα καὶ ῥώμην προςλαβόντα. ἔοικε δὲ λαθεῖν τοῦτο τοὺς ἅπαντας, ᾗ διττὸς ἡμῶν, ὡς ἀληθῶς, ἕκαστός ἐστι καὶ σύνθετος· τὴν γὰρ ἑτέραν διπλόην οὐ κατεῖδον, ἀλλὰ τὴν ψυχῆς καὶ σώματος μῖξιν ἐμφανεστέραν οὖσαν· ὅτι δὲ αὐτῆς ἐστι τῆς ψυχῆς ἐν ἑαυτῇ σύνθετόν τι καὶ διφυὲς καὶ ἀνόμοιον, ὥςπερ ἑτέρου σώματος τοῦ ἀλόγου πρὸς τὸν λόγον ἀνάγκῃ τινὶ καὶ φύσει συμμιγέντος καὶ συναρμοσθέντος, εἰκὸς μέν ἐστι μηδὲ Πυθαγόραν ἀγνοῆσαι, τεκμαιρομένους τῇ περὶ τὴν μουσικὴν σπουδῇ τοῦ ἀνδρὸς, ἣν ἐπηγάγετο τῇ ψυχῇ κηλήσεως ἕνεκα καὶ παραμυθίας, ὡς οὐ πᾶν ἐχούσῃ διδασκαλίᾳ καὶ μαθήμασιν ὑπήκοον, οὐδὲ λόγῳ μεταβλητὸν ἐκ κακίας, ἀλλά τινος ἑτέρας πειθοῦς συνεργοῦ καὶ πλάσεως καὶ τιθασσεύσεως δεόμενον, εἰ μὴ παντάπασι μέλλοι φιλοσοφίᾳ δυσμεταχείριςον εἶναι καὶ ἀπειθές. ἐμφανῶς μέντοι καὶ βεβαίως καὶ ἀναμφιδόξως Πλάτων συνεῖδεν, ὅτι τούτου γε τοῦ κόσμου τὸ ἔμψυχον, οὐχ ἁπλοῦν οὐδὲ ἀσύνθετον οὐδὲ μονοειδές ἐστιν, ἀλλ' ἐκ τῆς ταυτοῦ καὶ τῆς τοῦ ἑτέρου μεμιγμένον δυνάμεως, πῇ μὲν ἀεὶ κατὰ ταὐτὰ κοσμεῖται καὶ περιπολεῖ μιᾷ τάξει κράτος ἐχούσῃ χρώμενον, πῇ δὲ εἴς τε κινήσεις καὶ κύκλους σχιζόμενον ὑπεναντίους καὶ πλανητοὺς, ἀρχὴν διαφορᾶς καὶ γένεσιν· ἥ τε ἀνθρώπου ψυχὴ, μέρος ἢ τμῆμα τῆς τοῦ παντὸς οὖσα, καὶ συνηρμοσμένη κατὰ λόγους καὶ ἀριθμοὺς ἐοικότας ἐκείνοις, οὐχ ἁπλῆ τίς

ἐστιν, οὐδὲ ὁμοιοπαθὴς, ἀλλ' ἕτερον μὲν ἔχει τὸ νοερὸν, καὶ λογιστικὸν, ᾧ κρατεῖν τοῦ ἀνθρώπου κατὰ φύσιν καὶ ἄρχειν προςῆκόν ἐστιν· ἕτερον δὲ τὸ παθητικὸν καὶ ἄλογον καὶ πολυπλανὲς καὶ ἄτακτον ἐξ ἑαυτοῦ ἐπιστασίας δεόμενον. οὗ πάλιν διχῆ μεριζομένου, τὸ μὲν ἀεὶ σωματικὸν κέκληται ἐπιθυμοῦν, τὸ δὲ ἔστι μὲν ᾗ τούτῳ προςτιθέμενον, ἔστι δὲ ᾗ τῷ λογισμῷ παρέχον ἰσχὺν ἐπὶ τοῦτο καὶ δύναμιν, θυμοειδές· ἀποδείκνυσι δὲ τὴν διαφορὰν μάλιστα τῇ τοῦ λογιζομένου καὶ φρονοῦντος ἀντιβάσει, πρὸς τὸ ἐπιθυμοῦν καὶ θυμούμενον· ὥστε ἕτερα εἶναι πολλάκις ἀπειθοῦντα καὶ δυσμαχοῦντα πρὸς τὸ βέλτιστον. ταύταις ἐχρήσατο ταῖς ἀρχαῖς ἐπὶ πλεῖστον Ἀριστοτέλης, ὡς δῆλόν ἐστιν ἐξ ὧν ἔγραψεν. ὕστερον δὲ, τὸ μὲν θυμοειδὲς τῷ ἐπιθυμητικῷ προσένειμεν, ὡς ἐπιθυμίαν τινὰ τὸν θυμὸν ὄντα καὶ ὄρεξιν ἀντιλυπήσεως· τῷ μέντοι παθητικῷ καὶ ἀλόγῳ μέχρι παντὸς ὡς διαφέροντι τοῦ λογιστικοῦ, χρώμενος διετέλεσεν, οὐχ ὅτι παντελῶς ἄλογόν ἐστιν, ὥσπερ τὸ αἰσθητικὸν ἢ τὸ θρεπτικὸν καὶ φυτικὸν τῆς ψυχῆς μέρος· ἀλλὰ ταῦτα μὲν ὅλως ἀνήκοα λόγου καὶ κωφὰ τρόπον τινὰ τῆς σαρκὸς ἐκβεβλάστηκε, καὶ περὶ τὸ σῶμα παντελῶς καταπέφυκε. τὸ δὲ παθητικὸν οἰκείου λόγου στέρεται καὶ ἄμοιρόν ἐστιν, ἄλλως δὲ, τοῦ λογιζομένου καὶ φρονοῦντος εἰςακούειν, καὶ τρέπεσθαι πρὸς ἐκεῖνο καὶ ὑπείκειν καὶ κατασχηματίζεσθαι πέφυκεν, ἐὰν μὴ τέλεον ᾖ διεφθαρμένον ὑφ' ἡδονῆς ἀμαθοῦς καὶ ἀκολάστου διαίτης.

IV. Οἱ δὲ θαυμάζοντες, ὅπως ἄλογον μέν ἐστι,

λόγῳ δὲ ὑπήκοον, οὔ μοι δοκοῦσι τοῦ λόγου περινοεῖν τὴν δύναμιν, ὅση πέφυκε καὶ ἐφ' ὅσον διέρχεται τῷ κρατεῖν καὶ ἄγειν, οὐ σκληραῖς οὐδὲ ἀντιτύποις ἀγωγαῖς, ἀλλὰ τυπικαῖς, καὶ τὸ ἐνδόσιμον καὶ πειθήνιον ἁπάσης ἀνάγκης καὶ βίας ἐχούσαις ἀνυσιμώτερον. ἐπεὶ καὶ πνεῦμα δήπου καὶ νεῦρα καὶ ὀστᾶ καὶ τὰ λοιπὰ μέρη τοῦ σώματος, ἄλογά ἐστιν, ἀλλ' ὅταν ὁρμὴ γένηται, σείσαντος ὥσπερ ἡνίας τοῦ λογισμοῦ, πάντα τέτακται καὶ συνῆκται καὶ ὑπακούει· καὶ πόδες τε, θεῖν διανοηθέντος, εὔτονοι, καὶ χεῖρες εἰς ἔργον καθίστανται, βαλεῖν ἢ λαβεῖν ὁρμήσαντος. ἄριστα δὲ ὁ ποιητὴς τὸ συμπαθοῦν καὶ συγκατασχηματιζόμενον τῷ λόγῳ τοῦ ἀλόγου παρίστησι διὰ τούτων·

Ὣς τῆς τήκετο καλὰ παρήϊα δακρυχεούσης,
Κλαιούσης ἑὸν ἄνδρα παρήμενον· αὐτὰρ Ὀδυσσεὺς
Θυμῷ μὲν γοόωσαν ἑὴν ἐλέαιρε γυναῖκα,
Ὀφθαλμοὶ δ' ὡσεὶ κέρα ἕστασαν, ἠὲ σίδηρος
Ἀτρέμας ἐν βλεφάροισι, δόλῳ δὲ γε δάκρυα κεῦθεν.

οὕτως κατήκοον εἶχε τῆς κρίσεως καὶ τὸ πνεῦμα καὶ τὸ αἷμα καὶ τὸ δάκρυον. δηλοῦσι δὲ καὶ παρὰ καλαῖς καὶ καλοῖς, ὧν οὐκ ἐᾷ λόγος, οὐδὲ νόμος θίγειν, αἰδοίων φυγαὶ καὶ ἀναχωρήσεις ἡσυχίαν ἀγόντων καὶ ἀτρεμούντων. ὃ μάλιστα συμβαίνει τοῖς ἐρῶσιν, εἶτα ἀκούσασιν, ὡς ἀδελφῆς ἐρῶντες, ἢ θυγατρός, ἠγνοήκασιν· αὐτίκα γὰρ ἔπτηξε τὸ ἐπιθυμοῦν ἁψαμένου τοῦ λόγου, καὶ τὸ σῶμα τὰ μέρη συνευσχημονοῦντα τῇ κρίσει παρέσχε. σιτίοις γε μὴν πολλά-

κις καὶ ὄψοις μάλα ἡδέως προσενεχθέντες, ἂν αἴσθωνται καὶ μάθωσιν αὐτοὺς τῶν μὴ καθαρῶν τι μηδὲ νομίμων ἐδηδοκότας, οὐ τῇ κρίσει μόνον ἐπιτίθεται τὸ λυποῦν καὶ δάκνον, ἀλλὰ καὶ τὸ σῶμα τῇ δόξῃ συνδιατρεπόμενον καὶ ἀναπιμπλάμενον, ἔμετοι καὶ διατροπαὶ ναυτιώδεις ἴσχουσι. δέδοικα δὲ, μὴ δόξαιμι παντάπασιν ἐπαγωγὰ καὶ νεαρὰ τῷ λόγῳ περαίνειν, ψαλτήρια διεξιὼν καὶ λύρας, καὶ πηκτίδας καὶ αὐλοὺς, καὶ ὅσα μουσικῆς προσῳδὰ καὶ προσήγορα μηχανησαμένης ἀνθρωπίνοις πάθεσιν, ἄψυχα συνῆλθε, καὶ συνεπιθρηνεῖ, καὶ συνᾴδει, καὶ συνακολασταίνει, τὰς κρίσεις ἀναφέροντα καὶ τὰ πάθη καὶ τὰ ἤθη τῶν χρωμένων. καίτοι καὶ Ζήνωνά φασιν εἰς θέατρον ἀνιόντα κιθαρῳδοῦντος Ἀμοιβέως, πρὸς τοὺς μαθητὰς, Ἴωμεν, εἰπεῖν, ὅπως καταμάθωμεν, οἵαν ἔντερα καὶ νεῦρα καὶ ξύλα καὶ ὀστᾶ λόγου καὶ ἀριθμοῦ μετασχόντα καὶ τάξεως, ἐμμέλειαν καὶ φωνὴν ἀφίησιν. ἀλλὰ ταῦτα ἐάσας, ἡδέως ἂν αὐτῶν πυθοίμην, εἰ κύνας καὶ ἵππους καὶ ὄρνιθας οἰκουροὺς ὁρῶντες, ἔθει καὶ τροφῇ καὶ διδασκαλίᾳ φωνάς τε συνετὰς καὶ πρὸς λόγον ὑπηκόους κινήσεις καὶ σχέσεις ἀποδιδόντας, καὶ πράξεις τὸ μέτριον καὶ τὸ χρήσιμον ἡμῖν ἐχούσας· Ὁμήρου δ' ἀκούοντες τὸν Ἀχιλλέα λέγοντος ὀτρύνειν ἵππους τε καὶ ἀνέρας ἐπὶ τὴν μάχην, ἔτι θαυμάζουσι καὶ διαποροῦσιν, εἰ τὸ θυμούμενον ἐν ἡμῖν καὶ ἐπιθυμοῦν καὶ λυπούμενον καὶ ἡδόμενον ὑπακούειν τε τῷ φρονοῦντι καὶ πάσχειν ὑπ' αὐτοῦ καὶ συνδιατίθεσθαι πέφυκεν, οὐκ ἀπῳκισμένον οὐδὲ ἀπεσχοινισμένον, οὐδὲ πλασσό-

μενον ἔξωθεν, οὐδὲ τυπούμενον ἀνάγκαις τισὶν, ἢ πληγαῖς, ἀλλὰ φύσει μὲν ἐξηρτημένον, ἀεὶ δὲ ὁμιλοῦν καὶ συντρεφόμενον καὶ ἀναπιμπλάμενον ὑπὸ συνηθείας. διὸ καὶ καλῶς ὠνόμασται τὸ ἦθος· ἔστι μὲν γὰρ (ὡς τύπῳ εἰπεῖν) ποιότης τοῦ ἀλόγου τὸ ἦθος· ὠνόμασται δὲ, ὅτι τὴν ποιότητα ταύτην καὶ τὴν διαφορὰν ἔθει λαμβάνει τὸ ἄλογον ὑπὸ τοῦ λόγου πλαττόμενον, οὐ βουλομένου τὸ πάθος ἐξαιρεῖν παντάπασιν, (οὔτε γὰρ δυνατὸν, οὔτε ἄμεινον) ἀλλὰ ὅρον τινὰ καὶ τάξιν ἐπιτιθέντος αὐτῷ, καὶ τὰς ἠθικὰς ἀρετὰς, οὐκ ἀπαθείας οὔσας, ἀλλὰ συμμετρίας παθῶν καὶ μεσότητας, ἐμποιοῦντος. ἐμποιεῖ δὲ τῇ φρονήσει τὴν τοῦ παθητικοῦ δύναμιν εἰς ἕξιν ἀστείαν καθιστάς. τρία γὰρ δὴ ταῦτά φασι περὶ τὴν ψυχὴν ὑπάρχειν, δύναμιν, πάθος, ἕξιν. ἡ μὲν οὖν δύναμις ἀρχὴ καὶ ὕλη τοῦ πάθους, οἷον ὀργιλότης, αἰσχυντηλία, θαῤῥαλεότης· τὸ δὲ πάθος, κίνησίς τις ἤδη τῆς δυνάμεως, οἷον ὀργὴ, αἰδὼς, θάρσος, ἡ δ' ἕξις, ἰσχὺς καὶ κατασκευὴ τῆς περὶ τὸ ἄλογον δυνάμεως ἐξ ἔθους ἐγγινομένη, κακία μὲν, ἂν φαύλως, ἀρετὴ δὲ, ἂν καλῶς ὑπὸ τοῦ λόγου παιδαγωγηθῇ τὸ πάθος.

V. Ἐπεὶ δὲ οὐ πᾶσαν ἀρετὴν μεσότητα ποιοῦσιν οὐδὲ ἠθικὴν καλοῦσι, λεκτέον ἂν εἴη περὶ τῆς διαφορᾶς ἀρξαμένοις ἄνωθεν. ἔστι τοίνυν τῶν πραγμάτων τὰ μὲν ἁπλῶς ἔχοντα, τὰ δὲ πῶς ἔχοντα πρὸς ἡμᾶς· ἁπλῶς μὲν οὖν ἔχοντα, γῆ, οὐρανὸς, ἄστρα, θάλασσα· πῶς δὲ ἔχοντα πρὸς ἡμᾶς, ἀγαθὸν, κακόν· αἱρετὸν, φευκτόν· ἡδὺ, ἀλγεινόν· ἀμφοῖν δὲ

τοῦ λόγου θεωρητικοῦ ὄντος, τὸ μὲν περὶ τὰ ἁπλῶς ἔχοντα μόνον, ἐπιστημονικὸν καὶ θεωρητικόν ἐστι· τὸ δ' ἐν τοῖς πῶς ἔχουσι πρὸς ἡμᾶς, βουλευτικὸν καὶ πρακτικόν· ἀρετὴ δὲ τούτου μὲν ἡ φρόνησις, ἐκείνου δὲ ἡ σοφία. διαφέρει δὲ σοφίας φρόνησις, ἧ τοῦ θεωρητικοῦ πρὸς τὸ πρακτικὸν καὶ παθητικὸν ἐπιστροφῆς καὶ σχέσεώς τινος γενομένης ὑφίσταται κατὰ λόγον ἡ φρόνησις. διὸ φρόνησις μὲν τύχης δεῖται· σοφία δ' οὐ δεῖται πρὸς τὸ οἰκεῖον τέλος, οὐδὲ βουλῆς. ἔστι γὰρ περὶ τὰ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡςαύτως ἔχοντα. καὶ καθάπερ ὁ γεωμέτρης οὐ βουλεύεται περὶ τοῦ τριγώνου, εἰ δυοῖν ὀρθαῖς ἴσας ἔχει τὰς ἐντὸς γωνίας, ἀλλὰ οἶδεν· (αἱ γὰρ βουλαὶ περὶ τῶν ἄλλοτε ἄλλως ἐχόντων οὐ περὶ τῶν βεβαίων καὶ ἀμεταπτώτων) οὕτως ὁ θεωρητικὸς νοῦς περὶ τὰ πρῶτα καὶ μόνιμα, καὶ μίαν ἀεὶ φύσιν ἔχοντα μὴ δεχομένην μεταβολὰς, ἐνεργῶν, ἀπήλλακται τοῦ βουλεύεσθαι. τὴν δὲ φρόνησιν εἰς πράγματα πλάνης μεστὰ καὶ ταραχῆς καθιεῖσαν, ἐπιμίγνυσθαι τοῖς τυχηροῖς πολλάκις ἀναγκαῖόν ἐστι καὶ τῷ βουλευτικῷ χρῆσθαι περὶ τῶν ἀδηλοτέρων, τῷ δὲ πρακτικῷ τὸ βουλευτικὸν ἐκδεχομένην ἐνεργεῖν ἤδη καὶ τοῦ ἀλόγου συμπαρόντος καὶ συνεφελκομένου ταῖς κρίσεσιν· ὁρμῆς γὰρ δέονται. τὴν δὲ ὁρμὴν τῷ πάθει ποιεῖ τὸ ἦθος, λόγου δεομένην ὁρίζοντος, ὅπως μετρία παρῇ, καὶ μήτε ὑπερβάλλῃ, μήτε ἐγκαταλίπῃ τὸν καιρόν. τὸ γὰρ δὴ παθητικὸν καὶ ἄλογον κινήσεσι χρῆται, ταῖς μὲν, ἄγαν σφοδραῖς καὶ ὀξείαις· ταῖς δὲ, μαλακωτέραις ἢ προςήκει καὶ ἀργοτέραις. ὅθεν ἕκα-

στον ὧν πράττομεν ἀεὶ, μοναχῶς μὲν, κατορθοῦται, πλεοναχῶς δὲ, ἁμαρτάνει. τὸ γὰρ βαλεῖν τὸν σκοπὸν, ἕν ἐστι καὶ ἁπλοῦν, ἀστοχοῦσι δὲ ἄλλοτε ἄλλως, ὑπερβάλλοντες τὸ μέτριον ἢ προαπολείποντες. τοῦτο οὖν τοῦ πρακτικοῦ λόγου κατὰ φύσιν ἔργον ἐστὶ, τὸ ἐξαιρεῖν τὰς ἀμετρίας τῶν παθῶν καὶ πλημμελείας. ὅπου μὲν γὰρ ὑπὸ ἀῤῥωστίας καὶ μαλακίας ἢ δέους καὶ ὄκνου προενδίδωσιν ἡ ὁρμὴ καὶ προαπολείπει τὸ καλὸν, ἐνταῦθα πάρεστιν ἐξεγείρων καὶ ἀναῤῥιπίζων· ὅπου δὲ πάλιν ἐκφέρεται ῥυεῖσα πολλὴ καὶ ἄτακτος, ἐκεῖ τὸ σφοδρὸν ἀφαιρεῖ καὶ ἵστησιν. οὕτως δὲ ὁρίζων τὴν παθητικὴν κίνησιν, ἐμποιεῖ τὰς ἠθικὰς ἀρετὰς περὶ τὸ ἄλογον, ἐλλείψεως καὶ ὑπερβολῆς μεσότητας οὔσας. οὐ γὰρ ἅπασαν ἀρετὴν μεσότητι γίνεσθαι ῥητέον· ἀλλ' ἡ μὲν ἀπροσδεὴς τοῦ ἀλόγου καὶ περὶ τὸν εἰλικρινῆ καὶ ἀπαθῆ νοῦν συνισταμένη σοφία καὶ φρόνησις, αὐτοτελής τις ἐστὶν ἀκρότης τοῦ λόγου καὶ δύναμις, ᾗ τὸ θειότατον ἐγγίνεται τῆς ἐπιστήμης καὶ μακαριώτατον· ἡ δ' ἀναγκαία διὰ τὸ σῶμα, καὶ δεομένη τῆς παθητικῆς ὥσπερ ὀργανικῆς ὑπηρεσίας ἐπὶ τὸ πρακτικὸν, οὐκ οὖσα φθορὰ τοῦ ἀλόγου τῆς ψυχῆς οὐδὲ ἀναίρεσις, ἀλλὰ τάξις καὶ διακόσμησις, ἀκρότης μέν ἐστι τῇ δυνάμει καὶ τῇ ποιότητι, τῷ ποσῷ δὲ μεσότης γίνεται, τὸ ὑπερβάλλον ἐξαιροῦσα καὶ τὸ ἐλλεῖπον.

VI. Ἐπεὶ δὲ πολλαχῶς τὸ μέσον, (καὶ γὰρ τὸ κεκραμένον, τῶν ἀκράτων μέσον, ὡς λευκοῦ καὶ μέλανος τὸ φαιόν· καὶ τὸ περιέχον καὶ περιεχόμενον, τοῦ περιεχομένου καὶ περιέχοντος, ὡς τῶν δώδεκα

καὶ τεττάρων τὰ ὀκτώ· καὶ τὸ μηδετέρου τῶν ἄκρων μετέχον, ὡς ἀγαθοῦ καὶ κακοῦ τὸ ἀδιάφορον) τούτων μὲν οὐδενὶ τῶν τρόπων ἡ ἀρετὴ εἴη ἂν μεσότης. οὔτε γὰρ μῖγμα τῶν κακιῶν ἐστιν, οὔτ' ἐμπεριέχουσα τοὔλαττον, ἐμπεριέχεταί τῳ πλεονάζοντι τοῦ προσήκοντος· οὔτε ἀπήλλακται παντάπασι τῶν παθητικῶν ὁρμῶν, ἐν αἷς τὸ μᾶλλον καὶ τὸ ἧττόν ἐστι. γίνεται δὲ μεσότης καὶ λέγεται μάλιστα τῇ περὶ φθόγγους καὶ ἁρμονίας ὁμοίως. ἐκείνη τε γὰρ ἐμμελὴς οὖσα φωνὴ, καθάπερ ἡ νήτη καὶ ὑπάτη, τῆς μὲν τὴν ὀξύτητα, τῆς δὲ τὴν βαρύτητα τὴν ἄγαν διαπέφευγεν. αὐτή τε κίνησις οὖσα καὶ δύναμις περὶ τὸ ἄλογον, τὰς ἐκλύσεις καὶ τὰς ἐπιτάσεις καὶ ὅλως τὸ μᾶλλον καὶ τὸ ἧττον ἐξαιρεῖ τῆς ὁρμῆς, εἰς τὸ μέτριον καὶ ἀναμάρτητον καθιστᾶσα τῶν παθῶν ἕκαστον. αὐτίκα τὴν μὲν ἀνδρίαν μεσότητα φασὶν εἶναι δειλίας καὶ θρασύτητος, ὧν ἡ μὲν, ἔλλειψις, ἡ δὲ, ὑπερβολὴ τοῦ θυμοειδοῦς ἐστι· τὴν δὲ ἐλευθεριότητα, μικρολογίας καὶ ἀσωτίας· πρᾳότητα δὲ, ἀναλγησίας καὶ ὠμότητος· αὐτήν τε σωφροσύνην καὶ δικαιοσύνην, τὴν μὲν περὶ τὰ συμβόλαια, μήτε πλέον νέμουσαν αὑτῇ τοῦ προσήκοντος, μήτε ἔλαττον, τὴν δὲ εἰς τὸ μέσον ἀπαθείας καὶ ἀναισθησίας καὶ ἀκολασίας ἀεὶ τὰς ἐπιθυμίας καθιστᾶσαν. ἐν ᾧ δὴ καὶ μάλιστα δοκεῖ τὸ ἄλογον τῆς πρὸς τὸ λογικὸν διαφορᾶς αὐτοῦ παρέχειν κατανόησιν, καὶ δεικνύειν τὸ πάθος, ὡς ἕτερόν τι κομιδῇ τοῦ λόγου ἐστίν. οὐ γὰρ ἂν διέφερε σωφροσύνης ἐγκράτεια, καὶ ἀκολασίας ἀκρασία περὶ τὰς ἡδονὰς καὶ τὰς ἐπιθυμίας, εἰ ταυ-

τὸν ἣν τῆς ψυχῆς ὃ ἐπιθυμεῖν ὅ τε κρίνειν πέφυκε. νῦν δὲ σωφροσύνη μέν ἐστιν, οὗ τὸ παθητικὸν ὥςπερ εὐήνιον θρέμμα καὶ πρᾶον ὁ λογισμὸς ἡνιοχεῖ καὶ μεταχειρίζεται, περὶ τὰς ἐπιθυμίας χρώμενος ὑπείκοντι καὶ δεχομένῳ τὸν χαλινὸν καὶ κρατοῦντι τὴν ἐπιθυμίαν· ἐγκράτειαν δὲ οὐκ ἀλύπως ἄγει, οὐδὲ πειθομένην, ἀλλὰ πλαγίαν καὶ ἀντιτείνουσαν, οἷον ὑπὸ πληγῆς καὶ χαλινοῦ καταβιαζόμενος καὶ ἀνακρούων, ἀγῶνος ὢν ἐν ἑαυτῷ καὶ θορύβου μεστός· οἷον ὁ Πλάτων ἐξεικονίζει περὶ τὰ τῆς ψυχῆς ὑποζύγια, τοῦ χείρονος πρὸς τὸ βέλτιον ζυγομαχοῦντος ἅμα καὶ τὸν ἡνίοχον διαταράττοντος, ἀντέχειν ὀπίσω, καὶ κατατείνειν ὑπὸ σπουδῆς ἀναγκαζόμενον ἀεὶ, μὴ βάλῃ φοίνικας ἐκ χειρῶν ἱμάντας, κατὰ Σιμωνίδην. ὅθεν οὐδ' ἀρετὴν αὐτοτελῆ ἀξιοῦσι τὴν ἐγκράτειαν, ἀλλὰ ἔλαττον ἀρετῆς εἶναι· μεσότης γὰρ οὐ γέγονεν ἐκ συμφωνίας τοῦ χείρονος πρὸς τὸ βέλτιον, οὐδ' ἀνῄρηται τοῦ πάθους τὸ ὑπερβάλλον, οὐδὲ πειθόμενον οὐδὲ ὁμολογοῦν τῷ φρονοῦντι τῆς ψυχῆς τὸ ἐπιθυμοῦν, ἀλλὰ λυποῦν καὶ λυπούμενον καὶ κατειργόμενον ὑπ' ἀνάγκης, ὥςπερ ἐν στάσει δυςμενὲς καὶ πολέμιον συνοικεῖ·

Πόλις δ' ὁμοῦ μὲν θυμιαμάτων γέμει,
Ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων,

ἡ τοῦ ἐγκρατοῦς ψυχὴ διὰ τὴν ἀνωμαλίαν καὶ τὴν διαφοράν. κατὰ ταυτὰ δὲ οἴονται καὶ τὴν ἀκρασίαν ἔλαττόν τι κακίας εἶναι, παντελῆ δὲ κακίαν, τὴν ἀκολασίαν. αὕτη μὲν γὰρ ἔχουσα καὶ πάθος φαῦλον καὶ λόγον, ὑφ' οὗ μὲν ἐξάγεται τῷ ἐπιθυμεῖν πρὸς

τὸ αἰσχρὸν, ὑφ' οὗ δὲ τῷ κακῶς κρίνειν προςτιθεμένου ταῖς ἐπιθυμίαις, καὶ τὴν αἴσθησιν ἀποβάλλει τῶν ἁμαρτανομένων. ἡ δὲ ἀκρασία τῷ μὲν λόγῳ σώζει τὴν κρίσιν ὀρθὴν οὖσαν, τῷ δὲ πάθει φέρεται παρὰ τὴν κρίσιν ἰσχύοντι τοῦ λόγου μᾶλλον· ὅθεν διαφέρει τῆς ἀκολασίας. ὅπου μὲν γὰρ ἡττᾶται τοῦ πάθους ὁ λογισμὸς, ὅπου δ' οὐδὲ μάχεται· καὶ ὅπου μὲν ἀντιλέγων ἕπεται ταῖς ἐπιθυμίαις, ὅπου δὲ ὑφηγεῖται συναγορεύων· καὶ ὅπου μὲν ἡδομένῳ κοινωνεῖν ὑπάρχει τῶν ἁμαρτανομένων, ὅπου δὲ, ἀχθομένῳ· καὶ ὅπου μὲν ἑκὼν φέρεται πρὸς τὸ αἰσχρὸν, ὅπου δὲ προδίδωσιν ἄκων τὸ καλόν· ὡς τοῖς πραττομένοις ὑπ' αὐτῶν, οὐχ ἧττον δὲ καὶ τοῖς λεγομένοις ἔνεστιν ἡ διαφορὰ κατάδηλος· ἀκολάστων μὲν γὰρ αἵδε φωναί·

> Τίς δὲ χάρις, τί δὲ τερπνὸν ἄνευ χρυσῆς Ἀφροδίτης;
> Τεθναίην, ὅτε μοι μηκέτι ταῦτα μέλοι.

καὶ ἕτερος·

> Τὸ φαγεῖν, τὸ πιεῖν, τὸ τῆς Ἀφροδίτης τυγχάνειν,
> Τὰ δ' ἄλλα προσθήκας ἅπαντ' ἐγὼ καλῶ,

φησὶν, ὥσπερ ἐξ ὅλης τῆς ψυχῆς συνεπινεύων ταῖς ἡδοναῖς καὶ ὑπερειπόμενος. οὐχ ἧττον δὲ τούτων ὁ εἰπών·

> Ἔα μ' ἀπολέσθαι. τοῦτο γάρ μοι συμφέρει.

τὴν κρίσιν ἔχει τῷ πάθει συννοσοῦσαν. αἱ δὲ τῆς ἀκρασίας ἕτεραι καὶ διαφέρουσαι·

> Γνώμην ἔχοντά μ' ἡ φύσις βιάζεται.

καί·

*Αἲ αἴ, τὸ δὴ θεῖον ἀνθρώποις κακὸν,*
*Ὅταν τις εἰδῇ τἀγαθὸν, χρῆται δὲ μή.*

καί·

*Ἕλκει με γὰρ ἤδη θυμὸς, οὐδ' ἔτ' ἀντέχει,*
*Θινῶδες ὡς ἄγκιστρον ἀγκύρας σάλῳ·*

Θινῶδες ἄγκιστρον οὐ φαύλως λέγων, τὸ μὴ κάτοχον τοῦ λογισμοῦ μηδὲ ἀραρὸς, ἀλλὰ μανότητι τῆς ψυχῆς καὶ μαλακίᾳ προϊέμενον τὴν κρίσιν. οὐ πόῤῥω δὲ τῆς εἰκόνος ταύτης κἀκεῖνα εἴρηται·

*Ναῦς ὥς τις ἐκ μὲν γῆς ἀνήρτηται βρόχοις,*
*Πνεῖ δ' οὖρος, ἡμῖν δ' οὐ κρατεῖ τὰ πείσματα.*

πείσματα γὰρ λέγει τὰς ἀντεχούσας κρίσεις πρὸς τὸ αἰσχρὸν, εἶτα ὥςπερ ὑπὸ πνεύματος πολλοῦ ῥηγνυμένας τοῦ πάθους. τῷ γὰρ ὄντι πλησίστιος μὲν ἐπὶ τὰς ἡδονὰς ὁ ἀκόλαστος ὑπὸ τῶν ἐπιθυμιῶν φέρεται, καὶ δίδωσιν ἑαυτὸν καὶ συγκατευθύνει· πλάγιος δὲ ὁ ἀκρατὴς, οἷον ἐξαναφέρειν γλιχόμενος καὶ διωθεῖσθαι τὸ πάθος, ὑποσύρει καὶ περιπίπτει περὶ τὸ αἰσχρόν· ὡς Ἀνάξαρχον ἐσίλλαινε Τίμων·

*Ἐν δὲ τὸ θαρσαλέον τε καὶ ἐμμενὲς ὅππη ὀροῦσαι*
*Φαίνετ' Ἀναξάρχου κύνεον μένος· ὅς ῥα καὶ εἰδὼς,*
*Ὡς φάσαν, ἄθλιος ἔσκε, φύσις δέ μιν ἔμπαλιν ἦγεν*
*Ἡδονοπλὴξ, ἣν πλεῖστοι ὑποτρείουσι σοφιστῶν.*

οὔτε γὰρ ὁ σοφὸς, ἐγκρατὴς, ἀλλὰ σώφρων· οὔτε ὁ ἀμαθὴς, ἀκρατὴς, ἀλλὰ ἀκόλαστος. ὁ μὲν γὰρ ἥδεται τοῖς καλοῖς, ὁ δὲ οὐκ ἄχθεται τοῖς αἰσχροῖς. σοφιστικῆς οὖν ψυχῆς ἡ ἀκρασία, λόγον ἐχούσης οἷς ἔγνωκεν ὀρθῶς ἐμμένειν μὴ δυνάμενον.

VII. Ἡ μὲν οὖν ἀκρασία ταύτας ἔχει διαφορὰς πρὸς τὴν ἀκολασίαν, ἡ δὲ ἐγκράτεια πρὸς τὴν σωφροσύνην αὖθις αὖ τὰς ἀντιστρόφους ἀναλόγως. τὸ γὰρ δάκνον καὶ τὸ λυποῦν καὶ τὸ ἀγανακτοῦν, οὔπω τὴν ἐγκράτειαν ἀπολέλοιπε· τῆς δὲ σώφρονος ψυχῆς τὸ πανταχόθεν ὁμαλὲς καὶ ἄσφυκτον καὶ ὑγιαῖνον, ᾧ συνήρμοσται καὶ συγκέκραται τὸ ἄλογον πρὸς τὸν λογισμὸν εὐπειθείᾳ καὶ πρᾳότητι θαυμαστῇ κεκοσμημένον, εἴποις ἂν ἐπιβλέψας·

*Δὴ τότ᾽ ἔπειτ᾽ ἄνεμος μὲν ἐπαύσατο, ἡ δὲ γαλήνη*
*Ἔπλετο νηνεμίη, κοίμισσε δὲ κύματα δαίμων·*

τὰ σφοδρὰ καὶ περιμανῆ καὶ οἰστρώδη κινήματα τῶν ἐπιθυμιῶν τοῦ λόγου κατασβέσαντος, ὧν δὲ ἡ φύσις ἀναγκαίως δεῖται, ταῦτα ὁμοιοπαθῆ καὶ ὑπήκοα καὶ φίλα καὶ συνεργὰ πεποιημένου ταῖς πρακτικαῖς προαιρέσεσιν· ὥςτε μὴ προεκθεῖν τοῦ λογισμοῦ, μηδὲ ὑπενδιδόναι, μηδὲ ἀτακτεῖν, μηδὲ ἀπειθεῖν, ἀλλὰ πᾶσαν ὁρμὴν εὐάγωγον οὖσαν,

*Ἄθηλον ἵππῳ πῶλον ὡς ἅμα τρέχειν,*

ἐπιβεβαιοῦσαν τὸν Ξενοκράτους λόγον, ὃν ἐκεῖνος εἶπε περὶ τῶν ἀληθῶς φιλοσοφούντων, ὅτι μόνοι ποιοῦσιν ἑκουσίως ἃ ποιοῦσιν ἄκοντες οἱ λοιποὶ, διὰ τὸν νόμον, ὥςπερ ὑπὸ πληγῆς κύνες, ἢ γαλεοὶ ψόφῳ, τῶν ἡδονῶν ἀποτρεπόμενοι, καὶ πρὸς τὸ δεινὸν ἀποβλέποντες. ὅτι μὲν οὖν γίνεταί τις ἐν τῇ ψυχῇ τοιαύτης στεῤῥότητος αἴσθησις καὶ διαφορὰ περὶ τὰς ἐπιθυμίας, ὡς τινος μαχομένου καὶ τἀναντία λέγοντος αὐταῖς, οὐκ ἄδηλόν ἐστιν. ἔνιοι δέ φασιν οὐχ ἕτερον εἶναι τοῦ λόγου τὸ πάθος, οὐδὲ δυοῖν

διαφορὰν καὶ στάσιν, ἀλλὰ ἑνὸς λόγου τροπὴν ἐπ' ἀμφότερα, λανθάνουσαν ἡμᾶς ὀξύτητι καὶ τάχει μεταβολῆς· οὐ συνορῶντας, ὅτι ταυτόν ἐστι τῆς ψυχῆς ὃ πέφυκεν ἐπιθυμεῖν καὶ μετανοεῖν, ὀργίζεσθαι καὶ δεδιέναι, φέρεσθαι πρὸς τὸ αἰσχρὸν ὑφ' ἡδονῆς, καὶ φερομένης πάλιν αὐτῆς ἐπιλαμβάνεσθαι· καὶ γὰρ ἐπιθυμίαν καὶ ὀργὴν καὶ φόβον καὶ τὰ τοιαῦτα πάντα, δόξας εἶναι καὶ κρίσεις πονηράς, οὐ περὶ ἕν τι γινομένας τῆς ψυχῆς μέρος, ἀλλὰ ὅλου τοῦ ἡγεμονικοῦ ῥοπὰς καὶ εἴξεις, καὶ συγκαταθέσεις καὶ ὁρμάς, καὶ ὅλως ἐνεργείας τινὰς οὔσας ἐν ὀλίγῳ μεταπτωτάς, ὥςπερ αἱ τῶν παίδων ἐπιδρομαὶ τὸ ῥαγδαῖον καὶ τὸ σφοδρὸν ἐπισφαλὲς ὑπὸ ἀσθενείας καὶ ἀβέβαιον ἔχουσι. ταῦτα δὲ πρῶτον μὲν παρὰ τὴν ἐνάργειάν ἐστι καὶ τὴν αἴσθησιν· οὐδεὶς γὰρ ἐν ἑαυτῷ τοῦ ἐπιθυμοῦντος αἰσθάνεται μεταβολὴν εἰς τὸ κρῖνον, οὐδὲ τοῦ κρίνοντος αὖ πάλιν εἰς τὸ ἐπιθυμοῦν· οὐδὲ παύεται μὲν ἐρῶν ὁπότε λογίζεται καθεκτέον εἶναι τὸν ἔρωτα, καὶ διαμαχητέον πρὸς αὐτόν, ἐξίσταται δὲ πάλιν τοῦ λογίζεσθαι καὶ κρίνειν, ὅταν ἐνδιδῷ μαλασσόμενος ὑπὸ τῆς ἐπιθυμίας. ἀλλὰ καὶ τῷ λόγῳ πρὸς τὸ πάθος ἀντιβαίνων, ἐν τῷ πάθει ἐστὶν ἔτι, καὶ πάλιν κρατούμενος ὑπὸ τοῦ πάθους, διορᾷ τῷ λογισμῷ τὸ ἁμαρτανόμενον· καὶ οὔτε τῷ πάθει τὸν λόγον ἀνῄρηκεν, οὔτε τῷ λογίζεσθαι τοῦ πάθους ἀπήλλακται, φερόμενος δὲ ἑκατέρωσε, μέσος ἀμφοῖν καὶ κοινός ἐστιν. οἱ δὲ νῦν μὲν ἐπιθυμίαν γίνεσθαι τὸ ἡγεμονικόν, νῦν δὲ τὸν ἀντιταττόμενον τῇ ἐπιθυμίᾳ λογισμὸν ὑπολαμβάνοντες, οὐδὲν ἀπέ-

χουσι τῶν μὴ δύο τὸν κυνηγὸν εἶναι καὶ τὸ θηρίον ὑπολαμβανόντων, ἀλλὰ ταυτὸ σῶμα χρώμενον μεταβολῇ, νῦν μὲν εἶναι θηρίον, νῦν δὲ γίνεσθαι κυνηγόν. ἐκεῖνοί τε γὰρ ἐμφανές τι παρορῶσιν, οὗτοί τε πρὸς τὴν αἴσθησιν ἀντιμαρτυροῦσιν, οὐχ ἑνός τινος μεταβολῆς, ἀλλὰ δυεῖν ἅμα, μάχης καὶ διαφορᾶς, ἐν ἑαυτοῖς αἰσθανόμενοι. τί οὖν; (φασὶν) οὐ καὶ τὸ βουλευόμενον τοῦ ἀνθρώπου πολλάκις διχοφορεῖ, καὶ πρὸς ἐναντίας ἀνθέλκεται δόξας περὶ τοῦ συμφέροντος, ἀλλὰ ἕν ἐστι; πάνυ μὲν οὖν, φήσομεν· ἀλλὰ τὸ συμβαῖνον οὐχ ὅμοιον. οὐ γὰρ μάχεται πρὸς ἑαυτὸ τῆς ψυχῆς τὸ φρονοῦν, ἀλλὰ μιᾷ χρώμενον δυνάμει διαφόρων ἐφάπτεται λογισμῶν· μᾶλλον δὲ εἷς λογισμός ἐστιν ἐν πράγμασι γινόμενος ἑτέροις, ὥςπερ ὕλαις διαφερούσαις. ὅθεν οὔτε λύπη τοῖς ἄνευ πάθους λογισμοῖς ἔνεστιν, οὔτε ὥςπερ ἐκβιαζόμενοι παρὰ γνώμην αἱροῦνται θάτερον, ἂν μὴ νὴ Δία λανθάνῃ πάθος τι προςηρτημένον ὥςπερ ἐπὶ ζυγοῦ. καὶ γὰρ τοῦτο συμβαίνει πολλάκις, οὐ λογισμοῦ τινος πρὸς λογισμὸν, ἀλλὰ φιλοτιμίας, ἢ φιλονεικίας, ἢ χάριτος, ἢ ζηλοτυπίας, ἢ δέους ἀντιβαίνοντος, οἴεσθαί τινα λόγων εἶναι δυεῖν διαφοράν· ὥςπερ ἐν τούτοις·

Αἴδεσθεν μὲν ἀνήνασθαι, δεῖσαν δ' ὑποδέχθαι.

καί·

Τὸ μὲν σφαγῆναι δεινὸν, εὔκλειαν δ' ἔχει·
Τὸ μὴ θανεῖν δὲ, δειλὸν, ἡδονὴ δ' ἔνι.

καὶ περὶ τὰς κρίσεις δὲ τῶν συμβολαίων ὑποτρέχοντα τὰ πάθη τὴν πλείστην ἐμποιεῖ διατριβήν· καὶ

περὶ τὰ συμβούλια τῶν βασιλέων οἱ πρὸς χάριν λέγοντες, οὐ δυεῖν κρίσεων τῇ ἑτέρᾳ συναγορεύουσιν, ἀλλὰ πάθει τινὶ προςτίθενται παρὰ τὸν τοῦ συμφέροντος λογισμόν· διὸ τοὺς ῥήτορας ἐν ταῖς ἀριστοκρατίαις οἱ ἄρχοντες οὐκ ἐῶσι παθαίνεσθαι. ῥέπει γὰρ εὐθεῖαν ῥοπὴν ὁ ἀπαθὴς λογισμὸς ἐπὶ τὸ δίκαιον· ἂν δὲ πάθος ἐγγένηται, μάχην ποιεῖ καὶ διαφορὰν τὸ ἡδόμενον καὶ τὸ ἀλγοῦν πρὸς τὸ κρῖνον καὶ τὸ βουλευόμενον· ἐπεὶ διὰ τί τοῖς ἐν φιλοσοφίᾳ σκέμμασιν οὐ πρόςεστι τὸ μετὰ λύπης ὑπὸ τῶν ἑτέρων ἄγεσθαι καὶ μετατίθεσθαι πολλάκις, ἀλλ' αὐτός τε Ἀριστοτέλης, Δημόκριτός τε καὶ Χρύσιππος ἔνια τῶν πρόσθεν αὐτοῖς ἀρεσκόντων ἀθορύβως καὶ ἀδήκτως καὶ μεθ' ἡδονῆς ἀφεῖσαν; ὅτι τῷ θεωρητικῷ καὶ μαθηματικῷ τῆς ψυχῆς, πάθος οὐδὲν ἀνθέστηκεν, ἀλλ' ἀτρεμεῖ καὶ οὐ πολυπραγμονεῖ τὸ ἄλογον ἐν τούτοις. διὸ πρὸς τὸ ἀληθὲς ὁ λογισμὸς, ὅταν φανῇ, προέμενος τὸ ψεῦδος, ἀσμένως ἀπέκλινεν. ἐν αὐτῷ γάρ ἐστιν, οὐκ ἐν ἑτέρῳ, τὸ πειθόμενον καὶ μεταπειθόμενον. αἱ δὲ πραγματικαὶ βουλαὶ καὶ κρίσεις καὶ δίαιται τῶν πολλῶν ἐμπαθεῖς οὖσαι, δυςοδίαν τῷ λόγῳ παρέχουσι καὶ δυςκολίαν, ἐνισχομένῳ καὶ ταραττομένῳ περὶ τὸ ἄλογον, ἀνταῖρον αὐτῷ μεθ' ἡδονῆς τινος, ἢ δέους, ἢ λύπης, ἢ ἐπιθυμίας. καὶ τούτων κριτήριον ἡ αἴσθησίς ἐστιν ἀμφοτέρων ἐφαπτομένη· καὶ γὰρ ἂν περιγένηται θάτερον, οὐκ ἀνῄρηκε θάτερον, ἀλλ' ἐφέλκεται καταβιαζόμενον καὶ ἀντιτεῖνον. ὁ γὰρ νουθετῶν αὐτὸν ἐρῶντα, χρῆται τῷ λογισμῷ πρὸς τὸ πάθος, ὡς

ἀμφοτέρων ἐνόντων ἅμα τῇ ψυχῇ, καθάπερ χειρὶ, φλεγμαῖνον ἕτερον μέρος πιέζων, καὶ δυεῖν ὄντων καὶ διαφερόντων ἐπαισθανόμενος. ἐν μέντοι ταῖς ἀπαθέσι βουλαῖς καὶ σκέψεσιν, οἵας ἔχει μάλιστα τὸ θεωρητικὸν, ἂν μὲν ἴσαι μένωσιν, οὐ γέγονε κρίσις, ἀλλὰ ἀπορία, στάσις οὖσα καὶ μονὴ διανοίας ὑπὸ ἐναντίων λόγων· ἂν δὲ ῥοπὴ γένηται πρὸς θάτερον, ἡ κρατήσασα τὴν ἑτέραν λέλυκεν, ὥστε μὴ λυπεῖν μηδὲ ὑπεναντιοῦσθαι πρὸς τὴν δόξαν. ὅλως δὲ λογισμοῦ μὲν ἀντικεῖσθαι λογισμῷ δοκοῦντος, οὐ γίνεται δυεῖν καὶ ἑτέρων αἴσθησις, ἀλλὰ ἑνός τινος ἐν διαφόροις γινομένου φαντασίαις· ὅταν δὲ τὸ ἄλογον μάχηται τῷ λογισμῷ, μήτε κρατεῖν ἀλύπως μήτε κρατεῖσθαι πεφυκὸς, εὐθὺς ὡς δύο διΐστησι τῇ μάχῃ τὴν ψυχὴν, καὶ ποιεῖ τὴν διαφορὰν πρόδηλον.

VIII. Οὐ μόνον τοίνυν ἀπὸ τῆς μάχης, ἀλλ' οὐδὲν ἧττον ἀπὸ τῆς ἀκολουθίας κατίδοι τις ἂν τὴν παθητικὴν ἀρχὴν τῆς λογικῆς οὖσαν ἑτέραν. ἐπεὶ γάρ ἐστι μὲν ἐρᾷν εὐφυοῦς πρὸς ἀρετὴν καὶ γενναίου παιδὸς, ἔστι δὲ φαύλου καὶ ἀκολάστου, συμβαίνει δὲ θυμῷ χρῆσθαι μὲν ἀλόγως πρὸς παῖδας αὑτοῦ καὶ γονεῖς, χρῆσθαι δὲ ὑπὲρ γονέων καὶ παίδων δικαίως πρὸς πολεμίους καὶ τυράννους· ὥσπερ ἐκεῖ μάχης καὶ διαφορᾶς τοῦ πάθους πρὸς τὸν λογισμὸν αἴσθησίς ἐστιν, οὕτως ἐνταῦθα πειθοῦς καὶ ἀκολουθίας, οἷον ἐπιῤῥέοντος καὶ συνεπιδιδόντος. ἔτι τοίνυν καὶ γυναῖκα γήμας κατὰ νόμους ἀνὴρ ἐπιεικὴς διανοεῖται περιέπειν καὶ συνεῖναι δικαίως καὶ

σωφρόνως, χρόνῳ δὲ τῆς συνηθείας ἐντεκούσης πάθος αἰσθάνεται τῷ λογισμῷ τὸ φιλεῖν καὶ τὸ ἀγαπᾷν ἐπιτεινόμενον· ὥςπερ αὖ καὶ νέοι διδασκάλοις ἐντυχόντες ἀστείοις, ὑπὸ χρείας τὸ πρῶτον ἕπονται καὶ ζηλοῦσιν, ὕστερον δὲ καὶ φιλοῦσιν, ἀντὶ γνωρίμων καὶ μαθητῶν ἐρασταὶ καλούμενοι καὶ ὄντες. τὸ δ' αὐτὸ συμβαίνει καὶ πρὸς ἄρχοντας ἐν πόλεσι χρηστοὺς, καὶ γείτονας, καὶ κηδεστάς· ἀρξάμενοι γὰρ ὑπὸ χρείας τινὸς καθηκόντως ἀλλήλοις ὁμιλεῖν, ἔπειτα λανθάνουσιν εἰς τὸ φιλεῖν ὑποφερόμενοι, συνεπισπασαμένου τοῦ λογισμοῦ καὶ συναναπείσαντος τὸ παθητικόν. ὁ δ' εἰπών·

Αἰδώς τε· δισσαὶ δ' εἰσὶν, ἡ μὲν οὐ κακὴ,
Ἡ δ' ἄχθος οἴκων·

ἆρ' οὐ δῆλός ἐστι συνησθημένος ἐν ἑαυτῷ τοῦτο τὸ πάθος πολλάκις, παρὰ τὸν λόγον ὄκνοις καὶ μελλήσεσι καιροὺς καὶ πράγματα λυμαινόμενον;

IX. Οἷς καὶ οὗτοι τρόπον τινὰ διὰ τὴν ἐνάργειαν ὑπείκοντες, αἰδεῖσθαι τὸ αἰσχύνεσθαι καλοῦσι, καὶ τὸ ἥδεσθαι χαίρειν, καὶ τοὺς φόβους εὐλαβείας· ταύτην μὲν οὐδενὸς ἂν αἰτιασαμένου τὴν εὐφημίαν, εἰ τὰ αὐτὰ πάθη προςτιθέμενα μὲν τῷ λογισμῷ τούτοις καλοῦσι τοῖς ὀνόμασι, μαχόμενα δὲ καὶ βιαζόμενα τὸν λογισμὸν ἐκείνοις. ὅταν δὲ δακρύοις ἐλεγχόμενοι καὶ τρόμοις καὶ χρόας μεταβολαῖς, ἀντὶ λύπης καὶ φόβου δηγμούς τινας καὶ συνεύρσεις λέγωσι, καὶ προθυμίας τὰς ἐπιθυμίας ὑποκορίζωνται, σοφιστικὰς δοκοῦσιν, οὐ φιλοσόφους δικαιώσεις καὶ ἀποδράσεις ἐκ τῶν πραγμάτων μη-

χαννῦσθαι διὰ τῶν ὀνομάτων. καίτοι πάλιν αὐτοὶ τάς τε χαρὰς ἐκείνας καὶ τὰς βουλήσεις καὶ τὰς εὐλαβείας, εὐπαθείας καλοῦσιν, οὐκ ἀπαθείας, ὀρθῶς ἐνταῦθα χρώμενοι τοῖς ὀνόμασι. γίνεται γὰρ εὐπάθεια τοῦ λογισμοῦ τὸ πάθος οὐκ ἀναιροῦντος, ἀλλὰ κοσμοῦντος καὶ τάττοντος ἐν τοῖς σωφρονοῦσιν. οἱ δὲ φαῦλοι καὶ ἀκρατεῖς τί πάσχουσιν; ὅταν τὸν πατέρα καὶ τὴν μητέρα κρίναντες φιλεῖν, ἀντὶ τοῦ ἐρωμένου καὶ τῆς ἐρωμένης μὴ δύνωνται, τὴν δὲ ἑταίραν καὶ τὸν κόλακα κρίναντες, εὐθὺς καὶ φιλῶσιν. εἰ γὰρ τὸ πάθος ἦν κρίσις, ἔδει τῇ τοῦ φιλεῖν χρῆναι καὶ μισεῖν κρίσει, τὸ φιλεῖν ἕπεσθαι καὶ τὸ μισεῖν· νυνὶ δὲ συμβαίνει τἀναντία, ταῖς μὲν προςτιθεμένου τοῦ πάθους κρίσεσι, ταῖς δὲ ἀπειθοῦντος. ἢ καὶ φασὶν αὐτοὶ τῶν πραγμάτων ἐκβιαζομένων, οὐ πᾶσαν εἶναι κρίσιν πάθος, ἀλλὰ τὴν κινητικὴν ὁρμῆς βιαίου καὶ πλεοναζούσης· ὁμολογοῦντες ἕτερον εἶναι τὸ κρῖνον καὶ τὸ πάσχον ἐν ἡμῖν, ὥςπερ τὸ κινοῦν καὶ τὸ κινούμενον. αὐτός τε Χρύσιππος ἐν πολλοῖς ὁριζόμενος τὴν καρτερίαν καὶ τὴν ἐγκράτειαν ἕξεις ἀκολουθητικὰς τῷ αἱροῦντι λόγῳ, δῆλός ἐστιν ὑπὸ τῶν πραγμάτων ὁμολογεῖν ἀναγκαζόμενος, ὡς ἕτερόν ἐστι τὸ ἀκολουθοῦν ἐν ἡμῖν τοῦ ᾧ ἀκολουθεῖ πειθόμενον, ἢ πάλιν μάχεται μὴ πειθόμενον.

X. Ἴσα τοίνυν τὰ ἁμαρτήματα πάντα καὶ πάσας τιθέμεναι τὰς ἁμαρτίας, εἰ μὲν ἄλλῃ πῃ παρορῶσι τὸ ἀληθές, οὐκ ἔστι καιρὸς ἐν τῷ παρόντι διελέγχειν· ἐν δὲ τοῖς πλείοσι φαίνονται κομιδῇ παρὰ

τὴν ἐνάργειαν ἐνιστάμενοι τῷ λόγῳ. πᾶν μὲν γὰρ πάθος ἁμαρτία κατ᾽ αὐτούς ἐστι, καὶ πᾶς ὁ λυπούμενος, ἢ φοβούμενος, ἢ ἐπιθυμῶν, ἁμαρτάνει. μεγάλαι δὲ τῶν παθῶν διαφοραὶ κατὰ τὸ μᾶλλον καὶ ἧττον ὁρῶνται. τίς γὰρ ἂν φαίη τὸν Δόλωνος φόβον ἴσον εἶναι τῷ Αἴαντος, ἐντροπαλιζομένου καὶ βάδην ἀπιόντος ἐκ τῶν πολεμίων, ὀλίγον γόνυ γόνυνὸς ἀμείβοντος; ἢ τῇ Πλάτωνος ἐπὶ Σωκράτει τελευτήσαντι λύπῃ, τὴν Ἀλεξάνδρου διὰ Κλεῖτον, ἑαυτὸν ἀνελεῖν ὁρμήσαντος; ἐπιτείνονται γὰρ οὐ μετρίως καὶ τῷ παρὰ λόγον αἱ λῦπαι· καὶ τὸ παρ᾽ ἐλπίδα σύμπτωμα, τοῦ κατὰ λόγον ὀδυνηρότερον· εἴ προσδοκῶν εὐημεροῦντα καὶ θαυμαζόμενον ὄψεσθαι, πύθοιτο κατεστρεβλωμένον, ὡς Φιλώταν Παρμενίων. θυμῷ δὲ τίς ἂν εἴποι πρὸς Ἀνάξαρχον ἴσῳ κεχρῆσθαι Νικοκρέοντα καὶ πρὸς Φιλήμονα Μάγαν, ἀμφοτέρους λοιδορηθέντας ὑπ᾽ αὐτῶν; ὁ μὲν γὰρ ὑπέροις σιδηροῖς κατέπτισσε καὶ κατέκοπτεν ἐκεῖνον· ὁ δὲ τῷ Φιλήμονι τὸν δήμιον ἐκέλευσεν ἐπὶ τὸν τράχηλον ἐπιθεῖναι γυμνὴν τὴν μάχαιραν, εἶτα ἀφεῖναι. διὸ καὶ νεῦρα τῆς ψυχῆς τὸν θυμὸν ὁ Πλάτων προςεῖπεν, ὡς ἐπιτεινόμενόν τε πικρίᾳ καὶ πρᾳότητι χαλώμενον. ταῦτα τοίνυν καὶ τὰ τοιαῦτα διακρουόμενοι, τὰς ἐπιτάσεις τῶν παθῶν καὶ τὰς σφοδρότητας οὔ φασι γίνεσθαι κατὰ τὴν κρίσιν, ἐν ᾗ τὸ ἁμαρτητικὸν, ἀλλὰ τὰς λήξεις καὶ τὰς συστολὰς καὶ διαχύσεις εἶναι τὰς τὸ μᾶλλον καὶ τὸ ἧττον τῷ λόγῳ δεχομένας. καίτοι καὶ περὶ τὰς κρίσεις φαίνονται γινόμεναι διαφοραί· τήν τε γὰρ πενίαν οἱ

μὲν οὐ κακὸν, οἱ δὲ καὶ μέγα κρίνουσι κακὸν, οἵ δέ γε καὶ μέγιστον, ὥστε καὶ κατὰ τῶν πετρῶν καὶ κατὰ τῆς θαλάττης ὠθεῖν ἑαυτούς· τόν τε θάνατον οἱ μὲν ἀγαθῶν στερήσει μόνον, οἱ δὲ, καὶ τιμωρίαις αἰωνίοις ὑπὸ γῆν, καὶ κολασμοῖς φρικώδεσι, κακὸν εἶναι νομίζουσιν· ἥ τε τοῦ σώματος ὑγεία τοῖς μὲν ὡς κατὰ φύσιν καὶ χρήσιμον ἀγαπᾶται, τοῖς δὲ τῶν ὄντων δοκεῖ μέγιστον ἀγαθόν· οὔτε γὰρ πλούτου χάριν ἢ τεκέων, οὔτε τῆς ἰσοδαίμονος ἀνθρώποις βασιληΐδος ἀρχᾶς, τελευτῶντες δὲ καὶ τὴν ἀρετὴν ἀνωφελῆ καὶ ἀνόνητον ἡγοῦνται, τοῦ ὑγιαίνειν μὴ παρόντος· ὥστε φαίνεσθαι καὶ περὶ τὰς κρίσεις αὐτὰς, τοὺς μὲν μᾶλλον, τοὺς δὲ ἧττον ἁμαρτάνοντας. ἀλλὰ οὐ τοῦτο νῦν διελεγκτέον, ἐκεῖνο δ' ἐκ τούτου ληπτέον, ὅτι συγχωροῦσι καὶ αὐτοὶ τῆς κρίσεως ἕτερον εἶναι τὸ ἄλογον· καθ' ὅ φασι γίνεσθαι τὸ πάθος σφοδρότερον καὶ μεῖζον, ἐρίζοντες πρὸς τοὔνομα καὶ τὸ ῥῆμα, τὰ δὲ πράγματα διδόντες τοῖς διαφέρειν τὸ παθητικὸν καὶ ἄλογον τοῦ λογιζομένου καὶ κρίνοντος ἀποφαινομένοις. ἐν δὲ τοῖς περὶ ἀνομολογίας ὁ Χρύσιππος εἰπὼν, ὅτι τυφλόν ἐστιν ἡ ὀργὴ, καὶ πολλάκις μὲν οὐκ ἐᾷ ὁρᾶν τὰ ἐκφανῆ, πολλάκις δὲ τοῖς καταλαμβανομένοις ἐπιπροσθεῖ· μικρὸν προελθών· Τὰ γὰρ ἐπιγινόμενα (φησὶ) πάθη, ἐκκρούει τοὺς λογισμοὺς, καὶ τὰ ὡς ἑτέρως φαινόμενα, βιαίως προωθοῦντα ἐπὶ τὰς ἐναντίας πράξεις· εἶτα χρῆται μάρτυρι τῷ Μενάνδρῳ, λέγοντι·

Οἴ μοι τάλας ἔγωγε, ποῦ ποτε φρένες
Ἡμῶν ἐκεῖνον ἦσαν ἐν τῷ σώματι,

Τὸν χρόνον, οὐ ταῦτ', ἀλλ' ἐκεῖνα, αἱρούμεθα. καὶ πάλιν ὁ Χρύσιππος προελθών· Τοῦ λογικοῦ (φησὶ) ζώου φύσιν ἔχοντος προσχρῆσθαι εἰς ἕκαστα τῷ λόγῳ, καὶ ὑπὸ τούτου κυβερνᾶσθαι, πολλάκις ἀποστρέφεσθαι αὐτὸν ἡμᾶς, ἄλλῃ βιαιοτέρᾳ φορᾷ χρωμένους· ὁμολογῶν τὸ συμβαῖνον ἐκ τῆς πρὸς τὸν λόγον τοῦ πάθους διαφορᾶς. ἐπεὶ καὶ γελοῖόν ἐστιν, ᾗ φησι Πλάτων, αὐτόν τινα λέγειν αὐτοῦ κρείττονα, καὶ πάλιν χείρονα· καὶ τὸν μὲν, κρατοῦντα ἑαυτοῦ, τὸν δὲ, μὴ κρατοῦντα.

XI. Πῶς γὰρ οἷόν τε τὸν αὐτὸν αὑτοῦ κρείττονα εἶναι καὶ χείρονα; ἢ κρατεῖν ἅμα καὶ κρατεῖσθαι; μὴ τρόπον τινὰ διττοῦ πεφυκότος ἑκάςου, καὶ τὸ μὲν χεῖρον ἐν ἑαυτῷ, τὸ δὲ βέλτιον ἔχοντος· οὕτω γὰρ ὁ μὲν τοῦ βελτίονος ὑπηκόῳ τῷ χείρονι χρώμενος, ἐγκρατὴς ἑαυτοῦ καὶ κρείττων ἐστίν· ὁ δὲ τῷ ἀκολάστῳ καὶ ἀλόγῳ τῆς ψυχῆς ἑπόμενον περιορῶν καὶ ὑπηρετοῦν τὸ κρεῖττον, ἥττων ἑαυτοῦ καὶ ἀκρατὴς λέγεται, καὶ παρὰ φύσιν διακείμενος. φύσει γὰρ προσήκει θεῖον ὄντα τὸν λογισμὸν, ἡγεῖσθαι καὶ ἄρχειν τοῦ ἀλόγου, καὶ τὴν γένεσιν αὐτόθεν ἔχοντος ἐκ τοῦ σώματος· ᾧ καὶ συνεξομοιοῦσθαι καὶ κοινωνεῖν παθῶν καὶ ἀναπίμπλασθαι πέφυκεν, ἐνδεδυκὼς αὐτῷ καὶ καταμεμιγμένος, ὡς δηλοῦσιν αἱ ὁρμαὶ πρὸς τὰ σωματικὰ κινούμεναι, καὶ σφοδρότητας ἐν ταῖς τοῦ σώματος μεταβολαῖς καὶ ἀνέσεις λαμβάνουσαι. διὸ νέοι μὲν καὶ ὀξεῖς καὶ ἴταμοὶ περί τε τὰς ὀρέξεις διάπυροι καὶ οἰστρώδεις αἵματος πλήθει καὶ θερμότητι· τῶν δὲ πρεσβυτῶν ἡ

περὶ τὸ ἧπαρ ἀρχὴ τοῦ ἐπιθυμητικοῦ κατασβέννυνται, καὶ γίνεται μικρὰ καὶ ἀσθενής· ἰσχύει δὲ μᾶλλον ὁ λόγος τοῦ παθητικοῦ τῷ σώματι συναπομαραινομένου. τοῦτο δὲ ἀμέλει καὶ τὰς τῶν θηρίων ἠθοποιεῖ πρὸς τὰ πάθη φύσεις. οὐ γὰρ ὀρθότητι δοξῶν, οὐδὲ φαυλότητι δήπου, τοῖς μὲν ἀλκαὶ καὶ ὁρμαὶ πρὸς τὰ φαινόμενα δεινὰ παρίστανται, τοῖς δὲ ἀμήχανοι πτοῖαι καὶ φόβοι τῆς ψυχῆς· ἀλλὰ αἱ περὶ τὸ αἷμα καὶ τὸ πνεῦμα καὶ τὸ σῶμα δυνάμεις τὰς τῶν παθῶν διαφορὰς ποιοῦσιν, ὥςπερ ἐκ ῥίζης, τοῦ παθητικοῦ τῆς σαρκὸς ἀναβλαστάνοντος καὶ συναναφέροντος τὴν ποιότητα καὶ τὴν κρίσιν. τοῦ δὲ ἀνθρώπου ταῖς μὲν παθητικαῖς ὁρμαῖς τὸ σῶμα συμπαθοῦν καὶ συγκινούμενον ἐλέγχουσιν ὠχρότητες, ἐρυθήματα, τρόμοι, πηδήσεις καρδίας, διαχύσεις αὖ πάλιν ἐν ἐλπίσιν ἡδονῶν καὶ προςδοκίαις· ὅταν δὲ μὴ μετὰ πάθους, ἀλλ' αὐτὸ καθ' αὑτὸ κινῆται τὸ διανοητικὸν, ἡσυχίαν ἄγει τὸ σῶμα καὶ καθέστηκεν, οὔτε κοινωνοῦν, οὔτε μετὸν αὐτῷ τῆς ἐνεργείας τοῦ φρονοῦντος, εἰ τοῦ μαθηματικοῦ συνεφάπτοιτο, μηδὲ συμπαραλαμβάνοι τὸ ἄλογον· ὥςτε καὶ τούτῳ δύο ὄντα δηλοῦσθαι καὶ διαφέροντα ταῖς δυνάμεσιν ἀλλήλων.

XII. Καθόλου δὲ τῶν ὄντων αὐτοί τέ φασι καὶ δῆλόν ἐστιν, ὅτι τὰ μὲν ἕξει διοικεῖται, τὰ δὲ φύσει, τὰ δὲ ἀλόγῳ ψυχῇ, τὰ δὲ καὶ λόγον ἐχούσῃ καὶ διάνοιαν· ὧν ὁμοῦ τι πάντων ὁ ἄνθρωπος μετέσχηκε, καὶ γέγονεν ἐν πάσαις ταῖς εἰρημέναις διαφοραῖς· καὶ γὰρ ἕξει συνέχεται, καὶ φύσει τρέφεται, καὶ λόγῳ

χρῆται καὶ διανοίᾳ. μέτεστιν οὖν αὐτῷ καὶ τοῦ ἀλόγου, καὶ σύμφυτον ἔχει τὴν τοῦ πάθους ἀρχὴν, οὐκ ἐπεισόδιον, ἀλλὰ ἀναγκαίαν οὖσαν, οὐδὲ ἀναιρετέαν παντάπασιν, ἀλλὰ θεραπείας καὶ παιδαγωγίας δεομένην. ὅθεν οὐ Θράκιον, οὐδὲ Λυκούργειον τοῦ λόγου τὸ ἔργον ἐστὶ, συνεκκόπτειν καὶ συνδιαφθείρειν τὰ ὠφέλιμα τοῖς βλαβεροῖς τοῦ πάθους, ἀλλὰ, ἧπερ ὁ φυτάλμιος θεὸς καὶ ἡμερίδης, τὸ ἄγριον κολοῦσαι, καὶ ἀφελεῖν τὴν ἀμετρίαν, εἶτα τιθασσεύειν καὶ περιΐστασθαι τὸ χρήσιμον. οὔτε γὰρ οἶνον, οἱ φοβούμενοι τὸ μεθύειν, ἐκχέουσιν, οὔτε πάθος, οἱ δεδιότες τὸ ταρακτικὸν, ἀναιροῦσιν, ἀλλὰ κεραννύουσι. καὶ γὰρ καὶ βοῶν καὶ ἵππων τὰ πηδήματα καὶ τοὺς ἀφηνιασμοὺς, οὐ τὰς κινήσεις οὐδὲ τὰς ἐνεργείας ἀφαιροῦσι· καὶ τοῖς πάθεσι δεδαμασμένοις χρῆται καὶ χειροήθεσιν ὁ λογισμὸς, οὐκ ἐκνευρίσας οὐδὲ ἐκτεμὼν παντάπασι τῆς ψυχῆς τὸ ὑπηρετικόν.

Ὑφ᾽ ἅρμασι γὰρ ἵππος,

ὥς φησι Πίνδαρος,

Ἐν δ᾽ ἀρότρῳ βοῦς. κάπρῳ δὲ βουλεύοντα φόνον,
Κύνα χρὴ τλάθυμον ἐξευρεῖν.

ὧν πολὺ χρησιμώτερα τὰ τῶν παθῶν θρέμματα τῷ λογισμῷ συμπαρόντα καὶ συνεπιτείνοντα ταῖς ἀρεταῖς· ὁ θυμὸς τῇ ἀνδρείᾳ μέτριος ὢν, ἡ μισοπονηρία τῇ δικαιοσύνῃ, καὶ ἡ νέμεσις ἐπὶ τοὺς παρ᾽ ἀξίαν εὐτυχοῦντας, ὅταν ἅμα ἀνοίᾳ καὶ ὕβρει φλεγόμενοι τὴν ψυχὴν ἐπισχέσεως δέωνται. φιλίας δὲ φιλοστοργίαν, ἢ φιλανθρωπίας ἔλεον, ἢ τὸ συγχαίρειν

καὶ συναλγεῖν εὐνοίας ἀληθινῆς, οὐδὲ βουλόμενος ἄν τις ἀποσπάσειεν, οὐδ' ἀποτήξειεν. εἰ δὲ οἱ τὸν ἔρωτα τῇ ἐρωτομανίᾳ συνεκβάλλοντες ἁμαρτάνουσιν, οὐδὲ οἱ τὴν ἐπιθυμίαν διὰ τὴν φιλαργυρίαν ψέγοντες κατορθοῦσιν· ἀλλ' ὅμοιόν τι πράττουσι τοῖς τὸ τρέχειν διὰ τὸ προσπταίειν, καὶ τὸ βάλλειν διὰ τὸ ὑπερβάλλειν ἀναιροῦσι, καὶ πρὸς τὸ ᾄδειν τοπαράπαν διὰ τὸ ἀπᾴδειν ἀπεχθῶς ἔχουσιν. οἷον γὰρ ἐν φθόγγοις μουσικὴ τὸ ἐμμελὲς οὐκ ἀναιρέσει βαρύτητος καὶ ὀξύτητος, ἐν δὲ σώμασιν ἰατρικὴ τὸ ὑγιεινὸν, οὐ φθορᾷ θερμότητος καὶ ψυχρότητος; ἀλλὰ συμμετρίαις καὶ ποσότητι κραθεισῶν ἀπεργάζεται, τοιοῦτον ἐν ψυχῇ τὸ νικῶν, ἐγγενομένης ὑπὸ λόγου ταῖς παθητικαῖς δυνάμεσι καὶ κινήσεσιν ἐπιεικείας καὶ μετριότητος. οἰδῶντι γὰρ ἔοικε καὶ φλεγμαίνοντι σώματι τὸ περιαλγοῦν καὶ περιχαρὲς καὶ περίφοβον τῆς ψυχῆς, οὐ τὸ χαῖρον, οὐδὲ τὸ λυπούμενον, οὐδὲ τὸ φοβούμενον. καὶ καλῶς Ὅμηρος, εἰπών·

Τοῦ δ' ἀγαθοῦ οὔτ' ἂρ τρέπεται χρὼς, οὐδέ τι λίην
Ταρβεῖ, —

τὸν φόβον οὐκ ἀφεῖλεν, ἀλλὰ τὸν ἄγαν φόβον· ὅπως ἀνδρεία μὴ ἀπόνοια, καὶ θαῤῥαλεότης μὴ θρασύτης γένηται. διὸ καὶ περὶ τὰς ἡδονὰς, τὴν ἄγαν ἀφαιρετέον ἐπιθυμίαν, καὶ περὶ τὰς ἀμύνας, τὴν ἄγαν μισοπονηρίαν. οὕτω γὰρ ὁ μὲν οὐκ ἀνάλγητος, ἀλλὰ σώφρων· ὁ δὲ δίκαιος, οὐκ ὠμὸς, οὐδὲ πικρὸς ἔςαι. τῶν δὲ παθῶν παντάπασιν ἀναιρεθέντων, εἰ καὶ

δυνατόν ἐστιν, ἐν πολλοῖς ἀργότερος ὁ λόγος καὶ ἀμβλύτερος, ὥσπερ κυβερνήτης, πνεύματος ἐπιλιπόντος. ταῦτα δ' ἀμέλει καὶ οἱ νομοθέται συνιδόντες, ἐμβάλλουσιν εἰς τὰς πολιτείας καὶ φιλοτιμίαν καὶ ζῆλον πρὸς ἀλλήλους. πρὸς δὲ τοὺς πολεμίους καὶ σάλπιγξι καὶ αὐλοῖς ἐπεγείρουσι καὶ αὔξουσι τὸ θυμοειδὲς καὶ μάχιμον. οὐ γὰρ μόνον ἐν ποιήμασιν (ἥ φησιν ὁ Πλάτων) τὸν τεχνίτην καὶ διηκριβωμένον ὁ μουσόληπτος καὶ κατάσχετος ἀποδείκνυσι γελοῖον, ἀλλὰ καὶ περὶ τὰς μάχας τὸ παθητικὸν καὶ τὸ ἐνθουσιῶδες ἀνυπόστατόν ἐστι καὶ ἀήττητον· ὃ καὶ τοὺς θεοὺς Ὅμηρος ἐμποιεῖν φησι τοῖς ἀνθρώποις,

Ὣς εἰπὼν, — ἔμπνευσε μένος μέγα ποιμένι λαῶν.
καί·

Οὐχ ὅγ' ἄνευθε θεοῦ τάδε μαίνεται· —

καθάπερ ὅρμημα τῷ λογισμῷ καὶ ὄχημα τὸ πάθος προςτιθέντας. αὐτούς γε μὴν τούτους ὁρᾷν ἐστι, πολλάκις μὲν ἐπαίνοις τοὺς νέους παρορμῶντας, πολλάκις δὲ νουθεσίαις κολάζοντας· ὧν τῷ μὲν ἕπεται τὸ ἥδεσθαι, τῷ δὲ τὸ λυπεῖσθαι. καὶ γὰρ ἡ νουθεσία καὶ ὁ ψόγος ἐμποιεῖ μετάνοιαν καὶ αἰσχύνην, ὧν τὸ μὲν λύπη τῷ γένει, τὸ δὲ φόβος ἐστί· καὶ τούτοις μάλιστα χρῶνται πρὸς τὰς ἐπανορθώσεις. ᾗ καὶ Διογένης, ἐπαινουμένου Πλάτωνος· Τί δ' ἐκεῖνος (εἶπεν) ἔχει σεμνὸν, ὃς τοσοῦτον χρόνον φιλοσοφῶν, οὐδένα λελύπηκεν; οὐ γὰρ οὕτως τὰ μαθήματα φαίη τις ἂν (ὡς ἔλεγε Ξενοκράτης) λαβὰς εἶναι φιλοσοφίας, ὡς τὰ πάθη τῶν νέων, αἰσχύνην, ἐπι-

θυμίαν, μετάνοιαν, ἡδονὴν, λύπην, φιλοτιμίαν· ὧν ἐμμελῆ καὶ σωτήριον ἁφὴν ἀπτόμενος ὁ λόγος καὶ ὁ νόμος, εἰς τὴν προσήκουσαν ὁδὸν ἀνυσίμως καθίστησι τὸν νέον. ὥστε μὴ κακῶς εἰπεῖν τὸν Λύκωνα παιδαγωγὸν, ὅτι ποιήσει τὸν παῖδα τοῖς καλοῖς ἥδεσθαι καὶ ἄχθεσθαι τοῖς αἰσχροῖς, οὗ μεῖζον οὐθέν ἐστιν, οὐδὲ κάλλιον ἀποφῆναι τέλος ἐλευθέρῳ προσηκούσης παιδείας.

# ΠΛΟΥΤΑΡΧΟΥ
## ΠΕΡΙ ΑΟΡΓΗΣΙΑΣ.

### ΣΥΛΛΑΣ.

Καλῶς μοι δοκοῦσιν, ὦ Φουνδᾶνε, ποιεῖν οἱ ζωγράφοι, διὰ χρόνου τὰ ἔργα πρὶν ἢ συντελεῖν, ἐπισκοποῦντες· ὅτι τὴν ὄψιν αὐτῶν ἀφιστάντες, τῇ πολλάκις κρίσει ποιοῦσι καινὴν, καὶ μᾶλλον ἁπτομένην τῆς παρὰ μικρὸν διαφορᾶς, ἣν ἀποκρύπτει τὸ συνεχὲς καὶ τὸ σύνηθες. ἐπεὶ τοίνυν οὐκ ἔστιν αὐτὸν αὑτῷ διὰ χρόνου προσελθεῖν χωρὶς γενόμενον, καὶ διαστήσαντα τῆς συνεχείας τὴν αἴσθησιν, ἀλλὰ τοῦτό ἐστι τὸ μάλιστα ποιοῦν ἕκαστον αὐτοῦ φαυλότερον κριτὴν ἢ ἑτέρων· δεύτερον ἂν εἴη τὸ τοὺς

φίλους ἐφορᾷν διὰ χρόνου, καὶ παρέχειν ὁμοίως ἐκείνοις ἑαυτὸν, οὐκ εἰ γέρων γέγονε ταχὺ, καὶ τὸ σῶμα βέλτιον ἢ χεῖρον ἔσχηκεν, ἀλλὰ καὶ τὸν τρόπον καὶ τὸ ἦθος ἐπισκοπεῖν, εἴ τι χρηστὸν ὁ χρόνος προστέθεικεν, ἢ τῶν φαύλων ἀφήρηκεν. ἔγωγ' οὖν ἐνιαυτῷ μὲν ἀφιγμένος εἰς Ῥώμην δευτέρῳ, συνὼν δέ σοι μῆνα τουτονὶ πέμπτον, τὸ μὲν ἐξ ὑπαρχόντων δι' εὐφυΐαν ἀγαθῶν ἐπίδοσιν γεγονέναι τοσαύτην καὶ αὔξησιν, οὐ πάνυ θαυμαστὸν ἡγοῦμαι· τὸ δὲ σφοδρὸν ἐκεῖνο καὶ διάπυρον πρὸς ὀργὴν ὁρῶντί μοι πρᾷον οὕτω καὶ χειρόηθες τῷ λογισμῷ γεγενημένον, ἐπέρχεται πρὸς τὸν θυμὸν εἰπεῖν·

Ὦ πόποι, ἦ μάλα δὴ μαλακώτερος· —
αὕτη δ' ἡ μαλακότης οὐκ ἀργίαν, οὐδὲ ἔκλυσιν, ἀλλ' ὥσπερ ἡ κατειργασμένη γῆ λειότητα καὶ βάθος ἐνεργὸν ἐπὶ τὰς πράξεις ἔσχηκεν ἀντὶ τῆς φορᾶς ἐκείνης καὶ τῆς ὀξύτητος. διὸ καὶ δῆλόν ἐστιν οὐ παρακμῇ τινι δι' ἡλικίαν τὸ θυμοειδὲς, οὐδὲ αὐτομάτως ἀπομαραινόμενον, ἀλλ' ὑπὸ λόγων τινῶν χρηστῶν θεραπευόμενον. καίτοι (τὰ γὰρ ἀληθὲς εἰρήσεται πρὸς σὲ) ταῦτα ἡμῖν Ἔρως ὁ ἑταῖρος ἀπαγγέλλων, ὕποπτος ἦν, τὰ μὴ προσόντα, πρέποντα δὲ προσεῖναι τοῖς καλοῖς κἀγαθοῖς, δι' εὔνοιαν ἐπιμαρτυρεῖν· καίπερ, ὡς οἶσθα, οὐδαμῇ πιθανὸς ὢν τὶ πρὸς χάριν ὑφίεσθαι τοῦ δοκοῦντος. ἀλλὰ νῦν ἐκεῖνός τε τῶν ψευδομαρτυριῶν ἀφεῖται, καὶ σὺ, τῆς ὁδοιπορίας σχολὴν διδούσης, ὥσπερ ἰατρείαν τινὰ σεαυτοῦ διελθὲ ἡμῖν, ᾗ χρησάμενος, οὕτως εὐήνιον καὶ ἁπλοῦν καὶ τῷ λόγῳ πρᾷον καὶ ὑπήκοον ἐποιήσω τὸν θυμόν.

*ΦΟΥΝΔΑΝΟΣ.* Εἶτα οὐ σκοπεῖς, ὦ προθυμότατε Σύλλα, μὴ καὶ αὐτὸς εὐνοίᾳ καὶ φιλίᾳ τῇ πρὸς ἡμᾶς παρορᾷς τι τῶν ἡμετέρων. Ἔρωτι μὲν γὰρ οὐδ' αὐτῷ πολλάκις ἔχοντι κατὰ χώραν ἐν τῇ Ὁμηρικῇ πείσῃ μένοντα τὸν θυμὸν, ἀλλὰ τραχύτερον ὑπὸ μισοπονηρίας, εἰκός ἐστι πρᾳοτέρους ἡμᾶς φανῆναι, καθάπερ ἐν διαγραμμάτων μεταβολαῖς νῆται τινες πρὸς ἑτέρας νήτας, τάξιν ὑπάτων λαμβάνουσι.

*ΣΥΛΛ.* Οὐδέτερα τούτων γέγονεν, ὦ Φουνδᾶνε· ποίει δὲ, ὡς λέγω, χαριζόμενος ἡμῖν.

II. *ΦΟΥΝΔ.* Καὶ μὴν ὧν γε μεμνήμεθα Μουσωνίου καλῶν, ἕν ἐστιν, ὦ Σύλλα, τὸ, δεῖν ἀεὶ θεραπευομένους βιοῦν τοὺς σώζεσθαι μέλλοντας. οὐ γὰρ ὡς ἐλλέβορον (οἶμαι) δεῖ θεραπεύσαντα συνεκφέρειν τῷ νοσήματι τὸν λόγον, ἀλλ' ἐμμένοντα τῇ ψυχῇ, συνέχειν τὰς κρίσεις καὶ φυλάσσειν. φαρμάκοις γὰρ οὐκ ἔοικεν, ἀλλὰ σιτίοις ὑγιεινοῖς ἡ δύναμις αὐτοῦ; μεθ' ὑγείας ἕξιν ἐμποιοῦσα χρηστὴν οἷς ἂν γένηται συνήθης· αἱ δὲ πρὸς ἀκμάζοντα τὰ πάθη καὶ οἰδοῦντα παραινέσεις καὶ νουθεσίαι, σχολῇ μὲν ἀνύτουσι καὶ μόλις, οὐδενὶ δὲ τῶν ὀσφραντῶν διαφέρουσιν, ἃ τοὺς ἐπιληπτικοὺς ἐγείροντα καταπίπτοντας, οὐκ ἀπαλλάττει τοῦ νοσήματος. ὅμως δὲ τὰ μὲν ἄλλα καὶ παρ' ὃν ἀκμάζει καιρὸν, ἀμωσγέπως ὑπείκει, καὶ παρίησι βοηθοῦντα λόγον ἔξωθεν εἰς τὴν ψυχήν· ὁ δὲ θυμὸς οὐχ, ᾗ φησιν ὁ Μελάνθιος·

Τὰ δεινὰ πράσσει τὰς φρένας μετοικίσας,

ἀλλ' ἐξοικίσας τελείως καὶ ἀποκλείσας, ὥσπερ οἱ συν-

ἐμπιπράντες ἑαυτοὺς ταῖς οἰκίαις, πάντα ταραχῆς καὶ καπνοῦ καὶ ψόφου μεστὰ ποιεῖ τὰ ἐντὸς, ὥστε μήτ᾽ ἰδεῖν μήτ᾽ ἀκοῦσαι τῶν ὠφελούντων. διὸ μᾶλλον ἐν χειμῶνι καὶ πελάγει ναῦς ἔρημος ἀναλήψεται κυβερνήτην ἔξωθεν, ἢ προσδέξεται λόγον ἀλλότριον ἄνθρωπος ἐν θυμῷ καὶ ὀργῇ σαλεύων, ἂν μὴ παρεσκευασμένον ἔχῃ τὸν οἰκεῖον λογισμόν. ἀλλ᾽ ὥςπερ οἱ πολιορκίαν προσδεχόμενοι συνάγουσι καὶ παρατίθενται τὰ χρήσιμα, τὰς ἔξωθεν ἐλπίδας ἀπεγνωκότες, οὕτω μάλιστα δεῖ τὰ πρὸς τὸν θυμὸν βοηθήματα πόῤῥωθεν λαμβάνοντας ἐκ φιλοσοφίας, κατακομίζειν εἰς τὴν ψυχήν· ὡς, ὅταν ὁ τῆς χρείας ἀφίκηται καιρὸς, μὴ ῥᾳδίως παρεισάγειν δυνησομένους. οὐδὲ γὰρ ἀκούει τῶν ἐκτὸς ἡ ψυχὴ διὰ τὸν θόρυβον, ἂν μὴ καθάπερ κελευστὴν ἔνδοθεν ἔχῃ τὸν αὑτῆς λόγον ὀξέως δεχόμενον, καὶ συνιέντα τῶν παραγγελλομένων ἕκαστον· ἀκούσασα δὲ, τῶν μὲν ἠρέμα καὶ πρᾴως λεγομένων καταφρονεῖ, πρὸς δὲ τοὺς ἐνισταμένους τραχύτερον ἐρεθίζεται. καὶ γὰρ ὑπερήφανος καὶ αὐθάδης καὶ ὅλως ὑφ᾽ ἑτέρου ὁ θυμὸς δυσκίνητος ὢν, ὥςπερ ὀχυρὰ τυραννὶς, ἐξ ἑαυτῆς ἔχειν ὀφείλει σύνοικον καὶ συγγενὲς τὸ καταλῦον.

III. Ἡ μὲν οὖν συνέχεια τῆς ὀργῆς, καὶ τὸ προςκρούειν πολλάκις, ἕξιν ἐμποιεῖ πονηρὰν τῇ ψυχῇ, ἣν ὀργιλότητα καλοῦσιν, εἰς ἀκροχολίαν καὶ πικρίαν καὶ δυσκολίαν τελευτῶσαν, ὅταν ἑλκώδης καὶ μικρόλυπος ὁ θυμὸς γένηται καὶ φιλαίτιος ὑπὸ τῶν τυχόντων, ὡς σίδηρος λεπτὸς καὶ ἀσθενὴς ἀναχαρασσόμενος· ἡ δὲ παραχρῆμα ταῖς ὀργαῖς ἐνισταμένη καὶ

πιέζουσα κρίσις, οὐ τὸ παρὸν ἰᾶται μόνον, ἀλλὰ καὶ πρὸς τὸ λοιπὸν εὔτονον ποιεῖ καὶ δυσπαθῆ τὴν ψυχήν. ἔμοιγ᾽ οὖν συνέβη δὶς ἢ τρὶς ἐνστάντι πρὸς ὀργὴν, τὸ τῶν Θηβαίων παθεῖν, οἳ τὸ πρῶτον ὠσάμενοι Λακεδαιμονίους ἀηττήτους εἶναι δοκοῦντας, οὐδεμίαν ὕστερον ἡττήθησαν ὑπ᾽ αὐτῶν μάχην, φρόνημα γὰρ ἔσχον, ὡς κρατεῖν ἐστι τῷ λογισμῷ. ἑώρων δὲ οὐ μόνον ψυχροῦ κατασκεδαννυμένου λήγουσαν ὀργὴν, ὡς Ἀριστοτέλης ἱστόρηκεν, ἀλλὰ καὶ φόβου προσαχθέντος ἀποσβεννυμένην· καὶ νὴ Δία χαρᾶς ἐπιγενομένης ἄφνω, καθ᾽ Ὅμηρον, ἰάνθη καὶ διεχύθη πολλοῖς ὁ θυμός. ὥςτε μοι παρίστατο, μὴ παντελῶς ἀβοήθητον εἶναι τοῖς γε βουλομένοις τὸ πάθος. οὐδὲ γὰρ ἀρχὰς ἔχει μεγάλας ἀεὶ καὶ ἰσχυρὰς, ἀλλὰ καὶ σκῶμμα καὶ παιδιὰ, καὶ τὸ γελάσαι τινὰ καὶ τὸ διανεῦσαι, καὶ πολλὰ τοιαῦτα, πολλοὺς εἰς ὀργὴν καθίστησιν· ὥςπερ ἡ Ἑλένη τὴν ἀδελφιδῆν προσαγορεύσασα·

*Παρθένε μακρὸν δὴ μῆκος Ἠλέκτρα χρόνου,*

παρώξυνεν εἰπεῖν·

*Ὀψέ γε φρονεῖς εὖ, τότε λιποῦσ᾽ αἰσχρῶς δόμους.*

καὶ τὸν Ἀλέξανδρον ὁ Καλλισθένης, εἰπὼν, τῆς μεγάλης κύλικος περιφερομένης· Οὐ βούλομαι πιὼν Ἀλεξάνδρου Ἀσκληπιοῦ δεῖσθαι.

IV. Καθάπερ οὖν τὴν φλόγα θριξὶ λαγώαις ἀναπτομένην καὶ θρυαλλίσι καὶ συρφετῷ, ῥᾴδιόν ἐστιν ἐπισχεῖν· ἐὰν δ᾽ ἐπιλάβηται τῶν στερεῶν καὶ βάθος ἐχόντων, ταχὺ διέφθειρε καὶ συνεῖλεν ὑψηλὸν ἡβάσασα τεκτόνων πόνον, ὥς φησιν Αἰσχύλος·

οὕτως ὁ τῷ θυμῷ προσέχων, ἐν ἀρχῇ καὶ κατὰ μικρὸν ἔκ τινος λαλιᾶς καὶ βωμολοχίας συρφετώδους ὁρῶν καπνιῶντα καὶ διακαιόμενον, οὐ μεγάλης δεῖται πραγματείας, ἀλλὰ πολλάκις αὐτῷ τῷ σιωπῆσαι καὶ καταμελῆσαι κατέπαυσε. καὶ γὰρ τὸ πῦρ ὁ μὴ παρασχὼν ὕλην, ἔσβεσε, καὶ ὀργὴν, ὁ μὴ θρέψας ἐν ἀρχῇ καὶ μὴ φυσήσας ἑαυτὸν, ἐφυλάξατο καὶ καθεῖλεν. οὐκ ἤρεσκεν οὖν μοι, καίπερ ἄλλα χρήσιμα λέγων καὶ παραινῶν ὁ Ἱερώνυμος, ἐν οἷς οὔ φησι γινομένης, ἀλλὰ γεγενημένης καὶ οὔσης αἴσθησιν ὀργῆς εἶναι διὰ τὸ τάχος. οὐθὲν γὰρ οὕτω τῶν παθῶν συλλεγόμενον καὶ διακινούμενον ἔχει τὴν γένεσιν ἐμφανῆ καὶ τὴν αὔξησιν. ὡς δὴ καὶ Ὅμηρος ἐμπείρως διδάσκει, λυπηθέντα μὲν εὐθὺς ἐξαίφνης ποιῶν τὸν Ἀχιλλέα, τοῦ λόγου προσπεσόντος, ἐν οἷς λέγει·

Ὣς φάτο· τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα·

θυμούμενον δὲ βραδέως τῷ Ἀγαμέμνονι, καὶ διὰ λόγων πολλῶν ἐκκαιόμενον. οὓς εἴ τις ὑφεῖλεν αὐτῷ ἐν ἀρχῇ καὶ διεκώλυσεν, οὐκ ἂν ἔσχεν αὔξησιν ἡ διαφορὰ τηλικαύτην καὶ μέγεθος. ὅθεν ὁ Σωκράτης ὁσάκις αἴσθοιτο κινουμένου τραχύτερον αὑτοῦ πρός τινα τῶν φίλων,

Πρὸ κύματος ὥς τινα ποντίαν ἄκραν ϛελλόμενος,

ἐνεδίδου τε τῇ φωνῇ, καὶ διεμειδία τῷ προσώπῳ, καὶ τὸ βλέμμα πρᾳότερον παρεῖχε, τῷ ῥέπειν ἐπὶ θάτερα καὶ πρὸς τοὐναντίον ἀντικινεῖσθαι τῷ πάθει, διαφυλάττων ἑαυτὸν ἀπτῶτα καὶ ἀήττητον.

V. Ἔστι γάρ τις, ὦ ἑταῖρε, πρώτη καθάπερ τυράννου κατάλυσις τοῦ θυμοῦ, μὴ πείθεσθαι, μηδ'

ὑπακούειν προστάττοντος αὐτοῦ μέγα βοᾷν καὶ δεινὸν βλέπειν, καὶ κόπτειν ἑαυτὸν, ἀλλ᾽ ἡσυχάζειν, καὶ μὴ συνεπιτείνειν, ὥςπερ νόσημα, ῥιπτασμῷ καὶ διαβοήσει τὸ πάθος. αἱ μὲν γὰρ ἐρωτικαὶ πράξεις, οἷον ἐπικωμάσαι καὶ ᾆσαι καὶ στεφανῶσαι θύραν, ἔχουσιν ἁμωσγέπως κουφισμὸν οὐκ ἄχαριν οὐδὲ ἄμουσον·

Ἐλθὼν δ᾽ οὐκ ἐβόησα, τίς ἢ τίνος, ἀλλ᾽ ἐφίλησα
Τὴν φλιήν. εἰ τοῦτ᾽ ἔστ᾽ ἀδίκημ᾽ ἀδικῶ.

αἵ τε τοῖς πενθοῦσιν ἐφέσεις τοῦ ἀποκλαῦσαι καὶ ἀποδύρασθαι, πολύ τι τῆς λύπης ἅμα τῷ δακρύῳ συνεξάγουσιν· ὁ δὲ θυμὸς ἐκριπίζεται μᾶλλον οἷς πράττουσι καὶ λέγουσιν οἱ ἐν αὐτῷ καθεστῶτες. ἀτρεμεῖν οὖν κράτιστον ἢ φεύγειν καὶ ἀποκρύπτειν καὶ καθορμίζειν ἑαυτὸν εἰς ἡσυχίαν, ὥςπερ ἐπιληψίας ἀρχομένης συναισθανομένους, ἵνα μὴ πέσωμεν, μᾶλλον δὲ ἐπιπέσωμεν· ἐπιπίπτομεν δέ γε τοῖς φίλοις μάλιστά τε καὶ πλειστάκις. οὐ γὰρ πάντων ἐρῶμεν, οὐδὲ πᾶσι φθονοῦμεν, οὐδὲ πάντας φοβούμεθα. θυμῷ δὲ ἄθικτον οὐδὲν, οὐδ᾽ ἀνεπιχείρητον· ἀλλ᾽ ὀργιζόμεθα καὶ πολεμίοις καὶ φίλοις, καὶ τέκνοις καὶ γονεῦσι, καὶ θεοῖς νὴ Δία, καὶ θηρίοις, καὶ ἀψύχοις σκεύεσιν· ὡς ὁ Θάμυρις,

Ῥηγνὺς χρυσόδετον κέρας,
Ῥηγνὺς ἁρμονίαν χορδοτόνου λύρας·

καὶ ὁ Πάνδαρος, αὑτῷ καταρώμενος, εἰ μὴ τὰ τόξα καταπρήσειε χερσὶ διακλάσσας. ὁ δὲ Ξέρξης καὶ τῇ θαλάττῃ στίγματα καὶ πληγὰς ἐνέβαλλε, καὶ πρὸς τὸ ὄρος ἐξέπεμπεν ἐπιστολάς· Ἄθω δαιμόνιε οὐρα-

νομήκῃ, μὴ ποιεῖν ἐμοῖς ἔργοις λίθους μεγάλους καὶ δυσκατεργάστους· εἰ δὲ μή, τεμὼν ῥίψω σεαυτὸν εἰς τὴν θάλασσαν· πολλὰ γάρ ἐστι τοῦ θυμοῦ φοβερά, πολλὰ δὲ καὶ γελοῖα· διὸ καὶ μισεῖται καὶ καταφρονεῖται μάλιστα τῶν παθῶν. ἀμφότερα δ' ἐσκέφθαι χρήσιμον.

VI. Ἐγὼ γ' οὖν, εἰ μὲν ὀρθῶς οὐκ οἶδα, ταύτην δὲ τῆς ἰατρείας ἀρχὴν ποιησάμενος, ὥσπερ οἱ Λάκωνες ἐν τοῖς εἵλωσι τὸ μεθύειν οἷόν ἐστι, κατεμάνθανον τὴν ὀργὴν ἐν ἑτέροις. καὶ πρῶτον μέν, ἥ φησιν Ἱπποκράτης χαλεπωτάτην εἶναι νόσον, ἐν ᾗ τοῦ νοσοῦντος ἀνομοιότατον αὐτῷ γίνεται τὸ πρόσωπον· οὕτως ὁρῶν ὑπ' ὀργῆς ἐξισταμένους μάλιστα καὶ μεταβάλλοντας ὄψιν, χρόαν, βάδισμα, φωνήν, οἷον εἰκόνα τοῦ πάθους ἀπεματτόμην ἐμαυτῷ πάνυ δυςχεραίνων, εἰ φοβερὸς οὕτω καὶ παρακεκινηκὼς ὀφθήσομαι ποτὲ τοῖς φίλοις καὶ τῇ γυναικὶ καὶ τοῖς θυγατρίοις, οὐ μόνον ἰδεῖν ἄγριος καὶ ἀσυνήθης, ἀλλὰ καὶ φωνὴν ἀπηνῆ καὶ τραχεῖαν ἀφιείς· ὥςπερ ἑτέροις τῶν συνήθων ἐνετύγχανον, οὐκ ἦθος, οὐ μορφήν, οὐ λόγου χάριν, οὐ τὸ πιθανὸν καὶ προσηνὲς ἐν ὁμιλίᾳ δυναμένοις ὑπ' ὀργῆς διαφυλάττειν. Γαΐῳ μὲν οὖν Γράκχῳ τῷ ῥήτορι, καὶ τὸν τρόπον ὄντι χαλεπῷ καὶ περιπαθέστερον λέγοντι, διηρμοσμένον ἦν συρίγγιον, ᾧ τὴν φωνὴν οἱ ἁρμονικοὶ σχολῇ ἐπ' ἀμφότερα διὰ τῶν τόνων ἄγουσι· καὶ τοῦτο ἔχων οἰκέτης αὐτοῦ λέγοντος ὄπισθεν ἑστώς, ἐνεδίδου τόνον ἐπιεικῆ καὶ πρᾶον, ᾧ τὴν κραυγὴν ἀνεκαλεῖτο, καὶ τὸ τραχὺ καὶ

τὸ θυμικὸν ἀφῄρει τῆς φωνῆς, ὥσπερ ὁ τῶν βουκόλων

— κηρόπλαστος ὀττοβεῖ
Δόναξ ἀχέτας ὑπνοδόταν νόμον,

ἐπιθέλγων καὶ καθιστὰς τὴν ὀργὴν τοῦ ῥήτορος. ἐμοὶ δὲ εἴ τις ἐμμελὴς καὶ κομψὸς ἀκόλουθος ἦν, οὐκ ἂν ἠχθόμην αὐτοῦ προσφέροντος ἐπὶ ταῖς ὀργαῖς ἔσοπτρον, ὥσπερ ἐνίοις προσφέρουσι λουσαμένοις ἐπ' οὐδενὶ χρησίμῳ. τὸ δὲ αὑτὸν ἰδεῖν παρὰ φύσιν ἔχοντα καὶ συντεταραγμένον, οὐ μικρόν ἐστιν εἰς διαβολὴν τοῦ πάθους. καὶ γὰρ καὶ τὴν Ἀθηνᾶν λέγουσιν οἱ παίζοντες αὐλοῦσαν, ὑπὸ τοῦ σατύρου νουθετεῖσθαι, καὶ μὴ προσεχειν·

Οὔτοι πρέπει τὸ σχῆμα· τοὺς αὐλοὺς μέθες,
Καὶ θ' ὅπλα λάζευ, καὶ γνάθους εὐσχημόνει·

θεασαμένην δὲ τοῦ προσώπου τὴν ὄψιν ἐν ποταμῷ τινι, δυσχερᾶναι καὶ προέσθαι τοὺς αὐλούς· καίτοι παραμυθίαν ἡ τέχνη τῆς ἀμορφίας ἔχει τὴν εὐμέλειαν· καὶ ὁ Μαρσύας, ὡς ἔοικε, φορβιᾷ τινι καὶ περιστομίοις βίᾳ τοῦ πνεύματος τὸ ῥαγδαῖον ἐγκαθεῖρξε, καὶ τοῦ προσώπου κατεκόσμησε καὶ ἀπέκρυψε τὴν ἀνωμαλίαν·

Χρυσῷ δ' αἰγλήεντι συνήρμοσεν ἀμφιδασείας
Κόρσας, καὶ στόμα λάβρον ὀπισθοδέτοισιν ἱμᾶσιν.

ἡ δὲ ὀργή, φυσῶσα καὶ διατείνουσα τὸ πρόσωπον ἀπρεπῶς, ἔτι μᾶλλον αἰσχρὰν ἀφίησι καὶ ἀτερπῆ φωνήν,

*Κινοῦσα χορδὰς τὰς ἀκινήτους φρενῶν.*

τὴν μὲν γὰρ θάλασσαν, ὅταν ἐκταραχθεῖσα τοῖς πνεύμασι τὰ βρύα καὶ τὸ φῦκος ἀναβάλλῃ, καθαίρεσθαι λέγουσιν· ἃ δὲ ὁ θυμὸς ἐκβράσσει τῆς ψυχῆς περιτρεπομένης ἀκόλαστα καὶ πικρὰ καὶ σπερμολόγα ῥήματα, τοὺς λέγοντας πρώτους καταῤῥυπαίνει, καὶ καταπίμπλησιν ἀδοξίας· ὡς ἀεὶ μὲν ἔχοντας ἐν αὑτοῖς ταῦτα καὶ πλήρεις ὄντας, ὑπὸ δὲ τῆς ὀργῆς ἀνακαλυπτομένους. Διὸ κουφοτάτου πράγματος, ὥς φησιν ὁ Πλάτων, λόγου, βαρυτάτην ζημίαν τίνουσιν, ἐχθροὶ καὶ κακολόγοι καὶ κακοήθεις δοκοῦντες εἶναι.

VII. Ταῦτα οὖν ὁρῶντί μοι καὶ παραφυλάττοντι, συμβαίνει τίθεσθαι καὶ διαμνημονεύειν ἐπιεικῶς πρὸς ἐμαυτὸν, ὡς ἀγαθὸν μέν ἐστιν ἐν πυρετῷ, κρεῖττον δὲ ἐν ὀργῇ, τὴν γλῶτταν ἁπαλὴν ἔχειν καὶ λείαν. ἡ μὲν γὰρ τῶν πυρεττόντων ἐὰν μὴ κατὰ φύσιν σχῇ, σημεῖόν ἐστι πονηρὸν, οὐκ αἴτιον· ἡ δὲ τῶν θυμουμένων, τραχεῖα καὶ ῥυπαρὰ γενομένη, καὶ ῥυεῖσα πρὸς λόγους ἀτόπους, ἔχθρας ἀνηκέστου δημιουργὸν ὕβριν ἐκφέρει, καὶ δυσμενείας ὑπούλου κατήγορον. οὐδὲν γὰρ ὁ ἄκρατος ἀκόλαστον οὕτω καὶ δυσχερὲς, ὡς ὁ θυμὸς, ἀναδείκνυσι. κἀκεῖνα μὲν γέλωτι καὶ παιδιᾷ μέλει, ταῦτα δὲ χολῇ κέκραται· καὶ παρὰ πότον μὲν ὁ σιωπῶν, ἐπαχθὴς τοῖς συνοῦσι καὶ φορτικός· ἐν ὀργῇ δὲ σεμνότερον οὐδὲν ἡσυχίας. ὡς ἡ Σαπφὼ παραινεῖ, Σκιδναμένης ἐν στήθεσιν ὀργῆς πεφυλάχθαι γλῶσσαν μαψυλάκταν.

VIII. Οὐ ταῦτα δὲ μόνον ἐπιλογίζεσθαι δίδωσι

τὸ προσέχειν αὐτοῖς ἁλισκομένοις ὑπ' ὀργῆς, ἀλλὰ καὶ τὴν ἄλλην τοῦ θυμοῦ κατανοεῖν φύσιν, ὡς οὐκ εὐγενὴς, οὐδ' ἀνδρώδης, οὐδ' ἔχουσα φρόνημα καὶ μέγεθος ἐστὶν, ἀλλὰ δοκεῖ τοῖς πολλοῖς τὸ ταρακτικὸν αὐτοῦ, πρακτικὸν, καὶ τὸ ἀπειλητικὸν, εὔθαρσὲς εἶναι, καὶ τὸ ἀπειθὲς, ἰσχυρόν· ἔνιοι δὲ καὶ τὴν ὠμότητα, μεγαλουργίαν, καὶ τὸ δυσπαραίτητον, εὐτονίαν, καὶ μισοπονηρίαν, τὸ δύσκολον, οὐκ ὀρθῶς τίθενται. τὰ γὰρ ἔργα καὶ τὰ κινήματα καὶ τὰ σχήματα μικρότητα πολλὴν καὶ ἀσθένειαν κατηγορεῖ· οὐ μόνον ἐν οἷς παιδάρια σπαράττουσι, καὶ πρὸς γύναια διαπικραίνονται, καὶ κύνας καὶ ἵππους καὶ ἡμιόνους οἴονται δεῖν κολάζειν, ὡς Κτησιφῶν ὁ παγκρατιαστὴς ἀντιλακτίσαι τὴν ἡμίονον ἀξιῶν, ἀλλὰ καὶ περὶ τὰς τυραννικὰς μιαιφονίας τῷ πικρῷ τὸ μικρόψυχον αὐτῶν, καὶ τῷ δρῶντι τὸ πεπονθὸς ἐνορώμενον, ἔοικε τοῖς δήγμασι τῶν ἑρπετῶν, ὅταν διακαῆ καὶ περιώδυνα γένηται, τὴν φλεγμονὴν ἀπερειδομένων σφόδρα τοῖς λελυπηκόσιν. ὡς γὰρ οἴδημα μεγάλης ἐστὶν ἐν σαρκὶ πληγῆς πάθος, οὕτως ἐν ταῖς μαλακωτάταις ψυχαῖς ἡ πρὸς τὸ λυπῆσαι ἔνδοσις ἐκφέρει μείζονα θυμὸν ἀπὸ μείζονος ἀσθενείας. διὸ καὶ γυναῖκες ἀνδρῶν ὀργιλώτεραι, καὶ νοσοῦντες ὑγιαινόντων, καὶ γέροντες ἀκμαζόντων, καὶ κακῶς πράττοντες εὐτυχούντων· ὀργιλώτατος γὰρ ὁ φιλάργυρος πρὸς τὸν οἰκονόμον, ὁ γαστρίμαργος πρὸς τὸν ὀψοποιὸν, ὁ ζηλότυπος πρὸς τὸ γύναιον, ὁ κενόδοξος κακῶς ἀκούσας· χαλεπώτατοι δὲ, ἄγαν φιλοτιμίαν μνώμενοι ἐν πόλεσιν ἄνδρες, ἢ στάσιν, ἀλ-

γος ἐμφανές, κατὰ Πίνδαρον· οὕτως ἐκ τοῦ λυπουμένου μάλιστα τῆς ψυχῆς καὶ πάσχοντος ἀνίσταται μάλιστα δι᾽ ἀσθένειαν ὁ θυμός, οὐχὶ νεύροις (ὥς τις εἶπε) τῆς ψυχῆς ἐοικώς, ἀλλὰ ἐπιτάμασι καὶ σπάσμασιν ἐν ταῖς ἀμυντικαῖς ὁρμαῖς σφοδρότερον ἐξανισταμένης.

IX. Τὰ μὲν οὖν φαῦλα παραδείγματα, τὴν θέαν οὐκ εὔχαριν, ἀλλ᾽ ἀναγκαίαν μόνην εἶχε· τοὺς δ᾽ ἠπίως καὶ λείως ὁμιλοῦντας ὀργαῖς, κάλλιστα μὲν ἀκούσματα, κάλλιστα δὲ θεάματα ποιούμενος, ἄρχομαι καταφρονεῖν τῶν λεγόντων·

Ἄνδρα ἠδίκησας, ἄνδρ᾽ ἀνεκτέον τόδε·

καί·

— βαῖνε λὰξ
Ἐπὶ τραχήλου, βαῖνε καὶ πέλα χθονὶ,

καὶ τἄλλα παροξυντικά, δι᾽ ὧν ἔνιοι τὸν θυμὸν ἐκ τῆς γυναικωνίτιδος εἰς τὴν ἀνδρωνῖτιν οὐκ εὖ μετοικίζουσιν. ἡ μὲν ἀνδρία κατὰ τἄλλα τῇ δικαιοσύνῃ συμφερομένη, περὶ μόνης μοι δοκεῖ διαμάχεσθαι τῆς πραότητος, ὡς αὐτῇ μᾶλλον προσηκούσης. ἀνθρώπων μὲν γὰρ κρατῆσαι, καὶ χείροσι βελτίονας, ὑπῆρξε· τὸ δ᾽ ἐν ψυχῇ στῆσαι κατὰ θυμοῦ τρόπαιον (ᾧ χαλεπὸν εἶναι διαμάχεσθαι, φησὶν Ἡράκλειτος· ὅ τι γὰρ ἂν θέλῃ, ψυχῆς ὠνεῖται) μεγάλης ἐστὶ καὶ νικητικῆς ἰσχύος, ὥσπερ νεῦρα καὶ τόνους ἀληθῶς ἐπὶ τὰ πάθη τὰς κρίσεις ἐχούσης. διὸ καὶ συνάγειν ἀεὶ πειρῶμαι καὶ ἀναγινώσκειν οὐ ταῦτα δὴ μόνον τὰ τῶν φιλοσόφων, οὓς φασι χολὴν οὐκ ἔχειν οἱ νοῦν ἔχοντες, ἀλλὰ μᾶλλον τὰ τῶν βασιλέων καὶ τυράν-

νων· οἷον Ἀντιγόνου τὸ πρὸς τοὺς στρατιώτας, ὅτι τοὺς παρὰ τὴν σκηνὴν λοιδοροῦντας αὐτὸν ὡς οὐκ ἀκούοντα, τὴν βακτηρίαν ὑποβαλὼν ἔξω· Παπαὶ (εἶπεν) οὐ πορρωτέρω ποι τραπόμενοι κακῶς ἐρεῖτε ἡμᾶς; Ἀρκαδίωνος δὲ τοῦ Ἀχαιοῦ τὸν Φίλιππον ἀεὶ κακῶς λέγοντος, καὶ φεύγειν παραινοῦντος

Εἰσόκε τοὺς ἀφίκηται οἳ οὐκ ἴσασι Φίλιππον·

εἶτά πως ἐν Μακεδονίᾳ φανέντος, ᾤοντο δεῖν οἱ φίλοι κολάσαι καὶ μὴ περιϊδεῖν· ὁ δὲ Φίλιππος ἐντυχὼν αὐτῷ φιλανθρώπως, καὶ ξένια καὶ δῶρα πέμψας, ἐκέλευσεν ὕστερον πυνθάνεσθαι, τίνας λόγους ἀπαγγέλλοι πρὸς τοὺς Ἕλληνας· ὡς δὲ πάντες ἐμαρτύρουν, ἐπαινέτην αὐτοῦ γεγονέναι τὸν ἄνδρα θαυμάσιον· Ἐγὼ τοίνυν (ἔφη) βελτίων ἰατρὸς ὑμῶν Ἐν Ὀλυμπίοις δὲ βλασφημίας περὶ αὐτοῦ γενομένης, καί τινων λεγόντων, ὡς οἰμῶξαι προσήκει τοὺς Ἕλληνας, ὅτι εὖ πάσχοντες ὑπὸ τοῦ Φιλίππου κακῶς αὐτὸν λέγουσι· Τί οὖν (ἔφη) ποιήσουσιν, ἂν κακῶς πάσχωσι; Καλὰ δὲ καὶ Πεισιστράτου τὰ πρὸς Θρασύβουλον, καὶ Πορσήνα τὰ πρὸς Μούκιον, καὶ Μάγα τὰ πρὸς Φιλήμονα. δημοσίᾳ γὰρ ὑπ' αὐτοῦ κωμῳδηθεὶς ἐν θεάτρῳ·

Παρὰ τοῦ βασιλέως γράμματα ἧκει σοι Μάγα.
Μάγα κακόδαιμον γράμματα οὐκ ἐπίστασαι·

λαβὼν ὑπὸ χειμῶνος εἰς Παραιτόνιον ἐξενεχθέντα, στρατιώτῃ μὲν ἐκέλευσε γυμνῇ τῇ μαχαίρᾳ θίγειν τοῦ τραχήλου μόνον, εἶτα κοσμίως ἀπελθεῖν· ἀστραγάλους δὲ καὶ σφαῖραν ὡς παιδαρίῳ νοῦν οὐκ ἔχοντι προσπέμψας ἀφῆκε. Πτολεμαῖος δὲ γραμματικὸν

εἰς ἀμαθίαν ἐπισκώπτων, ἠρώτησε, τίς ὁ τοῦ Πηλέως πατὴρ ἦν· κἀκεῖνος· Ἂν σὺ πρότερον εἴπῃς (ἔφη) τίς ὁ τοῦ Λάγου. τὸ δὲ σκῶμμα τῆς δυσγενείας ἥπτετο τοῦ βασιλέως, καὶ πάντες ἠγανάκτησαν ὡς οὐκ ἐπιτήδειον ὄντα φέρειν· καὶ ὁ Πτολεμαῖος· Εἰ μὴ τὸ φέρειν (ἔφη) σκωπτόμενον, οὐδὲ τὸ σκώπτειν βασιλικόν ἐστιν. Ἀλέξανδρος δὲ πικρότερος αὐτοῦ γέγονεν ἐν τοῖς περὶ Καλλισθένην καὶ Κλεῖτον· ᾗ καὶ Πῶρος ἁλοὺς, παρεκάλει χρήσασθαι βασιλικῶς αὐτῷ· καὶ πυθομένου, μή τι πλέον· Ἐν τῷ βασιλικῶς (ἔφη) πάντα ἔνεστι. διὸ καὶ τῶν θεῶν τὸν βασιλέα μειλίχιον, Ἀθηναῖοι δὲ μαιμάκτην, οἶμαι, καλοῦσι. τὸ δὲ κολαστικὸν, ἐριννυῶδες καὶ δαιμονικὸν, οὐ θεῖον δὲ οὐδὲ ὀλύμπιον.

X. Ὥσπερ οὖν ἐπὶ τοῦ Φιλίππου τις εἶπε κατασκάψαντος Ὄλυνθον, ἀλλ' οὐκ ἂν οἰκίσαι γε πόλιν ἐκεῖνος δύναιτο τηλικαύτην, οὕτως ἐστὶν εἰπεῖν πρὸς τὸν θυμόν· Ἀνατρέψαι μὲν δύνασαι, καὶ διαφθεῖραι καὶ καταβαλεῖν, ἀναστῆσαι δὲ καὶ σῶσαι, καὶ φείσασθαι καὶ καρτερῆσαι, πρᾳότητός ἐστι καὶ συγγνώμης καὶ μετριοπαθείας, καὶ Καμίλλου, καὶ Μετέλλου, καὶ Ἀριστείδου, καὶ Σωκράτους· τὸ δ' ἐμφῦναι καὶ δακεῖν, μυρμηκῶδες καὶ μυῶδες. οὐ μὴν ἀλλὰ καὶ πρὸς ἄμυναν ἅμα σκοπῶν, τὸν δι' ὀργῆς τρόπον ἄπρακτον εὑρίσκω ταπολλὰ, δήγμασι χειλῶν καὶ πρίσεσιν ὀδόντων καὶ κεναῖς ἐπιδρομαῖς καὶ βλασφημίαις ἀπειλὰς ἀνοήτους ἐχούσαις καταναλισκόμενον, εἶτα ὥσπερ ἐν τοῖς δρόμοις τὰ παιδία, τῷ μὴ κρατεῖν ἑαυτῶν, προκαταπίπτοντα τοῦ τέλους

ἐφ᾽ ὃ σπεύδει γελοίως. ὅθεν οὐ φαύλως ὁ Ῥόδιος πρὸς ὑπηρέτην τοῦ Ῥωμαίων στρατηγοῦ βοῶντα καὶ θρασυνόμενον. Οὐ μέλει μοι, τί σὺ λέγεις, ἀλλὰ τί τῆνος σιγῇ. καὶ τὸν Νεοπτόλεμον ὁ Σοφοκλῆς καὶ τὸν Εὐρύπυλον ὁπλίσας, ἐκόμπασ᾽ ἀλοιδόρητα (φησὶν) ἐῤῥηξάτην, ἐς κύκλα χαλκέων ὅπλων. τὸν μὲν γὰρ σίδηρον ἔνιοι τῶν βαρβάρων φαρμάσσουσιν, ἡ δ᾽ ἀνδρία χολῆς οὐ δεῖται· βέβαπται γὰρ ὑπὸ τοῦ λόγου. τὸ δὲ θυμικὸν καὶ μανικὸν, εὐπερίθραυστόν ἐστι καὶ σαθρόν. ἀφαιροῦσι γοῦν αὐλοῖς τὸν θυμὸν οἱ Λακεδαιμόνιοι τῶν μαχομένων, καὶ Μούσαις πρὸ πολέμου θύουσιν, ὅπως ὁ λόγος ἐμμένῃ· καὶ τρεψάμενοι τοὺς πολεμίους, οὐ διώκουσιν, ἀλλ᾽ ἀνακαλοῦνται τὸν θυμὸν, ὥςπερ τὰ σύμμετρα τῶν ἐγχειριδίων εὐανακόμιστον ὄντα καὶ ῥᾴδιον. ὀργὴ δὲ μυρίους προανεῖλε τῆς ἀμύνης, ὡς Κῦρον καὶ Πελοπίδαν τὸν Θηβαῖον. Ἀγαθοκλῆς δὲ πρᾴως ἔφερε λοιδορούμενος ὑπὸ τῶν πολιορκουμένων· καί τινος εἰπόντος· Κεραμεῦ, πόθεν ἀποδώσεις τοῖς ξένοις τὸν μισθόν; ἐπιγελάσας· Αἴκε ταύταν ἐξέλω. καὶ τὸν Ἀντίγονον ἀπὸ τοῦ τείχους τινὲς εἰς ἀμορφίαν ἔσκωπτον· ὁ δὲ πρὸς αὐτούς· Καὶ μὴν ἐδόκουν εὐπρόσωπος εἶναι. λαβὼν δὲ τὴν πόλιν, ἐπίπρασκε τοὺς σκώπτοντας, μαρτυρόμενος, ὅτι πρὸς τοὺς δεσπότας ἕξει τὸν λόγον, ἂν πάλιν αὐτὸν λοιδορῶσιν. ὁρῶ δὲ καὶ κυνηγοὺς σφαλλομένους ὑπ᾽ ὀργῆς μεγάλα, καὶ ῥήτορας. Ἀριστοτέλης δὲ ἱστορεῖ, Σατύρου τοὺς φίλους ἐμφράξαι τὰ ὦτα κηρῷ δίκην ἔχοντος, ὅπως μὴ συγχέῃ τὸ πρᾶγμα διὰ θυμόν.

ὑπὸ τῶν ἐχθρῶν λοιδορούμενος. αὐτοὺς δὲ ἡμᾶς οὐ πολλάκις ἐκφεύγει τὸ κολάσαι πλημμελήσαντα δοῦλον; ἀποδιδράσκουσι γὰρ τὰς ἀπειλὰς καὶ τοὺς λόγους δείσαντες. ὅπερ οὖν αἱ τίτθαι πρὸς τὰ παιδία λέγουσι· *Μὴ κλαῖε, καὶ λήψῃ·* τοῦτο πρὸς τὸν θυμὸν οὐκ ἀχρήστως λεκτέον· *Μὴ σπεῦδε, μηδὲ βόα, μηδὲ ἐπείγου, καὶ μᾶλλον ἃ θέλεις γενήσεται καὶ βέλτιον.* καὶ γὰρ παῖδα πατὴρ ἰδὼν ἐπιχειροῦντά τι σιδηρίῳ διελεῖν ἢ τεμεῖν, αὐτὸς λαβὼν τὸ σιδήριον ἐποίησε· καὶ τοῦ θυμοῦ τὴν τιμωρίαν παρελόμενος, αὐτὸς ἀσφαλῶς καὶ ἀβλαβῶς καὶ ὠφελίμως ἐκόλασε τὸν ἄξιον, οὐχ ἑαυτὸν, ὥσπερ ὁ θυμὸς ἀντ' ἐκείνου πολλάκις.

XI. Πάντων δὲ τῶν παθῶν ἐθισμοῦ δεομένων, οἷον δαμάζοντος καὶ καταθλοῦντος ἀσκήσει τὸ ἄλογον καὶ δυσπειθὲς, οὐ πρὸς ἄλλο μᾶλλον ἐστὶν ἐγγυμνάσασθαι τοῖς οἰκέταις ἢ πρὸς τὸν θυμόν. οὔτε γὰρ φθόνος, οὔτε φόβος, οὔτε φιλοτιμία τις ἐγγίνεται πρὸς αὐτούς· ὀργαὶ δὲ συνεχεῖς πολλὰ ποιοῦσι προσκρούσματα καὶ σφάλματα διὰ τὴν ἐξουσίαν, ὥσπερ ἐν ὀλισθηρῷ χωρίῳ, μηδενὸς ἐνισταμένου μηδὲ κωλύοντος, ὑποφέρουσαι. οὐ γάρ ἐστιν ἀναμάρτητον ἐν πάθει τὸ ἀνυπεύθυνον κατασχεῖν, μὴ πολλῇ τὴν ἐξουσίαν ἐμπεριλαβόντα πρᾳότητι, μηδὲ πολλὰς ὑπομείναντα φωνὰς γυναικὸς, καὶ φίλων ἐγκαλούντων ἀτονίαν καὶ ῥᾳθυμίαν. οἷς μάλιστα παρωξυνόμην καὶ αὐτὸς ἐπὶ τοὺς οἰκέτας, ὡς τῷ μὴ κολάζεσθαι διαφθειρομένους. ὀψὲ μέντοι συνεῖδον, ὅτι πρῶτον μὲν ἐκείνους ἀνεξικακίᾳ χείρονας ποιεῖν βέλ-

τιόν ἐστιν, ἢ πικρίᾳ καὶ θυμῷ διαστρέφειν ἑαυτὸν εἰς ἑτέρων ἐπανόρθωσιν. ἔπειτα πολλοὺς ὁρῶν αὐτῷ τῷ μὴ κολάζεσθαι πολλάκις αἰδουμένους κακοὺς εἶναι, καὶ μεταβολῆς ἀρχὴν, τὴν συγγνώμην μᾶλλον ἢ τὴν τιμωρίαν λαμβάνοντας, καὶ νὴ Δία δουλεύοντας ἑτέροις ἀπὸ νεύματος σιωπῇ καὶ προθυμότερον, ἢ μετὰ πληγῶν καὶ μαστιγμάτων ἑτέροις, ἐπειθόμην ἡγεμονικώτερον εἶναι τοῦ θυμοῦ τὸν λογισμόν. οὐ γάρ, ὡς ὁ ποιητὴς εἶπεν,

Ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς·

ἀλλὰ τοὐναντίον αἰδουμένοις ὁ σωφρονίζων ἐγγίνεται φόβος. ἡ δὲ συνεχὴς πληγὴ καὶ ἀπαραίτητος οὐ μετάνοιαν ἐμποιεῖ τοῦ κακουργεῖν, ἀλλὰ τοῦ λανθάνειν πρόνοιαν μᾶλλον. τρίτον, ἀεὶ μνημονεύων καὶ διανοούμενος πρὸς ἐμαυτὸν, ὡς οὔτε ὁ τοξεύειν ἡμᾶς διδάξας ἐκώλυσε βάλλειν, ἀλλὰ μὴ διαμαρτάνειν, οὔτε τῷ κολάζειν ἐμποδὼν ἔσται, τὸ διδάσκειν εὐκαίρως τοῦτο ποιεῖν, καὶ μετρίως καὶ ὠφελίμως καὶ πρεπόντως· πειρῶμαι τὴν ὀργὴν ἀφαιρεῖν μάλιστα τῷ μὴ παραιρεῖσθαι τῶν κολαζομένων τὴν δικαιολογίαν, ἀλλ᾽ ἀκούειν. ὅ τε γὰρ χρόνος ἐμποιεῖ τῷ πάθει διατριβὴν, καὶ μέλλησιν ἐκλύουσαν, ἥ τε κρίσις εὑρίσκει καὶ τρόπον πρέποντα καὶ μέγεθος ἁρμόττον κολάσεως· ἔτι δὲ, οὐχ ὑπολείπεται πρόφασις τῷ διδόντι δίκην ἀντιτείνειν πρὸς τὴν ἐπανόρθωσιν, ἂν μὴ κατ᾽ ὀργὴν, ἀλλ᾽ ἐξελεγχθεὶς κολάζηται. τὸ δὲ αἴσχιστον οὐ πρόσεστι, φαίνεσθαι δικαιότερα τοῦ δεσπότου λέγοντα τὸν οἰκέτην. ὥσπερ οὖν ὁ Φωκίων μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν οὐκ ἐῶν προεξανίστα-

σθαι τοὺς Ἀθηναίους, οὐδὲ ταχὺ πιστεύειν· Εἰ σήμερον, (εἶπεν) ἄνδρες Ἀθηναῖοι, τέθνηκε, καὶ αὔριον ἔσται καὶ εἰς τρίτην τεθνηκώς· οὕτως οἶμαι δεῖν ὑποβάλλειν ἑαυτῷ τὸν σπεύδοντα δι᾽ ὀργὴν ἐπὶ τὴν τιμωρίαν· Εἰ σήμερον οὗτος ἠδίκησε, καὶ αὔριον ἔσται καὶ εἰς τρίτην ἠδικηκώς· καὶ δεινὸν οὐδὲν, εἰ δώσει δίκην βράδιον, ἀλλ᾽ εἰ ταχὺ παθὼν, ἀεὶ φανεῖται μὴ ἀδικῶν· ὅπερ ἤδη συμβέβηκε πολλάκις. τίς γὰρ ἡμῶν οὕτω δεινός ἐστιν, ὥστε κολάζειν καὶ μαστιγοῦν δοῦλον, ὅτι πέμπτην ἢ δεκάτην ἡμέραν προσέκαυσε τοὖψον, ἢ κατέβαλε τὴν τράπεζαν, ἢ βράδιον ὑπήκουσε; καὶ μὴν ταῦτ᾽ ἐστὶν ἐφ᾽ οἷς εὐθὺς γενομένοις καὶ προσφάτοις οὖσι, ταραττόμεθα, καὶ πικρῶς καὶ ἀπαραιτήτως ἔχομεν. ὡς γὰρ δι᾽ ὁμίχλης τὰ σώματα, καὶ δι᾽ ὀργῆς τὰ πράγματα μείζονα φαίνεται. διὸ δεῖ ταχὺ συμμνημονεύειν τῶν ὁμοίων, καὶ τοῦ πάθους ἔξωθεν ὄντα ἀνυπόπτως, ἂν καθαρῷ τῷ λογισμῷ καὶ καθεστῶτι φαίνηται μοχθηρὸν, ἐπιστραφῆναι, καὶ μὴ προέσθαι τότε μηδ᾽ ἀφεῖναι τὴν κόλασιν, ὥςπερ σιτίον, ἀνορέκτους γεγονότας. οὐδὲν γὰρ οὕτως αἴτιόν ἐστι τοῦ παρούσης ὀργῆς κολάζειν, ὡς τὸ παυσαμένης μὴ κολάζειν, ἀλλ᾽ ἐκλελύσθαι, καὶ ταυτὸν πεπονθέναι τοῖς ἀργοῖς κωπηλάταις, οἳ γαλήνης ὁρμοῦσιν, εἶτα κινδυνεύουσιν ἀνέμῳ πλέοντες. καὶ γὰρ ἡμεῖς τοῦ λογισμοῦ κατεγνωκότες ἀτονίαν καὶ μαλακίαν ἐν τῷ κολάζειν, σπεύδομεν παρόντι τῷ θυμῷ, καθάπερ πνεύματι παραβόλῳ. τροφῇ μὲν γὰρ ὁ πεινῶν κατὰ φύσιν χρῆται, τιμωρίᾳ δὲ ὁ μὴ πεινῶν μηδὲ διψῶν αὐτῆς·

μηδὲ ὥσπερ ὄψου πρὸς τὸ κολάσαι τοῦ θυμοῦ δεόμενος, ἀλλ' ὅταν ποῤῥωτάτω τοῦ ὀρέγεσθαι γένηται, προσάγων τὸν λογισμὸν ἀναγκαίως. οὐ γὰρ, ὡς Ἀριστοτέλης ἱστορεῖ, κατ' αὐτὸν ἐν Τυῤῥηνίᾳ μαστιγοῦσθαι τοὺς οἰκέτας πρὸς αὐλὸν, οὕτω πρὸς ἡδονὴν δεῖ καθάπερ ἀπολαύσματος ὀρέξει, τῆς τιμωρίας ἐμφορεῖσθαι καὶ χαίρειν κολάζοντας, εἶτα μετανοεῖν· ὧν τὸ μὲν, θηριῶδες, τὸ δὲ, γυναικῶδες· ἀλλὰ καὶ λύπης καὶ ἡδονῆς χωρὶς, ἐν τῷ τοῦ λογισμοῦ χρόνῳ τὴν δίκην κολάζεσθαι, μὴ ὑπολείποντα τῷ θυμῷ πρόφασιν.

XII. Αὕτη μὲν οὖν ἴσως οὐκ ὀργῆς ἰατρεία φανεῖται, διάκρουσις δὲ καὶ φυλακὴ τῶν ἐν ὀργῇ τινὸς ἁμαρτημάτων. καίτοι καὶ σπληνὸς οἴδημα, σύμπτωμα μέν ἐστι πυρετοῦ, πραϋνόμενον δὲ, κουφίζει τὸν πυρετὸν, ὥς φησιν Ἱερώνυμος. ἀλλ' αὐτῆς γε τῆς ὀργῆς ἀναθεωρῶν τὴν γένεσιν, ἄλλους ὑπ' ἄλλων αἰτιῶν ἐμπίπτοντας εἰς αὐτὴν ἑώρων, οἷς ἐπιεικῶς ἅπασι δόξα τοῦ καταφρονεῖσθαι καὶ ἀμελεῖσθαι παραγίνεται. διὸ καὶ τοῖς παραιτουμένοις ὀργὴν, δεῖ βοηθεῖν ποῤῥωτάτω τὴν πρᾶξιν ὀλιγωρίας ἀπάγοντας καὶ θρασύτητος, εἰς ἄνοιαν, ἢ ἀνάγκην, ἢ πάθος, ἢ δυστυχίαν, τιθεμένους· ὡς Σοφοκλῆς·

Ἀλλ' οὐ γὰρ, ὦ 'ναξ, οὐδ' ὃς ἂν βλαστῇ μένει
Νοῦς τοῖς κακῶς πράξασιν, ἀλλ' ἐξίσταται.

καὶ τῆς Βρισηΐδος τὴν ἀφαίρεσιν εἰς τὴν Ἄτην ἀναφέρων ὁ Ἀγαμέμνων, ὅμως,

Ἂψ ἐθέλει ἀρέσαι, δόμεναί τ' ἀπερείσι' ἄποινα.

καὶ γὰρ τὸ δεῖσθαι, τοῦ μὴ καταφρονοῦντός ἐστι,

καὶ ταπεινὸς φανεὶς ὁ ἀδικήσας ἔλυσε τὴν τῆς ὀλιγωρίας δόξαν. οὐ δεῖ δὲ ταῦτα περιμένειν τὸν ὀργιζόμενον, ἀλλὰ τὸ τοῦ Διογένους· Οὗτοί σου καταγελῶσιν, ὦ Διόγενες· Ἐγὼ δ' οὐ καταγελῶμαι· λαμβάνειν ἑαυτῷ, καὶ καταφρονεῖσθαι μὴ νομίζειν, ἀλλὰ μᾶλλον ἐκείνου καταφρονεῖν, ὡς δι' ἀσθένειαν, ἢ πλημμέλειαν, ἢ προπέτειαν, ἢ ῥαθυμίαν, ἢ ἀνελευθερίαν, ἢ γῆρας, ἢ νεότητα, πλημμελοῦντος. οἰκέταις δὲ καὶ φίλοις ἀφετέον τὸ τοιοῦτο παντάπασιν. οὐ γὰρ ὡς ἀδυνάτων, οὐδ' ὡς ἀπράκτων, ἀλλὰ δι' ἐπιείκειαν ἢ δι' εὔνοιαν, οἱ μὲν ὡς χρηστῶν, οἱ δὲ ὡς φιλούντων καταφρονοῦσι· νυνὶ δὲ οὐ μόνον πρὸς γυναῖκα καὶ δούλους καὶ φίλους, ὡς καταφρονούμενοι, τραχέως ἔχομεν, ἀλλὰ καὶ πανδοκεῦσι καὶ ναύταις καὶ ὀρεωκόμοις μεθύουσι, πολλάκις ὑπ' ὀργῆς συμπίπτομεν, οἰόμενοι καταφρονεῖσθαι, καὶ κυσὶν ὑλακτοῦσι, καὶ ὄνοις ἐμβάλλουσι χαλεπαίνομεν· ὡς ἐκεῖνος ὁ βουλόμενος τύπτειν τὸν ὀνηλάτην· εἶτ' ἀνακραγόντος, ὅτι Ἀθηναῖός εἰμι· Σὺ μὲν οὐκ εἶ Ἀθηναῖος, τὸν ὄνον λέγων ἔτυπτε, καὶ πολλὰς ἐνεφόρει πληγάς.

XIII. Καὶ μὴν τάς γε συνεχεῖς καὶ πυκνὰς καὶ κατὰ μικρὸν ἐν τῇ ψυχῇ συλλεγομένας ὀργὰς, μάλιστα φιλαυτία καὶ δυσκολία μετὰ τρυφῆς καὶ μαλακίας, οἷον σμῆνος ἢ σφηκίαν ἡμῖν ἐντίκτουσι. διὸ μεῖζον οὐδὲν εὐκολίας καὶ ἀφελείας ἐφόδιον εἰς πρᾳότητα πρὸς οἰκέτας καὶ γυναῖκα καὶ φίλους, τῷ δυναμένῳ συμφέρεσθαι τοῖς παροῦσι, καὶ μὴ δεομένῳ πολλῶν καὶ περιττῶν

Ὁ δ᾽ οὔτ᾽ ἄγαν ὀπτοῖσιν, οὔθ᾽ ἑφθοῖς ἄγαν,
Οὔθ᾽ ἧττον, οὔτε μᾶλλον, οὔτε διὰ μέσου
Ἠρτυμένοισι χαίρων, ὥστ᾽ ἐπαινέσαι.

χιόνος δὲ μὴ παρούσης, οὐκ ἂν πιὼν, οὔτε ἄρτον ἐξ ἀγορᾶς φαγὼν, οὐδὲ ὄψου γευσάμενος ἐν λιτοῖς ἢ κεραμεοῖς σκεύεσιν, οὐδὲ κοιμηθεὶς ἐπὶ στρωμνῆς μὴ οἰδούσης, ὥσπερ θαλάττης διὰ βάθους κεκινημένης· ῥάβδοις δὲ καὶ πληγαῖς τοὺς περὶ τράπεζαν ὑπηρέτας ἐπιταχύνων μετὰ δρόμου καὶ βοῆς καὶ ἱδρῶτος, ὥσπερ φλεγμονῶν καταπλάσματα κομίζοντας, ἀσθενεῖ καὶ φιλαιτίῳ καὶ μεμψιμοίρῳ δουλεύων διαίτῃ, καθάπερ ὑπὸ βηχὸς ἐνδελεχοῦς, ἢ προσκρουσμάτων πολλῶν, ἔλαθεν ἑλκώδη καὶ καταῤῥοϊκὴν διάθεσιν περὶ τὸ θυμοειδὲς ἀπεργασάμενος. ἐθιστέον οὖν τὸ σῶμα δι᾽ εὐτελείας πρὸς εὐκολίαν, αὔταρκες ἑαυτῷ γινόμενον· οἱ γὰρ ὀλίγων δεόμενοι, πολλῶν οὐκ ἀποτυγχάνουσι· καὶ δεινὸν οὐδὲν, ἀρξαμένους ἀπὸ τῆς τροφῆς, σιωπῇ χρήσασθαι τοῖς παρατυγχάνουσι, καὶ μὴ πολλὰ χολουμένους καὶ δυσκολαίνοντας, ἀτερπέστατον ὄψον ἐμβαλεῖν ἑαυτοῖς καὶ φίλοις τὴν ὀργήν.

Δόρπου δ᾽ οὐκ ἄν πως ἀχαρίστερον ἄλλο γένοιτο διὰ πρόσκαυσιν ἢ καπνὸν, ἢ ἁλῶν ἔνδειαν, ἢ ψυχρότερον ἄρτον, οἰκετῶν τυπτομένων, καὶ λοιδορουμένης γυναικός. Ἀρκεσιλάου δὲ μετὰ ξένων τινῶν ἑστιῶντος τοὺς φίλους, παρετέθη τὸ δεῖπνον· ἄρτοι δὲ οὐκ ἦσαν, ἀμελησάντων πρίασθαι τῶν παίδων. ἐφ᾽ ᾧ τίς οὐκ ἂν ἡμῶν διέστησε τοὺς τοίχους κεκραγώς; ὁ δὲ μειδιάσας· Οἷόν ἐστιν (ἔφη) τὸ συμποτικὸν εἶναι

τὸν σοφόν. τοῦ δὲ Σωκράτους ἐκ παλαίστρας παραλαβόντος τὸν Εὐθύδημον, ἡ Ξανθίππη μετ' ὀργῆς ἐπιστᾶσα καὶ λοιδορήσασα, τέλος ἀνέτρεψε τὴν τράπεζαν· ὁ δὲ Εὐθύδημος ἐξαναστὰς ἀπῄει περίλυπος γενόμενος· καὶ ὁ Σωκράτης· Παρὰ σοὶ δὲ (εἶπεν) οὐ πρώην ὄρνις τις εἰσπτᾶσα ταυτὸ τοῦτο ἐποίησεν; ἡμεῖς δ' οὐκ ἠγανακτήσαμεν. δεῖ γὰρ σὺν εὐκολίᾳ καὶ γέλωτι καὶ φιλοφροσύνῃ τοὺς φίλους δέχεσθαι, μὴ τὰς ὀφρῦς συνάγοντας, μηδὲ φρίκην καὶ τρόμον ἐμβάλλοντας τοῖς ὑπηρετοῦσιν. ἐθιστέον δὲ καὶ σκεύεσιν εὐκόλως ὁμιλεῖν ἅπασι, καὶ μὴ τῷδε μᾶλλον ἢ τῷδε χρῆσθαι· καθάπερ ἔνιοι πολλῶν παρόντων, ἓν ἐξελόμενοι κανθάριον, ὥς Μάριον ἱστοροῦσι, ἢ ῥυτὸν οὐκ ἂν ἑτέρῳ πίοιεν· οὕτω δὲ καὶ πρὸς ληκύθους ἔχουσιν, καὶ πρὸς στλεγγίδας, ἀγαπῶντες ἐκ πασῶν μίαν· εἶτα ὅταν συντριβῇ τι τούτων, ἢ ἀπόληται, βαρέως φέρουσι καὶ κολάζουσι. ἀφεκτέον οὖν τῷ πρὸς ὀργὴν φαύλως ἔχοντι καὶ τῶν σπανίων καὶ περιττῶν, οἷον ἐκπωμάτων καὶ σφραγίδων καὶ λίθων πολυτελῶν· ἐξίστησι γὰρ ἀπολλύμενα μᾶλλον τῶν εὐπορίστων καὶ συνήθων. διὸ καὶ τοῦ Νέρωνος ὀκτάγωνόν τινα σκηνὴν ὑπερφυὲς κάλλει καὶ πολυτελείᾳ θέαμα κατασκευάσαντος· Ἤλεγξας (ἔφη ὁ Σενέκας) πένητα σεαυτόν· ἐὰν γὰρ ταύτην ἀπολέσῃς, ἑτέραν οὐ κτήσῃ τοιαύτην. καὶ μέντοι καὶ συνέπεσε, τοῦ πλοίου καταδύντος, ἀπολέσθαι τὴν σκηνήν. ὁ δὲ Νέρων ἀναμνησθεὶς τοῦ Σενέκα, μετριώτερον ἤνεγκεν. ἡ δὲ πρὸς τὰ πράγματα εὐκολία, καὶ πρὸς οἰκέτας εὔκολον ποιεῖ καὶ πρᾶον· εἰ δὲ πρὸς οἰκέτας,

δῆλον ὅτι καὶ πρὸς φίλους καὶ πρὸς ἀρχομένους. ὁρῶμεν δὲ καὶ δούλους νεωνήτους περὶ τοῦ πριαμένου πυνθανομένους, οὐκ εἰ δεισιδαίμων, οὐδ' εἰ φθονερὸς, ἀλλ' εἰ θυμώδης· καὶ ὅλως σὺν ὀργῇ, μηδὲ σωφροσύνην ἄνδρας γυναικῶν, μηδὲ ἔρωτα γυναῖκας ἀνδρῶν ὑπομένειν δυναμένας, μηδὲ συνήθειαν ἀλλήλων φίλους. οὕτως οὔτε γάμος οὔτε φιλία μετ' ὀργῆς ἀνεκτὸν, ἀλλὰ χωρὶς ὀργῆς καὶ μέθη κοῦφόν ἐστιν. ὁ γὰρ τοῦ θεοῦ νάρθηξ, ἱκανὸς κολαστὴς τοῦ μεθύοντος, ἂν μὴ προσγενόμενος ὁ θυμὸς ὠμηστὴν καὶ μαινόλην ἀντὶ λυαίου καὶ χορείου ποιήσῃ τὸν ἄκρατον· καὶ τὴν μανίαν αὐτὴ καθ' αὑτὴν ἡ ἀντίκυρα θεραπεύει, μιχθεῖσα δὲ ὀργῇ, τραγῳδίας ποιεῖ καὶ μύθους.

XIV. Δεῖ δὲ μήτε παίζοντας αὐτῇ διδόναι τόπον, ἔχθραν γὰρ ἐπάγει τῇ φιλοφροσύνῃ· μήτε κοινολογουμένους, φιλονεικίαν γὰρ ἐκ φιλολογίας ἀπεργάζεται· μήτε δικάζοντας, ὕβριν γὰρ τῇ ἐξουσίᾳ προστίθησι· μήτε παιδεύοντας, ἀθυμίαν γὰρ ἐμποιεῖ καὶ μισολογίαν· μήτε εὐτυχοῦντας, αὔξει γὰρ τὸν φθόνον· μήτε δυστυχοῦντας, ἀφαιρεῖ γὰρ τὸν ἔλεον, ὅταν δυσκολαίνωσι καὶ μάχωνται τοῖς συναχθομένοις. ὡς ὁ Πρίαμος·

Ἐῤῥέτε λωβητῆρες ἐλεγχέες· οὔ νυ καὶ ὑμῖν
Ἐστὶ γόος, ὅτι μ' ἤλθετε κηδήσοντες;

ἡ δ' εὐκολία τοῖς μὲν βοηθεῖ, τὰ δ' ἐπικοσμεῖ, τὰ δὲ συνηδύνει· περιγίνεται δὲ τῇ πρᾳότητι, καὶ θυμοῦ καὶ δυσκολίας ἁπάσης· ὥσπερ Εὐκλείδης, τοῦ ἀδελφοῦ πρὸς αὐτὸν ἐκ διαφορᾶς εἰπόντος· Ἀπολοί-

μην, εἰ μή σε τιμωρησαίμην· Ἐγὼ δὲ, φήσας, ἀπολοίμην, εἰ μή σε πείσαιμι, διέτρεψε παραχρῆμα καὶ μετέθηκε. Πολέμων δὲ, λοιδοροῦντος αὐτὸν ἀνθρώπου φιλολίθου καὶ περὶ σφραγίδια πολυτελῆ νοσοῦντος, ἀπεκρίνατο μὲν οὐδὲν, τῶν σφραγιδίων δὲ ἑνὶ προσεῖχε τὸν νοῦν, καὶ κατεμάνθανεν· ἡσθεὶς οὖν ὁ ἄνθρωπος· Μὴ οὕτως (εἶπεν) ὦ Πολέμων, ἀλλ᾽ ὑπ᾽ αὐγὰς θεῶ, καὶ πολύ σοι βέλτιον φανεῖται. ὁ δ᾽ Ἀρίστιππος, ὀργῆς αὐτῷ πρὸς Αἰσχίνην γενομένης, καί τινος εἰπόντος· Ὦ Ἀρίστιππε, ποῦ ὑμῶν ἡ φιλία; Καθεύδει, (φησὶν) ἐγὼ δὲ αὐτὴν ἐγερῶ· καὶ τῷ Αἰσχίνῃ προσελθὼν εἶπεν· Οὕτως σοι δοκῶ παντάπασιν ἀτυχής τις εἶναι καὶ ἀνήκεστος, ὥστε μὴ νουθεσίας τυχεῖν; ὁ δ᾽ Αἰσχίνης· Οὐδὲν (ἔφη) θαυμαστὸν, εἰ πρὸς πάντα τῇ φύσει μου διαφέρων, κἀνταῦθα τὸ δέον πρότερος συνεῖδες.

Καὶ γὰρ κάπρον φριξαύχεν᾽ οὐ μόνον γυνὴ,
Παῖς δ᾽ ἂν νευγνὸς χειρὶ προσκνήθων νέᾳ,
Κλίναι παλαιστοῦ παντὸς εὐμαρέστερον.

ἀλλ᾽ ἡμεῖς ἀγριαίνοντα τιθασσεύομεν ζῶα καὶ πραΰνομεν, λυκιδεῖς καὶ σκύμνους λεόντων ἐν ταῖς ἀγκάλαις περιφέροντες, εἶτα καὶ τέκνα καὶ φίλους καὶ συνήθεις ἐκβάλλομεν ὑπ᾽ ὀργῆς· οἰκέταις δὲ καὶ πολίταις τὸν θυμὸν ὥσπερ θηρίον ἐφίεμεν· οὐ καλῶς ὑποκοριζόμενοι μισοπονηρίαν, ἀλλ᾽ ὥσπερ, οἶμαι, τῶν ἄλλων παθῶν ψυχῆς καὶ νοσημάτων, τὸ μὲν πρόνοιαν, τὸ δ᾽ ἐλευθεριότητα, τὸ δ᾽ εὐσέβειαν καλοῦντες, οὐδενὸς ἀπαλλαγῆναι δυνάμεθα.

XV. Καίτοι, καθάπερ ὁ Ζήνων ἔλεγε, τὸ σπέρ-

μα σύμμιγμα καὶ κέρασμα τῶν τῆς ψυχῆς δυνάμεων ὑπάρχειν ἀπεσπασμένον, οὕτως ἔοικε τῶν παθῶν πανσπερμία τις ὁ θυμὸς εἶναι. καὶ γὰρ λύπης ἐμπέπλησται καὶ ἡδονῆς καὶ ὕβρεως· καὶ φθόνου μὲν ἔχει τὴν ἐπιχαιρεκακίαν· φόνου δὲ καὶ χεῖρον ἐςίν· ἀγωνίζεται γὰρ οὐχὶ μὴ παθεῖν αὐτὸς, ἀλλὰ παθεῖν κακῶς ἐπιτρίψας ἕτερον· ἐπιθυμίας δὲ αὐτῷ τὸ ἀτερπέστατον ἐμπέφυκεν, εἴ γε δὴ τοῦ λυπεῖν ἕτερον ὄρεξίς ἐστι. διὸ τῶν μὲν ἀσώτων ταῖς οἰκίας προσιόντες αὐλητρίδος ἀκούομεν ἑωθινῆς, καὶ πηλὸν, ὥς τις εἶπεν, οἴνου, καὶ σπαράγματα στεφάνων, καὶ κραιπαλῶντας ὁρῶμεν ἐπὶ θύραις ἀκολούθους· τὰ δὲ τῶν πικρῶν ἐκκαλύμματα καὶ δυσκόλων, ἐν τοῖς προσώποις τῶν οἰκετῶν ὄψει, καὶ τοῖς στίγμασι καὶ ταῖς πέδαις.

Ἀεὶ δὲ ἀοιδῶν μοῦνος ἐν στέγαις
ὀργίλου ἀνδρὸς
Κωκυτὸς ἐμπέπτωκε, —

μαστιγουμένων ἔνδον οἰκονόμων, καὶ στρεβλουμένων θεραπαινίδων· ὥστε τοῦ θυμοῦ τὰς λύπας ἐν ταῖς ἐπιθυμίαις καὶ ταῖς ἡδοναῖς οἰκτείρειν ὁρῶντας.

XVI. Οὐ μὴν ἀλλὰ ὅσοις γε συμβαίνει διὰ μισοπονηρίαν ἀληθῶς ἁλίσκεσθαι πολλάκις ὑπὸ ὀργῆς, τὸ ἄγαν ἀφαιρετέον αὐτῆς καὶ τὸ ἄκρατον ἅμα τῇ σφοδρᾷ πίστει περὶ τῶν συνόντων. αὕτη γὰρ αὔξει μάλιστα τῶν αἰτιῶν τὸν θυμὸν, ὅταν ἢ χρηστὸς ὑποληφθεὶς ἀναφανῇ μοχθηρὸς, ἢ φιλεῖν δόξας ἐν διαφορᾷ τινι καὶ μέμψει γένηται. τὸ δὲ ἐμὸν ἦθος, οἶσθα δήπουθεν, ἡλίκαις ῥοπαῖς φέρεται πρὸς

εὔνοιαν ἀνθρώπων καὶ πίστιν. ὥσπερ οὖν οἱ κατὰ κενοῦ βαίνοντες, ὅπου μᾶλλον ἐπερείδω τῷ φιλεῖν ἐμαυτὸν, ἁμαρτάνω μᾶλλον, καὶ σφαλλόμενος ἀνιῶμαι· καὶ τοῦ μὲν φιλεῖν ἀπαρύσαι τὸ ἐμπαθὲς ἄγαν καὶ πρόθυμον οὐκ ἂν ἔτι δυνηθείην· τοῦ δὲ πιστεύειν σφόδρα χρησαίμην ἂν ἴσως χαλινῷ, τῇ Πλάτωνος εὐλαβείᾳ. καὶ γὰρ Ἑλικῶνα τὸν μαθηματικὸν οὕτως ἐπαινεῖν φησιν, ὡς φύσει εὐμετάβολον ζῶον, καὶ τοὺς τεθραμμένους ἐν τῇ πόλει καλῶς δεδιέναι, μὴ ἄνθρωποι καὶ σπέρματα ἀνθρώπων ὄντες, ἐκφήνωσί που τῆς φύσεως τὴν ἀσθένειαν. ὁ δὲ Σοφοκλῆς λέγων, ὅτι

Τὰ πλεῖστα φωρῶν αἰσχρὰ φωράσεις βροτῶν,

ἄγαν ἔοικεν ἡμῖν ἐπεμβαίνειν καὶ κολούειν. οὐ μὴν ἀλλὰ τὸ δύσκολον τοῦτο τῆς κρίσεως καὶ φιλαίτιον, εὐκολωτέρους ποιεῖ ταῖς ὀργαῖς· ἐκστατικὸν γάρ ἐστι τὸ ἄφνω καὶ τὸ ἀπροσδόκητον· δεῖ δὲ, ὥς που καὶ Παναίτιος ἔφη, χρῆσθαι τῷ Ἀναξαγόρᾳ, καὶ καθάπερ ἐκεῖνος ἐπὶ τῇ τελευτῇ τοῦ παιδὸς εἶπεν· Ἤδειν, ὅτι θνητὸν ἐγέννησα, τοῦτο τοῖς παροξύνουσιν ἑκάστοτ' ἐπιφωνεῖν ἁμαρτήμασιν· Ἤδειν, ὅτι σοφὸν οὐκ ἐπριάμην δοῦλον· Ἤδειν, ὅτι ἀπαθῆ τὸν φίλον οὐκ ἐκτησάμην· Ἤδειν, ὅτι τὴν γυναῖκα γυναῖκα εἶχον. ἂν δὲ κἀκεῖνό τις ἐπιφθεγγόμενος ἀεὶ τὸ τοῦ Πλάτωνος· Ἤπου ἄρ' ἐγὼ τοιοῦτος; ἔξωθεν εἴσω τὸν λογισμὸν ἀναστρέφῃ, καὶ παρεμβάλλῃ ταῖς μέμψεσι τὴν εὐλάβειαν, οὐ πολλῇ χρήσεται μισοπονηρίᾳ πρὸς ἑτέρους, πολλῆς ὁρῶν ἑαυτὸν συγγνώμης δεόμενον. νῦν δὲ ἕκαστος ἡμῶν ὀργιζόμενος καὶ κολάζων, Ἀρι-

παιδίου φωνὰς ἐπιφέρει καὶ Κάτωνος, μὴ κλέπτε, μὴ ψεύδου· διὰ τί ῥᾳθυμεῖς, καὶ (ὃ δὴ πάντων αἴσχιστόν ἐστιν) ὀργιζομένοις ἐπιτιμῶμεν μετ' ὀργῆς, καὶ τὰ διὰ θυμὸν ἡμαρτημένα, θυμῷ κολάζομεν, οὐχ ὥσπερ οἱ ἰατροὶ πικρῷ πικρὰν κλύζουσι φαρμάκῳ χολὴν, ἀλλὰ μᾶλλον ἐπιτείνοντες καὶ προσεπιταράττοντες. ὅταν οὖν ἐν τούτοις γένωμαι τοῖς ἐπιλογισμοῖς, ἅμα τι πειρῶμαι καὶ τοῦ πολυπράγμονος ἀφαιρεῖν. τὸ γὰρ ἐξακριβοῦν ἅπαντα καὶ φωρᾶν, καὶ πᾶσαν ἕλκειν εἰς μέσον ἀσχολίαν οἰκέτου, καὶ πρᾶξιν φίλου, καὶ διατριβὴν υἱοῦ, καὶ ψιθυρισμὸν γυναικὸς, ὀργὰς φέρει πολλὰς καὶ συνεχεῖς, καὶ καθημερινὰς, ὧν δυσκολία τρόπου καὶ χαλεπότης τὸ κεφάλαιόν ἐστι. Ὁ μὲν οὖν θεὸς (ὥς Εὐριπίδης φησὶ) τῶν ἄγαν ἅπτεται, τὰ μικρὰ δὲ εἰς τύχην ἀφεὶς ἐᾷ· ἐγὼ δὲ τῇ τύχῃ μὲν οὐδὲν οἶμαι δεῖν ἐπιτρέπειν, οὐδὲ παρορᾷν τὸν νοῦν ἔχοντα, πιστεύειν δὲ καὶ χρῆσθαι τὰ μὲν γυναικὶ, τὰ δὲ οἰκέταις, τὰ δὲ φίλοις, οἷον ἄρχοντα ἀρχόντων ἐπιτρόποις τισὶ καὶ λογισταῖς καὶ διοικηταῖς, αὐτὸν ἐπὶ τῶν κυριωτάτων ὄντα τῷ λογισμῷ καὶ μεγίστων. ὡς γὰρ τὰ λεπτὰ γράμματα τὴν ὄψιν, οὕτω τὰ μικρὰ πράγματα μᾶλλον ἐντείνοντα, νύττει καὶ ταράττει τὴν ὀργὴν, ἔθος πονηρὸν ἐπὶ τὰ μείζονα λαμβάνουσαν. ἐπὶ πᾶσι τοίνυν τὸ μὲν τοῦ Ἐμπεδοκλέους, μέγα καὶ θεῖον ἡγοῦμεν, τὸ, νηστεῦσαι κακότητος· ἐπῄνουν δὲ κἀκείνας, ὡς οὐκ ἀχαρίστους οὐδὲ ἀφιλοσόφους ἐν εὐχαῖς ὁμολογίας, ἐνιαυτὸν ἀφροδισίων ἁγνεῦσαι καὶ οἴνου, τιμῶντας ἐγκρατείᾳ τὸν θεόν· ἢ ψευδολογίας

πάλιν ἀπέχεσθαι χρόνον ὡρισμένον, αὐτοῖς προσέχοντας, πῶς ἀληθεύσομεν ἔν γε παιδιᾷ καὶ μετὰ σπουδῆς ἁπάσης· εἶτα ταύταις τὴν ἐμαυτοῦ παρέβαλλον ψυχὴν, ὡς οὐχ ἧττον θεοφιλῆ καὶ ἱερᾶς ἡμέρας. πρῶτον ἀοργήτους ὀλίγας, οἷον ἀμεθύστους καὶ ἀοίνους διαγαγεῖν, ὥσπερ νηφάλια καὶ μελίσπονδα θύων· εἶτα μῆνα καὶ δύο πειρώμενος ἐμαυτοῦ κατὰ μικρὸν, οὕτω τῷ χρόνῳ προὔβαινον εἰς τὸ πρόσθεν τῆς ἀνεξικακίας, ἐγκρατῶς προσέχων, καὶ διαφυλάττων μετ' εὐφημίας ἵλεω καὶ ἀμήνιτον ἐμαυτὸν, ἁγνεύοντα καὶ λόγων πονηρῶν, καὶ πράξεων ἀτόπων, καὶ πάθους ἐφ' ἡδονῇ μικρᾷ καὶ ἀχαρίστῳ ταραχάς τε μεγάλας καὶ μεταμέλειαν αἰσχίστην φέροντος. ὅθεν (οἶμαι) καὶ θεοῦ τι συλλαμβάνοντος, ἐσαφήνιζεν ἡ πεῖρα τὴν κρίσιν ἐκείνην, ὅτι τὸ ἵλεων τοῦτο καὶ πρᾶον καὶ φιλάνθρωπον, οὐδενὶ τῶν συνόντων εὐμενές ἐστιν οὕτω καὶ φίλον καὶ ἄλυπον, ὡς αὐτοῖς τοῖς ἔχουσιν.

# ΠΛΟΥΤΑΡΧΟΥ
## ΠΕΡΙ
## ΕΥΘΥΜΙΑΣ.

Πλούταρχος Πακκίῳ εὖ πράττειν. Ὀψέ σου τὴν ἐπιστολὴν ἐκομισάμην, ἐν ᾗ παρεκάλεις περὶ εὐθυ-

R 2

μίας σοι τὶ γραφῆναι, καὶ περὶ τῶν ἐν Τιμαίῳ δεομένων ἐπιμελεστέρας ἐξηγήσεως. ἅμα δέ πως τὸν ἑταῖρον ἡμῶν Ἔρωτα κατελάμβανεν αἰτία τοῦ πλεῖν εὐθὺς εἰς Ῥώμην, παρὰ Φουνδάνου τοῦ κρατίστου γράμματα δεδεγμένον, οἷος ἐκεῖνος, ἐπιταχύνοντα. μήτε δὲ χρόνον ἔχων, ὡς προῃρούμην, γενέσθαι πρὸς οἷς ἐβούλου, μήτε ὑπομένων κεναῖς παντάπασι τὸν ἄνδρα χερσὶν ὀφθῆναί σοι παρ' ἡμῶν ἀφιγμένον, ἀνελεξάμην περὶ εὐθυμίας, ἐκ τῶν ὑπομνημάτων ὧν ἐμαυτῷ πεποιημένος ἐτύγχανον· ἡγούμενός τε σὲ τὸν λόγον τοῦτον οὐκ ἀκροάσεως ἕνεκα θηρωμένης καλλιγραφίαν, ἀλλὰ χρείας βοηθητικῆς, ἐπιζητεῖν· καὶ συνηδόμενος, ὅτι καὶ φιλίας ἔχων ἡγεμονικὰς, καὶ δόξαν οὐδενὸς ἐλάττονα τῶν ἐν ἀγορᾷ λεγόντων, τὸ τοῦ τραγικοῦ Μέροπος οὐ πέπονθας, οὐδ' ὡς ἐκεῖνον εὐδαιμονίζων ὁ ὄχλος ἐξέπληξέ σε τῶν φυσικῶν παθῶν· ἀλλὰ πολλάκις ἀκηκοὼς, μνημονεύεις, ὡς οὔτε ποδάγρας ἀπαλλάττει καλτίκιος, οὔτε δακτύλιος πολυτελὴς παρωνυχίας, οὐδὲ διάδημα κεφαλαλγίας. πόθεν γε δὴ πρὸς ἀλυπίαν ψυχῆς καὶ βίον ἀκύμονα, χρημάτων ὄφελος, ἢ δόξης, ἢ δυνάμεως ἐν αὐλαῖς, ἂν μὴ τὸ χρώμενον εὐχάριστον ᾖ τοῖς ἔχουσι, καὶ τὸ τῶν ἀπόντων μὴ δεόμενον ἀεὶ παρακολουθῇ; τί δὲ τοῦτ' ἔστιν ἄλλο ἢ λόγος εἰθισμένος καὶ μεμελετηκὼς τοῦ παθητικοῦ καὶ ἀλόγου τῆς ψυχῆς ἐξισταμένου πολλάκις, ἐπιλαμβάνεσθαι ταχὺ, καὶ μὴ περιορᾷν ἀποῤῥέον καὶ καταφερόμενον ἀπὸ τῶν παρόντων. ὥσπερ οὖν ὁ Ξενοφῶν παρῄνει, τῶν θεῶν εὐτυχοῦντας μάλιστα μεμνῆσθαι καὶ τιμᾷν, ὅπως,

ὅταν ἐν χρείᾳ γενώμεθα, θαῤῥοῦντες αὐτοὺς παρακαλῶμεν ὡς εὐμενεῖς ὄντας ἤδη καὶ φίλους· οὕτω καὶ τῶν λόγων ὅσοι πρὸς τὰ πάθη βοηθοῦσι, δεῖ πρὸ τῶν παθῶν ἐπιμελεῖσθαι τοὺς νοῦν ἔχοντας, ἵν᾽ ἐκ πολλοῦ παρεσκευασμένοι μᾶλλον ὠφελῶσιν. ὡς γὰρ οἱ χαλεποὶ κύνες πρὸς πᾶσαν ἐκταραττόμενοι βοὴν, ὑπὸ μόνης καταπραΰνονται τῆς συνήθους· οὕτω καὶ τὰ πάθη τὰ τῆς ψυχῆς διαγριαινόμενα καταπαῦσαι ῥᾳδίως οὐκ ἔστιν, ἂν μὴ λόγοι παρόντες οἰκεῖοι καὶ συνήθεις ἐπιλαμβάνωνται τῶν ταραττομένων.

II. Ὁ μὲν οὖν εἰπὼν, ὅτι δεῖ τὸν εὐθυμεῖν μέλλοντα μήτε πολλὰ πρήσσειν μήτε ἰδίῃ μήτε ξυνῇ, πρῶτον μὲν ἡμῖν πολυτελῆ τὴν εὐθυμίαν καθίστησι, γινομένην ὤνιον ἀπραξίας· οἷον ἀῤῥώστῳ παραινῶν ἑκάστῳ·

Μίμν᾽, ὦ ταλαίπωρ᾽, ἀτρέμα σοῖς ἐν δεμνίοις.

καίτοι κακὸν μὲν ἀναισθησία σώματι φάρμακον ἀπονοίας· οὐδὲν δὲ βελτίων ψυχῆς ἰατρὸς, ὁ ῥαθυμίᾳ καὶ μαλακίᾳ καὶ προδοσίᾳ φίλων καὶ οἰκείων καὶ πατρίδος, ἐξαίρων τὸ ταραχῶδες αὐτῆς καὶ λυπηρόν. ἔπειτα καὶ ψεῦδός ἐστι τὸ εὐθυμεῖν τοὺς μὴ πολλὰ πράσσοντας. ἔδει γὰρ εὐθυμοτέρας εἶναι γυναῖκας ἀνδρῶν, οἰκουρίᾳ τὰ πολλὰ συνούσας· νυνὶ δὲ ὁ μὲν βορέας

Διὰ παρθενικῆς ἁπαλόχροος οὐ διάησιν,

ὥς φησιν Ἡσίοδος· λῦπαι δὲ καὶ ταραχαὶ καὶ κακοθυμίαι διὰ ζηλοτυπίας, καὶ δεισιδαιμονίας καὶ φιλοτιμίας καὶ κενῶν δοξῶν, ὅσας οὐκ ἂν εἴποι τις,

εἰς τὴν γυναικωνῖτιν ὑποῤῥέουσιν· ὁ δὲ Λαέρτης εἴκοσιν ἔτη καθ' ἑαυτὸν ἐν ἀγρῷ διαιτώμενος

Γρηῒ σὺν ἀμφιπόλῳ, ἥ οἱ βρῶσίν τε πόσιν τε παρετίθει, τὴν μὲν πατρίδα καὶ τὸν οἶκον καὶ τὴν βασιλείαν ἔφυγε, τὴν δὲ λύπην μετ' ἀπραξίας καὶ κατηφείας ἀεὶ σύνοικοῦσαν εἶχεν. ἐνίους δὲ καὶ τὸ μὴ πράσσειν αὐτὸ πολλάκις εἰς ἀθυμίαν καθίστησιν, ὡς τοῦτον·

Αὐτὰρ ὁ μήνιε νηυσὶ παρήμενος ὠκυπόροισι
Διογενὴς Πηλέως υἱὸς πόδας ὠκὺς Ἀχιλλεύς.
Οὔτε ποτ' εἰς ἀγορὴν πωλέσκετο κυδιάνειραν,
Οὔτε ποτ' ἐς πόλεμον, ἀλλὰ φθινύθεσκε φίλον κῆρ
Αὖθι μένων, ποθέεσκε δ' ἀϋτήν τε πτόλεμόν τε.

καὶ λέγει περιπαθῶν ἐπὶ τούτῳ καὶ ἀσχάλλων αὐτός·

Ἀλλ' ἧμαι παρὰ νηυσὶν ἐτώσιον ἄχθος ἀρούρης.

ὅθεν οὐδὲ Ἐπίκουρος οἴεται δεῖν ἡσυχάζειν, ἀλλὰ τῇ φύσει χρῆσθαι πολιτευομένους καὶ πράσσοντας τὰ κοινὰ τοὺς φιλοτίμους καὶ φιλοδόξους, ὡς μᾶλλον ὑπ' ἀπραγμοσύνης ταράττεσθαι καὶ κακοῦσθαι πεφυκότας, ἂν ὧν ὀρέγονται μὴ τυγχάνωσιν. ἀλλ' ἐκεῖνος μὲν ἄτοπος, οὐ τοὺς δυναμένους τὰ κοινὰ πράσσειν προτρεπόμενος, ἀλλὰ τοὺς ἡσυχίαν ἄγειν μὴ δυναμένους. δεῖ δὲ μὴ πλήθει μηδὲ ὀλιγότητι πραγμάτων, ἀλλὰ τῷ καλῷ καὶ τῷ αἰσχρῷ τὸ εὔθυμον ὁρίζειν καὶ τὸ δύσθυμον. τῶν γὰρ καλῶν ἡ παράλειψις οὐχ ἧττον, ἢ τῶν φαύλων ἡ πρᾶξις, ἀνιαρὸν ἐστι καὶ ταραχῶδες, ὡς εἴρηται.

III. Τοὺς μὲν γὰρ ἀφωρισμένως ἕνα βίον ἄλυ-

που νομίζοντας, ὡς ἔνιοι τὸν τῶν γεωργῶν, ἢ τὸν τῶν ἠιθέων, ἢ τὸν τῶν βασιλέων, ἱκανῶς ὁ Μένανδρος ὑπομιμνήσκει, λέγων·

Ὤμην ἐγὼ τοὺς πλουσίους, ὦ Φανία,
Οἷς μὴ τὸ δανείζεσθαι πρόσεστιν, οὐ στένειν
Τὰς νύκτας, οὐδὲ στρεφομένους ἄνω κάτω
Οἴμοι λέγειν, ἡδὺν δὲ καὶ πρᾶόν τινα
Ὕπνον καθεύδειν.

εἶτα προελθὼν, ὡς καὶ τοὺς πλουσίους ἑώρα ταὐτὰ πάσχοντας τοῖς πένησιν·

Ἆρ' ἐστὶ (φησὶ) συγγενές τι λύπη καὶ βίος;
Τρυφερῷ βίῳ σύνεστιν, ἐνδόξῳ βίῳ
Πάρεστιν, ἀπόρῳ συγκαταγηράσκει βίῳ.

ἀλλ' ὥσπερ οἱ δειλοὶ καὶ ναυτιῶντες ἐν τῷ πλεῖν, εἶτα ῥᾷον οἰόμενοι διάξειν, ἐὰν εἰς γαυλὸν ἐξ ἀκάτου, καὶ πάλιν ἐὰν εἰς τριήρη μεταβῶσιν, οὐδὲν περαίνουσι, τὴν χολὴν καὶ τὴν δειλίαν συμμεταφέροντες ἑαυτοῖς· οὕτως αἱ τῶν βίων ἀντιμεταλήψεις οὐκ ἐξαίρουσι τῆς ψυχῆς τὰ λυποῦντα καὶ ταράττοντα· ταῦτα δ' ἐστὶν, ἀπειρία πραγμάτων, ἀλογιστία, τὸ μὴ δύνασθαι μηδ' ἐπίστασθαι χρῆσθαι τοῖς παροῦσιν ὀρθῶς· ταῦτα καὶ πλουσίους χειμάζει καὶ πένητας· ταῦτα καὶ γεγαμηκότας ἀνιᾷ καὶ ἀγάμους· διὰ ταῦτα φεύγουσι τὴν ἀγορὰν, εἶτα τὴν ἡσυχίαν οὐ φέρουσι· διὰ ταῦτα προαγωγὰς ἐν αὐλαῖς διώκουσι, καὶ παρελθόντες, εὐθὺς βαρύνονται.

Δυσάρεστον οἱ νοσοῦντες ἀπορίας ὕπο.

καὶ γὰρ ἡ γυνὴ λυπεῖ, καὶ τὸν ἰατρὸν αἰτιῶνται, καὶ δυσχεραίνουσι τὸ κλινίδιον·

φίλων δ' ὅ τ' ἐλθὼν λυπηρὸς, ὅ τ' ἀπιὼν βαρὺς, ὡς ὁ Ἴων φησίν. εἶτα τῆς νόσου διαλυθείσης, καὶ κρίσεως ἑτέρας γενομένης, ἦλθεν ἡ ὑγεία φίλα πάντα ποιοῦσα καὶ προσηνῆ. ὁ γὰρ χθὲς ὠὰ καὶ ἀμύλια, καὶ σητάνειον ἄρτον διαπτύων, τήμερον αὐτόπυρον ἐπ' ἐλαίαις ἢ καρδαμίδι σιτεῖται προσφιλῶς καὶ προθύμως.

IV. Τοιαύτην ὁ λογισμὸς εὐκολίαν καὶ μεταβολὴν ἐγγενόμενος μεταποιεῖ πρὸς ἕκαστον βίον. Ἀλέξανδρος Ἀναξάρχου περὶ κόσμων ἀπειρίας ἀκούων ἐδάκρυε, καὶ τῶν φίλων ἐρωτώντων, ὅ τι πέπονθεν· Οὐκ ἄξιον (ἔφη) δακρύειν, εἰ, κόσμων ὄντων ἀπείρων, ἑνὸς οὐδέπω κύριοι γεγόναμεν; Κράτης δὲ πήραν ἔχων καὶ τρίβωνα, παίζων καὶ γελῶν ὥσπερ ἐν ἑορτῇ τὸν βίον διετέλεσε. καὶ μὴν καὶ τὸν Ἀγαμέμνονα, τὸ πολλῶν βασιλεύειν ἐλύπει·

Γνώσεαι Ἀτρείδην Ἀγαμέμνονα, τὸν περὶ πάντων
Ζεὺς ἐνέηκε πόνοισι διαμπερές.

Διογένης δὲ πωλούμενος ἔσκωπτε τὸν κήρυκα κατακείμενος· ἀναστῆναι δὲ οὐκ ἐβούλετο κελεύοντος, ἀλλὰ παίζων καὶ καταγελῶν ἔλεγεν· Εἰ δὲ ἰχθὺν ἐπίπρασκες; καὶ Σωκράτης μὲν ἐν δεσμωτηρίῳ φιλοσοφῶν, διελέγετο τοῖς ἑταίροις· ὁ δὲ Φαέθων ἀναβὰς εἰς τὸν οὐρανὸν, ἔκλαιεν, εἰ μηδεὶς αὐτῷ τοὺς τοῦ πατρὸς ἵππους καὶ τὰ ἅρματα παραδίδωσιν. ὥσπερ οὖν τὸ ὑπόδημα τῷ ποδὶ συνδιαστρέφεται, καὶ οὐ τοὐναντίον, οὕτω τοὺς βίους αἱ διαθέσεις συνεξομοιοῦσιν αὑταῖς. οὐ γὰρ ἡ συνήθεια ποιεῖ τοῖς ἑλομένοις τὸν ἄριστον βίον ἡδὺν, ὥς τις εἶπεν,

ἀλλὰ τὸ φρονεῖν ἅμα τὸν αὐτὸν βίον ποιεῖ καὶ ἄριστον καὶ ἥδιστον. διὸ τὴν πηγὴν τῆς εὐθυμίας, ἐν αὐτοῖς οὖσαν ἡμῖν, ἐκκαθαίρωμεν, ἵνα καὶ τὰ ἐκτὸς, ὡς οἰκεῖα καὶ φίλια, μὴ χαλεπῶς χρωμένοις συμφέρηται·

Τοῖς πράγμασι γὰρ οὐχὶ θυμοῦσθαι χρεών·
Μέλει γὰρ αὐτοῖς οὐδὲν, ἀλλ' ὁ τυγχάνων
Τὰ πράγματ' ὀρθῶς ἂν τιθῇ, πράξει καλῶς.

V. Κυβείᾳ γὰρ ὁ Πλάτων τὸν βίον ἀπείκασεν, ἐν ᾧ καὶ βαλεῖν δεῖ τὰ πρόσφορα, καὶ βαλόντα, χρῆσθαι καλῶς τοῖς πεσοῦσι. τούτων δὲ τὸ μὲν βαλεῖν, οὐκ ἐφ' ἡμῖν, τὸ δὲ προσηκόντως δέχεσθαι τὰ γινόμενα παρὰ τῆς τύχης, καὶ νέμειν ἑκάστῳ τόπον, ἐν ᾧ καὶ τὸ οἰκεῖον ὠφελήσει μάλιστα, καὶ τὸ ἀβούλητον ἥκιστα λυπήσει τοὺς ἐπιτυγχάνοντας, ἡμέτερον ἔργον ἐστὶν, ἂν εὖ φρονῶμεν. τοὺς μὲν γὰρ ἀτέχνους καὶ ἀνοήτους περὶ τὸν βίον, ὥσπερ τοὺς νοσώδεις τοῖς σώμασι μήτε καῦμα φέρειν μήτε κρύος δυναμένους, ἐξίστησι μὲν εὐτυχία, συστέλλει δὲ δυστυχία· ταράττονται δὲ ὑπ' ἀμφοτέρων, μᾶλλον δὲ ὑφ' αὑτῶν ἐν ἀμφοτέροις, καὶ οὐχ ἧττον ἐν τοῖς λεγομένοις ἀγαθοῖς. Θεόδωρος μὲν γὰρ ὁ κληθεὶς ἄθεος ἔλεγε, τῇ δεξιᾷ τοὺς λόγους ὀρέγοντος αὐτοῦ, τῇ ἀριστερᾷ δέχεσθαι τοὺς ἀκροωμένους· οἱ δ' ἀπαίδευτοι πολλάκις τὴν τύχην δεξιὰν παρισταμένην, ἐπαριστέρως μεταλαμβάνοντες, ἀσχημονοῦσιν· οἱ δὲ φρόνιμοι, καθάπερ ταῖς μελίτταις φέρει μέλι τὸ δριμύτατον καὶ ξηρότατον ὁ θύμος, οὕτως ἀπὸ τῶν

δυσχερεστάτων πραγμάτων πολλάκις οἰκεῖόν τι καὶ χρήσιμον αὐτοῖς λαμβάνουσι.

VI. Τοῦτο οὖν δεῖ πρῶτον ἀσκεῖν καὶ μελετᾶν, ὥσπερ ὁ τῆς κυνὸς ἁμαρτὼν τῷ λίθῳ, καὶ τὴν μητρυιὰν πατάξας· Οὐδ᾽ οὕτως (ἔφη) κακῶς. ἔξεστι γὰρ μεθιστάναι τὴν τύχην ἐκ τῶν ἀβουλήτων. ἐφυγαδεύθη Διογένης· οὐδ᾽ οὕτως κακῶς. ἤρξατο γὰρ φιλοσοφεῖν μετὰ τὴν φυγήν. Ζήνωνι τῷ Κιτιεῖ μία ναῦς περιῆν φορτηγύς· πυθόμενος δὲ ταύτην αὐτόφορτον ἀπολωλέναι συγκλυσθεῖσαν· Εὖγε (εἶπεν) ὦ τύχη, ποιεῖς, εἰς τὸν τρίβωνα καὶ τὴν στοὰν συνελαύνουσα ἡμᾶς· τί οὖν κωλύει μιμεῖσθαι τούτους; ἀρχήν τινα τελῶν διήμαρτες; ἐν ἀγρῷ διάξεις ἐπιμελούμενος τῶν ἰδίων. ἀλλὰ φιλίαν μνώμενος ἡγεμόνος, ἀπώσθης; ἀκινδύνως καὶ ἀπραγμόνως βιώσῃ. πάλιν ἐν πράγμασιν ἀσχολίας ἔχουσι καὶ φροντίδας γέγονας;

Οὐδὲ θερμὸν ὕδωρ τοσόνδε τέγξει μαλθακὰ γυῖα, κατὰ Πίνδαρον, ὡς δόξα ποιεῖ, καὶ τὸ τιμᾶσθαι μετά τινος δυνάμεως, πόνον ἡδὺν, κάματόν τ᾽ εὐκάματον. ἀλλά τις ἀπήντηκεν ἐκ διαβολῆς ἢ φθόνου δυσημερία καὶ σκορακισμός; ἐπὶ τὰς μούσας οὔριον τὸ πνεῦμα καὶ τὴν ἀκαδημίαν, ὥσπερ Πλάτωνι χειμασθέντι περὶ τὴν Διονυσίου φιλίαν. διὸ καὶ τοῦτο πρὸς εὐθυμίαν μέγα, τὸ τοὺς ἐνδόξους ἀποθεωρεῖν, εἰ μηδὲν ὑπὸ τῶν αὐτῶν πεπόνθασιν. οἷον, ἀπαιδία τὸ λυποῦν ἐστι; τοὺς τῶν Ῥωμαίων ὅρα βασιλεῖς, ὧν οὐδεὶς υἱῷ τὴν ἀρχὴν ἀπέλιπε. πενίᾳ δυσφορεῖς παρούσῃ; καὶ τίς ἂν ἐβούλου εἶναι μᾶλλον

Βοιωτῶν, ἢ Ἐπαμινώνδας; τίς δὲ Ῥωμαίων, ἢ Φαβρίκιος; ἀλλὰ διέφθαρταί σου τὸ γύναιον; οὐκ ἀνέγνωκας οὖν τὸ ἐπίγραμμα τὸ ἐν Δελφοῖς,

Ὑγρᾶς καὶ τραφερᾶς βασιλεὺς Ἆγίς μ' ἀνέθηκεν.

οὐδ' ἀκήκοας, ὅτι τούτου τὴν γυναῖκα Τιμαίαν Ἀλκιβιάδης διέφθειρε, καὶ τὸ γεννηθὲν, Ἀλκιβιάδην ἐκάλει ψιθυρίζουσα πρὸς τὰς θεραπαινίδας; ἀλλὰ τοῦτο Ἆγιν οὐκ ἐκώλυσεν ἐνδοξότατον Ἑλλήνων εἶναι καὶ μέγιστον· ὥσπερ οὐδὲ Στίλπωνα τῶν κατ' αὐτὸν φιλοσόφων ἱλαρώτατα ζῆν ἀκόλαστος οὖσα ἡ θυγάτηρ· ἀλλὰ καὶ Μητροκλέους ὀνειδίσαντος· Ἐμὸν οὖν (ἔφη) ἁμάρτημα τοῦτό ἐστιν, ἢ ἐκείνης; εἰπόντος δὲ τοῦ Μητροκλέους· Ἐκείνης μὲν ἁμάρτημα, σὸν δὲ ἀτύχημα· Πῶς λέγεις, (εἶπεν) οὐχὶ τὰ ἁμαρτήματα καὶ διαπτώματά ἐστι; Πάνυ μὲν οὖν, ἔφη. Τὰ δὲ διαπτώματα, οὐχ ὧν διαπτώματα, καὶ ἀποτεύγματα; συνωμολόγησεν ὁ Μητροκλῆς. Τὰ δ' ἀποτεύγματα, οὐχ ὧν ἀποτεύγματα, ἀτυχήματα; πρᾴῳ λόγῳ καὶ φιλοσόφῳ κενὸν ἀποδείξας ὕλαγμα τὴν τοῦ κυνικοῦ βλασφημίαν.

VII. Τοὺς δὲ πολλοὺς οὐ μόνον τὰ τῶν φίλων καὶ οἰκείων, ἀλλὰ καὶ τὰ τῶν ἐχθρῶν ἀνιᾷ καὶ παροξύνει κακά. βλασφημίαι γὰρ καὶ ὀργαὶ καὶ φθόνοι καὶ κακοήθειαι καὶ ζηλοτυπίαι μετὰ δυσμενείας, αὐτῶν μὲν εἰσι τῶν ἐχόντων κῆρες, ἐνοχλοῦσι δὲ καὶ παροξύνουσι τοὺς ἀνοήτους· ὥσπερ ἀμέλει καὶ γειτόνων ἀκροχολίαι, καὶ συνήθων δυσκολίαι, καὶ τῶν περὶ τὰς πράξεις ὑπουργῶν μοχθηρίαι τινές· ὑφ' ὧν

οὐχ ἥκιστά μοι δοκεῖς καὶ αὐτὸς ἐπιταραττόμενος, ὥσπερ οἱ Σοφοκλέους ἰατροί,

Πικρὰν χολὴν κλύζουσι φαρμάκῳ πικρῷ,

οὕτως ἀντιχαλεπαίνειν καὶ συνεκπικραίνεσθαι τοῖς ἐκείνων πάθεσι καὶ νοσήμασιν οὐκ εὐλόγως. ἃ γὰρ πράττεις πράγματα πεπιστευμένος, οὐχ ἁπλοῖς ἤθεσιν, οὐδὲ χρηστοῖς, ὥσπερ εὐφυέσιν ὀργάνοις, ἀλλὰ καρχάροις τὰ πολλὰ καὶ σκολιοῖς διακονεῖται. τὸ μὲν οὖν ἀπευθύνειν ταῦτα, μὴ νόμιζε σὸν ἔργον εἶναι, μηδὲ ἄλλως ῥάδιον· ἂν δ᾽ ὡς τοιούτοις αὐτοῖς πεφυκόσι χρώμενος, ὥσπερ ἰατρὸς ὀδοντάγραις καὶ ἀγκτῆρσιν, ἤπιος φαίνῃ καὶ μέτριος ἐκ τῶν ἐνδεχομένων, εὐφρανῇ τῇ σῇ διαθέσει μᾶλλον, ἢ λυπήσῃ ταῖς ἑτέρων ἀηδίαις καὶ μοχθηρίαις· καὶ ὥσπερ κύνας, ἂν ὑλακτῶσι, τὸ προσῆκον αὐτοῖς ἐκείνοις οἰόμενος περαίνειν, ἐπιλήσῃ πολλὰ λυπηρὰ συνάγων, ὥσπερ εἰς χωρίον κοῖλον, καὶ ταπεινὸν ἐπιῤῥέοντα, τὴν μικροψυχίαν ταύτην καὶ τὴν ἀσθένειαν, ἀλλοτρίων ἀναπιμπλαμένην κακῶν. ὅπου γὰρ ἔνιοι τῶν φιλοσόφων καὶ τὸν ἔλεον ψέγουσι πρὸς ἀτυχοῦντας ἀνθρώπους γιγνόμενον, ὡς καλοῦ τοῦ βοηθεῖν, οὐ τοῦ συναλγεῖν καὶ συνενδιδόναι τοῖς πλησίον ὄντος· ὃ δὲ μεῖζόν ἐστιν, οὐδ᾽ αὐτῶν ἁμαρτανόντων καὶ διακειμένων φαύλως τὸ ἦθος αἰσθανομένους ἀθυμεῖν καὶ δυσφορεῖν ἐῶσιν, ἀλλὰ θεραπεύειν ἄνευ λύπης τὴν κακίαν· ἤδη σκόπει πῶς οὐκ ἄλογόν ἐστι περιορᾷν αὐτοὺς, ὅτι μὴ πάντες εἰσὶν οἱ χρώμενοι καὶ προσιόντες ἡμῖν ἐπιεικεῖς καὶ χαρίεντες, ἀχθομένους καὶ δυσκολαίνοντας. ἀλλὰ ὅρα, φίλε Πάκκιε, μὴ

λανθάνωμεν ἑαυτοὺς οὐ τὸ καθόλου τῆς μοχθηρίας τῶν ἐντυγχανόντων, ἀλλὰ τὸ πρὸς ἡμᾶς ὑπὸ φιλαυτίας τινὸς, οὐ μισοπονηρίας, προβαλλόμενοι καὶ δεδοικότες. αἱ γὰρ σφοδραὶ περὶ τὰ πράγματα πτοῖαι καὶ παρ' ἀξίαν ἐφέσεις καὶ διώξεις, ἢ πάλιν ἀποστροφαὶ καὶ διαβολαὶ τὰς πρὸς ἀνθρώπους ἐγγεννῶσιν ὑποψίας καὶ δυσκολίας, ὑφ' ὧν τὰ μὲν ἀποστερεῖσθαι, τοῖς δὲ περιπίπτειν δοκοῦμεν. ὁ δὲ τοῖς πράγμασιν ἐθισθεὶς ἐλαφρῶς συμπεριφέρεσθαι καὶ μετρίως, εὐκολώτατος ἀνθρώποις ὁμιλεῖν γίγνεται καὶ πρᾳότατος.

VIII. Ὅθεν ἐκεῖνον αὖθις τὸν περὶ τῶν πραγμάτων λόγον ἀναλάβωμεν. ὡς γὰρ ἐν τῷ πυρέττειν πικρὰ πάντα καὶ ἀηδῆ φαίνεται γευομένοις, ἀλλ' ὅταν ἴδωμεν ἑτέρους τὰ αὐτὰ προσφερομένους καὶ μὴ δυσχεραίνοντας, οὐκέτι τὸ σιτίον οὐδὲ τὸ ποτὸν, ἀλλ' αὑτοὺς αἰτιώμεθα καὶ τὴν νόσον· οὕτω καὶ τοῖς πράγμασι παυσόμεθα μεμφόμενοι καὶ δυσχεραίνοντες, ἂν ἑτέρους τὰ αὐτὰ προσδεχομένους ἀλύπως καὶ ἱλαρῶς δρῶμεν. ἀγαθὸν τοίνυν ἐν τοῖς ἀβουλήτοις συμπτώμασι πρὸς εὐθυμίαν, καὶ τὸ μὴ παρορᾷν ὅσα προσφιλῆ καὶ ἀστεῖα πάρεστιν ἡμῖν, ἀλλὰ μιγνύντας ἐξαμαυροῦν τὰ χείρονα τοῖς βελτίοσι. νῦν δὲ τὰς μὲν ὄψεις ὑπὸ τῶν ἄγαν λαμπρῶν τιτρωσκομένας ἀποστρέφοντες, ταῖς ἀνθηραῖς καὶ ποώδεσι χροιαῖς παρηγοροῦμεν· τὴν δὲ διάνοιαν ἐντείνομεν εἰς τὰ λυπηρὰ καὶ προσβιαζόμεθα τοῖς τῶν ἀνιαρῶν ἐνδιατρίβειν ἀναλογισμοῖς, μονονοὺ βίᾳ τῶν βελτιόνων

ἀποσπάσαντες. καίτοι τό γε πρὸς τὸν πολυπράγμονα λελεγμένον οὐκ ἀηδῶς, δεῦρ' ἐστὶ μετενεγκεῖν·

Τί τἀλλότριον, ἄνθρωπε βασκανώτατε,
Κακὸν ὀξυδορκεῖς, τὸ δ' ἴδιον παραβλέπεις;

τί τὸ σεαυτοῦ κακὸν, ὦ μακάριε, λίαν καταβλέπεις, καὶ ποιεῖς ἐναργὲς ἀεὶ καὶ πρόσφατον, ἀγαθοῖς δὲ παροῦσιν οὐ προσάγεις τὴν διάνοιαν; ἀλλ' ὥσπερ αἱ σικύαι τὸ χείριστον ἐκ τῆς σαρκὸς ἕλκουσιν, οὕτω τὰ κάκιστα τῶν ἰδίων συνάγεις ἐπὶ σαυτόν; οὐδέν τι τοῦ Χίου βελτίων γενόμενος, ὃς πολὺν καὶ χρηστὸν οἶνον ἑτέροις πιπράσκων, ἑαυτῷ πρὸς τὸ ἄριστον ὀξίνην ἐζήτει διαγευόμενος. οἰκέτης δέ τις ἐρωτηθεὶς ὑφ' ἑτέρου, τί ποιοῦντα τὸν δεσπότην καταλέλοιπεν· Ἀγαθῶν (ἔφη) παρόντων, κακὸν ζητοῦντα. καὶ γὰρ οἱ πολλοὶ τὰ χρηστὰ καὶ πότιμα τῶν ἰδίων ὑπερβαίνοντες, ἐπὶ τὰ δυσχερῆ καὶ μοχθηρὰ τρέχουσιν. ὁ δ' Ἀρίστιππος οὐ τοιοῦτος, ἀλλ' ἀγαθὸς, ὥσπερ ἐπὶ ζυγοῦ, πρὸς τὰ βελτίονα τῶν ὑποκειμένων ἐξαναφέρειν καὶ ἀνακουφίζειν αὑτόν· χωρίον οὖν ἀπολέσας καλὸν, ἠρώτησεν ἕνα τῶν πάνυ προσποιουμένων συνάχθεσθαι καὶ συναγανακτεῖν· Οὐχὶ σοὶ μὲν χωρίδιον ἕν ἐστιν, ἐμοὶ δὲ τρεῖς ἀγροὶ καταλείπονται; συνομολογήσαντος δ' ἐκείνου· Τί οὖν (εἶπεν) οὐ σοὶ μᾶλλον ἡμεῖς συναχθόμεθα; μανικὸν γάρ ἐστι τοῖς ἀπολλυμένοις ἀνιᾶσθαι, μὴ χαίρειν δὲ τοῖς σωζομένοις, ἀλλ' ὥσπερ τὰ μικρὰ παιδάρια ἀπὸ πολλῶν παιγνίων ἂν ἕν τις ἀφέληταί τι, καὶ τὰ λοιπὰ πάντα προσρίψαντα κλαίει καὶ βοᾷ, τὸν αὐτὸν τρόπον ἡμᾶς περὶ ἓν ὀχληθέντας ὑπὸ

τῆς τύχης, καὶ τἄλλα πάντα ποιῶν ἀνόνητα ἑαυτοῖς, ὀδυρομένους καὶ δυσφοροῦντας.

IX. Καὶ τί, φήσαι τις ἄν, ἔχομεν; τί δ' οὐκ ἔχομεν; ὁ μὲν δόξαν, ὁ δ' οἶκον, ὁ δὲ γάμον, τῷ δὲ φίλος ἀγαθός ἐστιν· Ἀντίπατρος δὲ ὁ Ταρσεύς, πρὸς τῷ τελευτᾶν, ὧν ἔτυχεν ἀγαθῶν ἀναλογιζόμενος, οὐδὲ τὴν εὔπλοιαν παρέλιπε τὴν ἐκ Κιλικίας αὐτῷ γενομένην εἰς Ἀθήνας. δεῖ δὲ καὶ τὰ κοινὰ μὴ παρορᾶν, ἀλλ' ἔν τινι λόγῳ τίθεσθαι, καὶ χαίρειν, ὅτι ζῶμεν, ὑγιαίνομεν, τὸν ἥλιον ὁρῶμεν· οὔτε πόλεμος, οὔτε στάσις ἐστίν· ἀλλὰ καὶ ἡ γῆ παρέχει γεωργεῖν, καὶ θάλασσα πλεῖν ἀδεῶς τοῖς βουλομένοις· καὶ λέγειν ἔξεστι καὶ σιωπᾶν, καὶ πράττειν καὶ σχολάζειν. εὐθυμήσομεν δὲ τούτοις μᾶλλον παροῦσιν, ἂν μὴ παρόντων αὐτῶν φαντασίαν λαμβάνωμεν· ἀναμιμνήσκοντες αὐτοὺς πολλάκις, ὡς ποθεινόν ἐστιν ὑγίεια νοσοῦσι, καὶ πολεμουμένοις εἰρήνη, καὶ κτήσασθαι δόξαν ἐν πόλει τηλικαύτῃ καὶ φίλους, ἀγνῶτι καὶ ξένῳ· καὶ τὸ στέρεσθαι γενομένων, ὡς ἀνιαρόν. οὐ γὰρ τότε γίνεται μέγα καὶ τίμιον ἕκαστον ἡμῖν, ὅταν ἀπόληται, σωζόμενον δέ, τὸ μηθέν ἐστιν. οὐδενὶ γὰρ ἀξίαν τὸ μὴ εἶναι προστίθησιν. οὐδὲ δεῖ κτᾶσθαι μὲν ὡς μεγάλα, καὶ τρέμειν ἀεὶ δεδιότας, ὡς ὑπὲρ μεγάλων, μὴ στερηθῶμεν· ἔχοντας δέ, παρορᾶν καὶ καταφρονεῖν ὡς μηδενὸς ἀξίων· ἀλλὰ χρῆσθαι μάλιστα ἐπὶ τῷ χαίρειν καὶ ἀπολαύειν αὐτῶν, ἵνα καὶ τὰς ἀποβολάς, ἂν συντυγχάνωσι, πρᾳότερον φέρωμεν. οἱ δὲ πολλοὶ ποιήματα μὲν (ὡς ἔλεγεν Ἀρκεσίλαος) ἀλλότρια καὶ

γραφὰς καὶ ἀνδριάντας, οἴονται δεῖν ἀκριβῶς καὶ κατὰ μέρος ἕκαστον ἐπιπορευόμενον τῇ διανοίᾳ καὶ τῇ ὄψει θεωρεῖν, τὸν δ᾽ αὐτῶν βίον ἔχοντα πολλὰς οὐκ ἀτερπεῖς ἀναθεωρήσεις ἐῶσιν, ἔξω βλέποντες ἀεὶ καὶ θαυμάζοντες ἀλλοτρίας δόξας καὶ τύχας, ὥσπερ μοιχοὶ τὰς ἑτέρων γυναῖκας, αὑτῶν δὲ καὶ τῶν ἰδίων καταφρονοῦντες.

X. Καίτοι καὶ τοῦτο μέγα πρὸς εὐθυμίαν ἐστὶ, τὸ μάλιστα μὲν αὑτὸν ἐπισκοπεῖν καὶ τὰ καθ᾽ ἑαυτὸν, εἰ δὲ μὴ, τοὺς ὑποδεεστέρους ἀποθεωρεῖν, καὶ μὴ, καθάπερ οἱ πολλοὶ, πρὸς τοὺς ὑπερέχοντας ἀντιπαρεξάγουσιν. οἷον εὐθὺς, οἱ δεδεμένοι εὐδαιμονίζουσι τοὺς λελυμένους, ἐκεῖνοι δὲ τοὺς ἐλευθέρους· οἱ δὲ ἐλεύθεροι τοὺς πολίτας· οὗτοι δὲ πάλιν αὖ τοὺς πλουσίους· οἱ δὲ πλούσιοι τοὺς σατράπας· οἱ δὲ σατράπαι τοὺς βασιλεῖς· οἱ δὲ βασιλεῖς τοὺς θεοὺς, μονονουχὶ βροντᾶν καὶ ἀστράπτειν ἐθέλοντες. εἶτα οὕτως ἀεὶ τῶν ὑπὲρ ἑαυτοὺς ἐνδεεῖς ὄντες, οὐδέποτε τοῖς καθ᾽ ἑαυτοὺς χάριν ἔχουσιν.

Οὔ μοι τὰ Γύγεω τοῦ πολυχρύσου μέλει.

καί·

Οὐδ᾽ εἷλέ πω με ζῆλος, οὐδ᾽ ἀγαίομαι
Θεῶν ἔργα, μεγάλης δ᾽ οὐκ ἐρῶ τυραννίδος·
Ἀπόπροθεν γάρ ἐστιν ὀφθαλμῶν ἐμῶν.

Θάσιος γὰρ ἦν ἐκεῖνος· ἄλλος δέ τις Χῖος, ἄλλος δὲ Γαλάτης ἢ Βιθυνὸς, οὐκ ἀγαπῶν, εἴ τινος μερίδος ἢ δόξαν ἢ δύναμιν ἐν τοῖς ἑαυτοῦ πολίταις εἴληχεν, ἀλλὰ κλαίων, ὅτι μὴ φορεῖ πατρικίους· ἐὰν δὲ καὶ φορῇ, ὅτι μηδέπω στρατηγεῖ Ῥωμαίων· ἐὰν δὲ καὶ

στρατηγῇ, ὅτι μὴ ὑπατεύει· καὶ ὑπατεύων, ὅτι μὴ πρῶτος, ἀλλ᾽ ὕστερος ἀνηγορεύθη. τοῦτο τί δέ ἐςι; τί ἄλλο, ἢ συλλέγοντα προφάσεις ἀχαριστίας ἐπὶ τὴν τύχην, αὐτὸν ὑφ᾽ αὑτοῦ κολάζεσθαι καὶ διδόναι δίκην; ἀλλ᾽ ὅ γε νοῦν ἔχων σωτήρια φρονοῦντα τοῦ ἡλίου μυριάδας ἀνθρώπων ἀπείρους ἐφορῶντος,

*Εὐρυόδου γ᾽ ὅσοι καρπὸν αἰνύμεθα χθονὸς,*

οὐκ εἴ τινων ἧττον ἔνδοξός ἐστι καὶ πλούσιος, ὀδυρόμενος, κάθηται καὶ ταπεινούμενος, ἀλλ᾽ ὅτι μυρίων μυριάκις ἐν τοσούτοις εὐσχημονέστερον ζῇ καὶ βέλτιον, ὑμνῶν τὸν ἑαυτοῦ δαίμονα καὶ τὸν βίον, ἐν ὁδῷ πρόεισιν. ἐν Ὀλυμπίᾳ μὲν γὰρ οὐκ ἔστι νικᾶν ἐκλεγόμενον ἀντιπάλους· ἐν τῷ βίῳ δὲ τὰ πράγματα δίδωσι περιόντα πολλῶν μέγα φρονεῖν, καὶ ζηλωτὸν μᾶλλον εἶναι ἢ ζηλοῦν ἑτέρους· ἄν γε δὴ μὴ τοῦ Βριάρεω μηδὲ τοῦ Ἡρακλέους ποιήσῃς σεαυτὸν ἀνταγωνιστήν. ὅταν οὖν πάνυ θαυμάσῃς ὡς κρείττονα τὸν ἐν τῷ φορείῳ κομιζόμενον, ὑποκύψας θέασαι καὶ τοὺς βαστάζοντας· καὶ ὅταν διαβαίνοντα τὴν σχεδίαν μακαρίσῃς τὸν Ξέρξην ἐκεῖνον, ὡς ὁ Ἑλλησπόντιος, ἴδε καὶ τοὺς ὑπὸ μάστιξι διορύττοντας τὸν Ἄθω, καὶ τοὺς περικοπτομένους ὦτα καὶ ῥῖνας ἐπὶ τῷ διαλυθῆναι τὴν γέφυραν ὑπὸ τοῦ κλύδωνος, ἅμα καὶ τὴν ἐκείνων ἀποθεωρῶν διάνοιαν, ὅτι τὸν σὸν βίον καὶ τὰ σὰ πράγματα μακαρίζουσιν. ὁ Σωκράτης ἀκούσας τινὸς τῶν φίλων λέγοντος, ὡς πολυτελὴς ἡ πόλις· μνᾶς ὁ Χῖος οἶνος· ἡ πορφύρα, τριῶν μνῶν· τοῦ μέλιτος ἡ κοτύλη, πέντε δραχμῶν· λαβὼν αὐτὸν προσήγαγε τοῖς ἀλφίτοις, Ὀβολοῦ τὸ

ἡμίεκτον, εὐτελὴς ἡ πόλις· εἶτα ταῖς ἐλαίαις, δυοῖν χαλκοῖν ἡ χοῖνιξ, εὐτελὴς ἡ πόλις· εἶτα ταῖς ἐξωμίσι, δέκα δραχμῶν, εὐτελὴς ἡ πόλις. οὐκοῦν καὶ ἡμεῖς, ὅταν ἀκούσωμεν ἑτέρου λέγοντος, ὡς μικρὰ τὰ καθ' ἡμᾶς πράγματα καὶ λυπρὰ δεινῶς, μὴ ὑπατευόντων, μηδὲ ἐπιτροπευόντων, ἔνεστιν εἰπεῖν· Λαμπρὰ τὰ καθ' ἡμᾶς πράγματα, καὶ ζηλωτὸς ἡμῶν ὁ βίος· οὐ προσαιτοῦμεν, οὐκ ἀχθοφοροῦμεν, οὐ κολακεύομεν.

XI. Οὐ μὴν ἀλλ' ἐπεὶ πρὸς ἑτέρους μᾶλλον ἢ πρὸς αὑτοὺς ὑπ' ἀβελτηρίας εἰθίσμεθα ζῆν, καὶ πολὺ τὸ δύσζηλον ἡ φύσις ἔχουσα καὶ τὸ βάσκανον, οὐ χαίρει τοσοῦτον τοῖς ἰδίοις, ὅσον ἀνιᾶται τοῖς ἀλλοτρίοις ἀγαθοῖς· μὴ μόνον ὅρα τὰ λαμπρὰ καὶ τὰ περιβόητα τῶν ζηλουμένων ὑπὸ σοῦ καὶ θαυμαζομένων, ἀλλ' ἀνακαλύψας καὶ διαστείλας, ὥσπερ ἀνθηρὸν παραπέτασμα, τὴν δόξαν αὐτῶν καὶ τὴν ἐπιφάνειαν, ἐντὸς γενοῦ, καὶ κατόψει πολλὰ δυσχερῆ, καὶ πολλὰς ἀηδίας ἐνούσας αὐτοῖς. ὁ γοῦν Πιττακὸς ἐκεῖνος, οὗ μέγα μὲν ἀνδρείας, μέγα δὲ σοφίας καὶ δικαιοσύνης κλέος, εἱστία ξένους· ἐπελθοῦσα δὲ ἡ γυνὴ μετ' ὀργῆς ἀνέτρεψε τὴν τράπεζαν· τῶν δὲ ξένων διατραπέντων· Ἑκάστῳ τι (ἔφη) ἡμῶν κακόν ἐστιν. ᾧ δὲ τοὐμὸν, ἄριστα πράττει.

Οὗτος μακάριος ἐν ἀγορᾷ νομίζεται,
Ὅταν δ' ἀνοίξῃ τὴν θύραν, τρισάθλιος.
Γυνὴ κρατεῖ πάντων, ἐπιτάττει, μάχετ' ἀεί.
Ἀπὸ πλειόνων ὀδυνᾶτ', ἐγὼ δ' ἀπ' οὐδενός·

τοιαῦτα πολλὰ καὶ πλούτῳ καὶ δόξῃ καὶ βασιλείᾳ

πρόσεστιν ἄδηλα τοῖς πολλοῖς· ἐπιπροσθεῖ γὰρ ὁ τῦφος·

Ὦ μάκαρ Ἀτρείδη μοιρηγενὲς ὀλβιόδαιμον,

ἔξωθεν οὗτος ὁ μακαρισμὸς, ὅπλων καὶ ἵππων καὶ στρατείας περικεχυμένης· αἱ δὲ τῶν παθῶν φωναὶ πρὸς τὴν κενὴν δόξαν ἔνδοθεν ἀντιμαρτυροῦσι·

Ζεύς με μέγα Κρονίδης ἄτῃ ἐνέδησε βαρείῃ.

καὶ·

Ζηλῶ σε γέρων,
Ζηλῶ δ' ἀνδρῶν ὃς ἀκίνδυνον
Βίον ἐξεπέρασεν ἀγνὼς, ἀκλεής.

ἔξεστιν οὖν καὶ τούτοις τοῖς ἐπιλογισμοῖς ἀπαρύτειν τοῦ πρὸς τὴν τύχην μεμψιμοίρου, καὶ διὰ τὸ θαυμάζειν τὰ τῶν πλησίον, ἐκταπεινοῦντος τὰ οἰκεῖα καὶ καταβάλλοντος.

XII. Οὐχ ἥκιστα τοίνυν εὐθυμίαν κολούει τὸ μὴ συμμέτροις χρῆσθαι, πρὸς τὴν ὑποκειμένην δύναμιν ὁρμαῖς, ὥσπερ ἱστίοις, ἀλλὰ μειζόνων ἐφιεμένους ταῖς ἐλπίσιν, εἶτ' ἀποτυγχάνοντας, αἰτιᾶσθαι δαίμονα καὶ τύχην, ἀλλὰ μὴ τὴν αὑτῶν ἀβελτηρίαν. οὐδὲ γὰρ ὁ τοξεύειν τῷ ἀρότρῳ βουλόμενος, καὶ τῷ βοῒ τὸν λαγὼ κυνηγετεῖν, δυστυχής ἐστιν· οὐδὲ τῷ γρίφοις καὶ σαγήναις ἐλάφους μὴ λαμβάνοντι, μηδὲ εἷς δαίμων ἐναντιοῦται μοχθηρὸς, ἀλλ' ἀβελτηρία καὶ μοχθηρία τοῖς ἀδυνάτοις ἐπιχειροῦσιν. αἴτιον δὲ ἡ φιλαυτία μάλιστα, φιλοπρώτους ποιοῦσα καὶ φιλονείκους ἐν πᾶσι, καὶ πάντων ἐπιδραττομένους ἀπλήστως. οὐ γὰρ πλούσιοι μόνον ὁμοῦ καὶ λόγιοι. καὶ ἰσχυροὶ καὶ συμποτικοὶ καὶ ἡδεῖς εἶναι καὶ φι-

λοι βασιλέων καὶ πόλεων ἄρχοντες ἀξιοῦσιν· ἀλλ' εἰ μὴ καὶ κύνας ἕξουσι πρωτεύοντας ἀρετῇ, καὶ ἵππους καὶ ὄρτυγας καὶ ἀλεκτρυόνας, ἀθυμοῦσι. Διονύσιος ὁ πρεσβύτερος οὐκ ἠγάπα μέγιστος ὢν τῶν τότε τυράννων, ἀλλ' ὅτι Φιλοξένου τοῦ ποιητοῦ μὴ βέλτιον ᾖδε, μηδὲ περιῆν ἐν τῷ διαλέγεσθαι Πλάτωνος, ὀργισθεὶς καὶ παροξυνθεὶς, τὸν μὲν εἰς τὰς λατομίας ἀνέβαλε, τὸν δ' ἀπέδοτο πέμψας εἰς Αἴγιναν. οὐ τοιοῦτος Ἀλέξανδρος· ἀλλ' ἐπεὶ Κρίσσων ὁ σταδιοδρόμος ἁμιλλώμενος αὐτῷ περὶ τάχους, ἔδοξεν ἑκὼν παρεῖναι, σφόδρα διηγανάκτησεν. εὖ δὲ καὶ ὁ ποιητικὸς Ἀχιλλεὺς ὑπειπὼν,

Τοῖος ἐὼν οἷος οὔ τις Ἀχαιῶν χαλκοχιτώνων,

ἐπήνεγκεν·

Ἐν πολέμῳ· ἀγορῇ δέ τ' ἀμείνονές εἰσι καὶ ἄλλοι.

Μεγάβυζον δὲ τὸν Πέρσην εἰς τὸ ζωγραφεῖον ἀναβάντα τοῦ Ἀπελλοῦ, καὶ λαλεῖν ἐπιχειρήσαντα περὶ τῆς τέχνης ἐπεστόμισεν ὁ Ἀπελλῆς, εἰπὼν, ἕως μὲν ἡσυχίαν ἦγες, ἐδόκεις τις εἶναι διὰ τὰ χρυσία καὶ τὴν πορφύραν, νυνὶ δὲ καὶ ταυτὶ τὰ τρίβοντα τὴν ὤχραν παιδάρια καταγελᾷ σου φλυαροῦντος. ἀλλ' ἔνιοι τοὺς μὲν Στωϊκοὺς οἴονται παίζειν, ὅταν ἀκούσωσι τὸν σοφὸν παρ' αὐτοῖς μὴ μόνον φρόνιμον καὶ δίκαιον καὶ ἀνδρεῖον, ἀλλὰ καὶ ῥήτορα καὶ στρατηγὸν καὶ ποιητὴν καὶ πλούσιον καὶ βασιλέα προσαγορευόμενον, αὐτοὺς δὲ πάντων ἀξιοῦσι τούτων· κἂν μὴ τυγχάνωσιν, ἀνιῶνται. καίτοι καὶ τῶν θεῶν ἄλλος ἄλλην ἔχων δύναμιν, ὁ μὲν ἐνυάλιος, ὁ δὲ μάντῷος, ὁ δὲ κερδῷος ἐπονομάζεται· καὶ τὴν Ἀ-

φροδίτην ὁ Ζεὺς, ὡς οὐ μετὸν αὐτῇ πολεμικῶν ἔργων, ἐπὶ γάμους ἀποστέλλει καὶ θαλάμους.

XIII. Τινὰ γὰρ οὐδὲ συνυπάρχειν, ἀλλὰ μᾶλλον ὑπεναντιοῦσθαι πέφυκεν ἀλλήλοις τῶν σπουδαζομένων. οἷον, ἄσκησις λόγων, καὶ μαθημάτων ἀνάληψις, ἀπραγμοσύνης δεῖται καὶ σχολῆς· δυνάμεις δὲ πολιτικαὶ, καὶ φιλίαι βασιλέων, οὐκ ἄνευ πραγμάτων οὐδ' ἀσχολιῶν περιγίγνονται. καὶ μὴν οἶνός τε καὶ σαρκῶν ἐμφόρησις σῶμα μὲν ἰσχυρὸν ποιοῦσι καὶ ῥωμαλέον, ψυχὴν δὲ ἀσθενῆ· καὶ χρημάτων ἐπιμέλεια μὲν καὶ τήρησις συνεχὴς αὔξει πλοῦτον, ὑπεροψία δὲ καὶ περιφρόνησις, μέγα πρὸς φιλοσοφίαν ἐφόδιον. ὅθεν οὐ πάντα πάντων ἐστὶν, ἀλλὰ δεῖ τῷ Πυθικῷ γράμματι πειθόμενον, αὑτὸν καταμαθεῖν· εἶτα χρῆσθαι πρὸς ἓν, ὃ πέφυκε, καὶ μὴ πρὸς ἄλλον ἄλλοτε βίου ζῆλον ἕλκειν, καὶ παραβιάζεσθαι τὴν φύσιν·

Ἐν ἅρμασιν ἵππος, ἐν δ' ἀρότρῳ βοῦς,
Παρὰ ναῦν δ' ἰθύει τάχιστα δελφὶς,
Κάπρῳ δὲ βουλεύοντα φόνον
Κύνα χρὴ τλάθυμον ἐξευρεῖν.

ὁ δ' ἀσχάλλων καὶ λυπούμενος, ὅτι μὴ καὶ λέων ἐστὶν

— ὀρεσίτροφος ἀλκὶ πεποιθὼς,

ἅμα καὶ κυνίδιον Μελιταῖον ἐν κόλπῳ χήρας γυναικὸς τιθηνούμενον, ἀπόπληκτός ἐστι. τούτου δὲ οὐδὲν βελτίων, ὁ βουλόμενος ἅμα μὲν Ἐμπεδοκλῆς, ἢ Πλάτων, ἢ Δημόκριτος εἶναι περὶ κόσμου γράφων καὶ τῆς τῶν ὄντων ἀληθείας, ἅμα δὲ πλουσίᾳ γραῒ συγκαθεύδειν, ὡς Εὐφορίων· ἢ τῷ ἐπὶ κῶμον Ἀλε-

ξάνδρου συμβίνειν, ὡς Μήδιος· ἀγανακτῶν δὲ καὶ λυπούμενος, εἰ μὴ θαυμάζεται διὰ πλοῦτον, ὡς Ἰσμηνίας, καὶ δι' ἀρετὴν, ὡς Ἐπαμινώνδας. οὐδὲ γὰρ οἱ δρομεῖς, ὅτι μὴ τοὺς τῶν παλαιστῶν φέρονται στεφάνους, ἀθυμοῦσιν, ἀλλὰ τοῖς αὑτῶν ἀγάλλονται καὶ χαίρουσι, Σπάρταν ἔλαχες, ταύταν κόσμει. καὶ γὰρ ὁ Σόλων·

Ἀλλ' ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα
Τῆς ἀρετῆς τὸν πλοῦτον· ἐπεὶ τὸ μὲν ἔμπεδόν ἐστι,
Χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

καὶ Στράτων ὁ φυσικὸς, ἀκούσας, ὅτι πολλαπλασίους ἔχει Μενέδημος μαθητάς· Τί οὖν (ἔφη) θαυμαστὸν, εἰ πλείονές εἰσιν οἱ λούεσθαι θέλοντες τῶν ἀλείφεσθαι βουλομένων; Ἀριστοτέλης δὲ πρὸς Ἀντίπατρον γράφων· Οὐκ Ἀλεξάνδρῳ μόνον (ἔφη) προσήκει μέγα φρονεῖν, ὅτι κρατεῖ πολλῶν ἀνθρώπων, ἀλλ' οὐχ ἧττον οἷς ὑπάρχει περὶ θεῶν ἃ δεῖ δοξάζειν. τοὺς γὰρ οὕτω τὰ οἰκεῖα σεμνύνοντας οὐκ ἐνοχλήσει τὰ τῶν πλησίον. νῦν δὲ τὴν ἄμπελον σῦκα φέρειν οὐκ ἀξιοῦμεν, οὐδὲ τὴν ἐλαίαν βότρυς· αὐτοὶ δὲ ἑαυτοὺς, ἐὰν μὴ καὶ τὰ τῶν πλουσίων ἅμα καὶ τὰ τῶν λογίων, καὶ τὰ τῶν στρατευομένων καὶ τὰ τῶν φιλοσοφούντων, καὶ τὰ τῶν κολακευόντων καὶ τὰ τῶν παῤῥησιαζομένων, καὶ τὰ τῶν φειδομένων, καὶ τὰ τῶν δαπανώντων ἔχωμεν προτερήματα, συκοφαντοῦμεν καὶ ἀχαριστοῦμεν ἑαυτοῖς, καὶ καταφρονοῦμεν ὡς ἐνδεῶς καὶ ἀτελῶς βιούντων. πρὸς δὲ τούτῳ, καὶ τὴν φύσιν ὁρῶμεν ὑπομιμνήσκουσαν ἡ-

μᾶς. ὡς γὰρ τῶν θηρίων ἑτέροις ἀφ' ἑτέρων παρεσκεύασε τὴν τροφὴν εἶναι, καὶ οὐ πάντα σαρκοφαγεῖν, ἢ σπερμολογεῖν, ἢ ῥιζωρυχεῖν ἐποίησεν, οὕτω τοῖς ἀνθρώποις ποικίλας πρὸς τὸν βίον ἀφορμὰς ἔδωκε,

Μηλοβότᾳ τ' ἀρότᾳ τ' ὀρνιθολόχῳ τε,

καὶ ὃν πόντος τρέφει. δεῖ δὴ τὸ πρόσφορον ἑαυτοῖς ἑλομένους καὶ διαπονοῦντας, ἐᾶν τὰ τῶν ἄλλων· καὶ μὴ τὸν Ἡσίοδον ἐλέγχειν ἐνδεέστερον εἰπόντα·

Καὶ κεραμεὺς κεραμεῖ κοτέει καὶ τέκτονι τέκτων.

οὐ γὰρ μόνον τοὺς ὁμοτέχνους καὶ τοὺς ὁμοτρόπους ζηλοτυποῦντες, ἀλλὰ καὶ λογίους πλούσιοι, καὶ πλουσίους ἔνδοξοι, καὶ δικολόγοι σοφιστὰς, καὶ καὶ μὰ Δία κωμῳδοὺς εὐημεροῦντας ἐν θεάτροις, καὶ ὀρχηστὰς, καὶ θεράποντας ἐν αὐλαῖς βασιλέων ἐλεύθεροι καὶ εὐπατρίδαι κατατεθαμβημένοι καὶ μακαρίζοντες, οὐ μετρίως λυποῦσιν αὑτοὺς καὶ ταράττουσιν.

XIV. Ὅτι δὲ ἕκαστος ἐν ἑαυτῷ τὰ τῆς εὐθυμίας καὶ τῆς δυσθυμίας ἔχει ταμεῖα, καὶ τοὺς τῶν ἀγαθῶν καὶ κακῶν πίθους οὐκ ἐν Διὸς οὔδει κατακειμένους, ἀλλ' ἐν τῇ ψυχῇ κειμένους, αἱ διαφοραὶ τῶν παθῶν δηλοῦσιν. οἱ μὲν γὰρ ἀνόητοι καὶ παρόντα τὰ χρηστὰ παρορῶσι καὶ ἀμελοῦσιν, ὑπὸ τοῦ συντετάσθαι πρὸς τὸ μέλλον ἀεὶ ταῖς φροντίσιν· οἱ δὲ φρόνιμοι καὶ τὰ μηκέτ' ὄντα τῷ μνημονεύειν ἐναργῶς, ὄντα ποιοῦσιν ἑαυτοῖς· τὸ γὰρ παρὸν τῷ ἐλαχίστῳ τοῦ χρόνου μορίῳ θίγειν παρασχὸν, εἶτα τὴν αἴσθησιν ἐκφυγὸν, οὐκέτι δοκεῖ πρὸς ἡμᾶς οὐδὲ ἡμέτερον εἶναι τοῖς ἀνοήτοις· ἀλλ' ὥσπερ ὁ ἐν ᾅδου ζω-

γραφούμενος σχοινοστρόφος ὄνῳ τινὶ πάρίησιν ἐπιβοσκομένῳ καταναλίσκειν τὸ πλεκόμενον, οὕτω τῶν πολλῶν ἀναίσθητος καὶ ἀχάριστος ὑπολαμβάνουσα λήθη καὶ κατανεμομένη, πρᾶξίν τε πᾶσαν ἀφανίζουσα καὶ κατόρθωμα καὶ σχολὴν ἐπίχαριν καὶ συμπεριφορὰν καὶ ἀπόλαυσιν, οὐκ ἐᾷ τὸν βίον ἕνα γενέσθαι, συμπλεκομένων τοῖς παροῦσι τῶν παρῳχημένων· ἀλλ' ὥσπερ ἕτερον τὸν ἐχθὲς ὄντα τοῦ σήμερον, καὶ τὸν αὔριον ὁμοίως οὐ τὸν αὐτὸν τῷ σήμερον διαιροῦσα, πᾶν τὸ γενόμενον εὐθὺς εἰς τὸ ἀγένητον τῷ ἀμνημονεύτῳ καθίστησιν. οἱ μὲν γὰρ ἐν ταῖς σχολαῖς τὰς αὐξήσεις ἀναιροῦντες ὡς τῆς οὐσίας ἐνδελεχῶς ῥεούσης, λόγῳ ποιοῦσιν ἡμῶν ἕκαστον ἄλλον ἑαυτοῦ καὶ ἄλλον. οἱ δὲ τῇ μνήμῃ τὰ πρότερα μὴ στέγοντες μηδὲ ἀναλαμβάνοντες, ἀλλ' ὑπεκρεῖν ἐῶντες, ἔργῳ ποιοῦσιν ἑαυτοὺς καθ' ἡμέραν ἀποδεεῖς καὶ κενοὺς, καὶ τῆς αὔριον ἐκκρεμαμένους, ὡς τῶν πέρυσι καὶ πρώην καὶ χθὲς, οὐ πρὸς αὐτοὺς ὄντων, οὐδὲ ὅλως αὐτοῖς γενομένων.

XV. Καὶ τοῦτο οὖν τὴν εὐθυμίαν ἐπιταράσσει· κἀκεῖνο μᾶλλον, ὅταν ὥσπερ αἱ μυῖαι τῶν λείων τόπων ἐν τοῖς κατόπτροις ἀπολισθαίνουσι, ταῖς δὲ τραχύτησι προσέχονται καὶ ταῖς ἀμυχαῖς· οὕτως ἄνθρωποι τῶν ἱλαρῶν καὶ προσηνῶν ἀποῤῥέοντες ἐμπλέκωνται ταῖς τῶν ἀηδῶν ἀναμνήσεσι· μᾶλλον δὲ, ὥσπερ ἐν Ὀλύνθῳ τοὺς κανθάρους λέγουσιν, εἴς τι χωρίον ἐμβάλλοντας, ὃ καλεῖται κανθαρώλεθρον, ἐκβῆναι μὴ δυναμένους, ἀλλ' ἐκεῖ στρεφομένους καὶ κυκλοῦντας ἐναποθνήσκειν, οὕτως εἰς τὴν τῶν κακῶν

μνήμην ὑποῤῥυέντες ἀνενεγκεῖν μὴ θέλωσι, μηδ᾽ ἀναπνεῦσαι. δεῖ δὲ, ὥσπερ ἐν πινακίῳ χρωμάτων, ἐν τῇ ψυχῇ τῶν πραγμάτων τὰ φαιδρὰ καὶ λαμπρὰ προβάλλοντας, ἀποκρύπτειν τὰ σκυθρωπὰ καὶ πιέζειν. ἐξαλεῖψαι γὰρ οὐκ ἔστι παντάπασιν οὐδ᾽ ἀπαλλαγῆναι. παλίντονος γὰρ ἁρμονίη κόσμου, ὥσπερ λύρης καὶ τόξου· καὶ τῶν ἀνθρωπίνων καθαρὸν οὐδὲν, οὐδ᾽ ἀμιγές. ἀλλ᾽ ὥσπερ ἐν μουσικῇ βαρεῖς φθόγγοι καὶ ὀξεῖς, ἐν δὲ γραμματικῇ φωνήεντα καὶ ἄφωνα γράμματα· μουσικὸς δὲ καὶ γραμματικὸς, οὐχ ὁ θάτερα δυσχεραίνων καὶ ὑποφεύγων, ἀλλ᾽ ὁ πᾶσι χρῆσθαι καὶ μιγνύναι πρὸς τὸ οἰκεῖον ἐπιστάμενος· οὕτω καὶ τῶν πραγμάτων ἀντιστοιχίας ἐχόντων, (ἐπεὶ κατὰ τὸν Εὐριπίδην,

Οὐκ ἂν γένοιτο χωρὶς ἐσθλὰ καὶ κακὰ,
Ἀλλ᾽ ἔστι τις σύγκρασις, ὥστ᾽ ἔχειν καλῶς)

οὐ δεῖ τοῖς ἑτέροις ἐξαθυμεῖν, οὐδ᾽ ἀπαγορεύειν· ἀλλ᾽ ὥσπερ ἁρμονικοὺς ἀμβλύνοντας ἀεὶ τοῖς κρείττοσι τὰ χείρονα, καὶ τὰ φαῦλα τοῖς χρηστοῖς ἐμπεριλαμβάνοντας, ἐμμελὲς τὸ τοῦ βίου μίγμα ποιεῖν καὶ οἰκεῖον αὐτοῖς. Οὐ γὰρ, ὡς ὁ Μένανδρός φησιν,

Ἅπαντι δαίμων ἀνδρὶ συμπαραστατεῖ
Εὐθὺς γενομένῳ, μυσταγωγὸς τοῦ βίου
Ἀγαθὸς, —

ἀλλὰ μᾶλλον (ὡς Ἐμπεδοκλῆς) διτταί τινες ἕκαστον ἡμῶν γενόμενον παραλαμβάνουσι καὶ κατάρχονται μοῖραι καὶ δαίμονες·

Ἔνθ᾽ ἦσαν Χθονίη τε καὶ Ἡλιόπη ταναῶπις,
Δῆρίς θ᾽ αἱματόεσσα, καὶ Ἁρμονίη θεμερῶπις,

Καλλιστώ τ', Αἰσχρή τε, Θόωσά τε, Δηναίη τε,
Νημερτής τ' ἐρόεσσα, μελάγκαρπός τ' Ἀσάφεια.

XVI. Ὥστε τούτων ἑκάστου σπέρματα τῶν παθῶν ἀνακεκραμένα δεδεγμένης ἡμῶν τῆς γενέσεως, καὶ διὰ τοῦτο πολλὴν ἀνωμαλίαν ἐχούσης, εὔχεται μὲν ὁ νοῦν ἔχων τὰ βελτίονα, προσδοκᾷ δὲ καὶ θάτερα· χρῆται δὲ ἀμφοτέροις, τὸ ἄγαν ἀφαιρῶν. οὐ γὰρ μόνον ὁ τῆς αὔριον ἥκιστα δεόμενος, ὥς φησιν Ἐπίκουρος, ἥδιστα πρόσεισι πρὸς τὴν αὔριον· ἀλλὰ καὶ πλοῦτος εὐφραίνει, καὶ δόξα καὶ δύναμις καὶ ἀρχὴ, καὶ μάλιστα τοὺς ἥκιστα τἀναντία ταρβοῦντας. ἡ γὰρ σφοδρὰ περὶ ἕκαστον ἐπιθυμία, σφοδρότατον φόβον ἐμποιοῦσα τοῦ μὴ παραμένειν, ἀσθενῆ τὴν χάριν ποιεῖ καὶ ἀβέβαιον, ὥσπερ φλόγα καταπνεομένην. ᾧ δὲ δίδωσι πρὸς τὴν τύχην ἀδεῶς καὶ ἀτρόμως εἰπεῖν ὁ λογισμός·

Ἡδὺ μὲν ἄν τι φέρῃς, ὀλίγον δ' ἄχος ἢν ἀπολείπῃς,

τοῦτον ἥδιστα ποιεῖ χρῆσθαι τοῖς παροῦσι τὸ θαῤῥαλέον καὶ μὴ δεδιὸς αὐτῶν τὴν ἀποβολὴν ὡς ἀφόρητον. ἔξεστι γὰρ τὴν Ἀναξαγόρου διάθεσιν, ἀφ' ἧς ἐπὶ τῇ τελευτῇ τοῦ παιδὸς ἀνεφώνησεν· Ἤδειν θνητὸν γεννήσας, μὴ θαυμάζοντας μόνον, ἀλλὰ καὶ μιμουμένους, ἐπιλέγειν ἑκάστῳ τῶν τυχηρῶν· Οἶδα τὸν πλοῦτον ἐφήμερον ἔχων καὶ οὐ βέβαιον. Οἶδα τὴν ἀρχὴν ἀφελέσθαι δυναμένους τοὺς δεδωκότας. Οἶδα τὴν γυναῖκα χρηστὴν, γυναῖκα δ' οὖσαν· καὶ τὸν φίλον, ἄνθρωπον ὄντα, φύσει εὐμετάβολον ζῶον, ὡς ὁ Πλάτων εἶπεν. αἱ γὰρ τοιαῦται παρασκευαὶ

καὶ διαθέσεις, ἐάν τι συμβῇ τῶν ἀβουλήτων μὲν, οὐκ ἀπροσδοκήτων δὲ, μὴ δεχόμεναι τό· Οὐκ ἂν ᾤμην· καὶ τό· Ἄλλα ἤλπιζον· καὶ τό· Ταῦτα οὐ προσεδόκων· οἷον πηδήματα καρδίας καὶ σφυγμοὺς ἀφαιροῦσι, καὶ ταχὺ πάλιν τὸ μανιῶδες καὶ ταραττόμενον ἱδρύουσιν. ὁ μὲν οὖν Καρνεάδης ἐπὶ πραγμάτων μεγάλων ὑπεμίμνησκεν, ὅτι πᾶν καὶ ὅλον ἐστὶν εἰς λύπην καὶ ἀθυμίαν τὸ ἀπροσδόκητον. ἡ γοῦν Μακεδόνων βασιλεία τῆς Ῥωμαίων ἡγεμονίας πολλοστημόριον ἦν· ἀλλὰ Περσεὺς μὲν ἀποβαλὼν Μακεδονίαν, αὐτός τε κατεθρήνει τὸν ἑαυτοῦ δαίμονα, καὶ πᾶσιν ἐδόκει δυστυχέστατος ἀνθρώπων γεγονέναι καὶ βαρυποτμότατος. ὁ δὲ τούτου κρατήσας Αἰμύλιος, ἑτέρῳ παραδιδοὺς τὴν ὁμοῦ τε γῆς καὶ θαλάττης ἄρχουσαν δύναμιν, ἐστεφανοῦτο καὶ ἔθυεν, εὐδαιμονιζόμενος εἰκότως. οὗτος μὲν γὰρ ᾔδει λαμβάνων ἀρχὴν ἀποδοθησομένην, ἐκεῖνος δὲ ἀπέβαλε μὴ προσδοκήσας. εὖ δὲ καὶ ὁ ποιητὴς οἷόν ἐστι τὰ παρὰ προσδοκίαν ἐδίδαξεν. ὁ γὰρ Ὀδυσσεὺς τοῦ μὲν κυνὸς θανόντος ἐξεδάκρυσε, τῇ δὲ γυναικὶ κλαιούσῃ παρακαθήμενος, οὐδὲν ἔπαθε τοιοῦτον. ἐνταῦθα μὲν γὰρ ἀφῖκτο τῷ λογισμῷ τὸ πάθος ὑποχείριον ἔχων, καὶ προκατειλημμένον· εἰς δ' ἐκεῖνο, μὴ προσδοκήσας, ἀλλ' ἐξαίφνης, (διὰ τὸ παράδοξον) ἐνέπεσε.

XVII. Καθόλου δ' ἐπεὶ τῶν ἀβουλήτων τὰ μὲν φύσει τὸ λυποῦν καὶ βαρῦνον ἐπιφέρει, τὰ δὲ πλεῖστα δόξῃ δυσχεραίνειν ἐθιζόμεθα καὶ μανθάνομεν,

οὐκ ἄχρηστόν ἐστι πρὸς ταῦτα μὲν ἔχειν ἀεὶ τὰ τοῦ Μενάνδρου πρόχειρον·

Οὐδὲν πέπονθας δεινὸν, (φησὶν) ἂν μὴ προσποιῇ.

τί γάρ πρὸς σέ ἐστι, ἂν μήτε σαρκὸς ἅπτηται, μήτε ψυχῆς, οἷόν ἐστι δυσγένεια πατρὸς, ἢ μοιχεία γυναικὸς, ἢ στεφάνου τινὸς ἢ προεδρίας ἀφαίρεσις, ὧν οὐ κωλύεται καὶ μὴ παρόντων ἄνθρωπος καὶ τὸ σῶμα βέλτιστα διακείμενον ἔχειν καὶ τὴν ψυχήν. πρὸς δὲ τὰ φύσει δοκοῦντα λυπεῖν, οἷα νόσοι καὶ πόνοι, καὶ θάνατοι φίλων καὶ τέκνων, ἐκεῖνο τὸ Εὐριπίδειον·

Οἴμοι· τί δ' οἴμοι; θνητά τοι πεπόνθαμεν.

οὐδεὶς γὰρ οὕτω τοῦ παθητικοῦ καταφερομένου καὶ ὀλισθαίνοντος ἀντιλαμβάνεται λόγος, ὡς ὁ τῆς κοινῆς καὶ φυσικῆς ἀνάγκης ἀνάμνησιν ποιῶν, ᾗ διὰ τὸ σῶμα μεμιγμένος ὁ ἄνθρωπος, μόνην ταύτην τῇ τύχῃ λαβὴν δίδωσιν, ἐν δὲ τοῖς κυριωτάτοις καὶ μεγίστοις ἀσφαλὴς ἕστηκεν. ὁ Δημήτριος τὴν Μεγαρέων πόλιν καταλαβὼν, ἠρώτησε τὸν Στίλπωνα, μή τι τῶν ἐκείνου διήρπασται· καὶ ὁ Στίλπων ἔφη· μηδένα εἶδον τἀμὰ φέροντα. καὶ τοίνυν τῆς τύχης πάντα τἆλλα λεηλατούσης καὶ περιαιρουμένης, ἔχομέν τι τοιοῦτον ἐν ἑαυτοῖς,

Οἷόν κ' οὔτε φέροιεν Ἀχαιοὶ, οὔτ' ἂν ἄγοιεν.

ὅθεν οὐ δεῖ παντάπασιν ἐκταπεινοῦν οὐδὲ καταβάλλειν τὴν φύσιν, ὡς μηδὲν ἰσχυρὸν μηδὲ μόνιμον μηδὲ ὑπὲρ τὴν τύχην ἔχουσαν· ἀλλὰ τοὐναντίον, εἰδότας, ὅτι μικρόν ἐστι μέρος τοῦ ἀνθρώπου τὸ

σαθρὸν καὶ τὸ ἐπίκηρον, ᾧ δέχεται τὴν τύχην, τῆς δὲ βελτίονος μερίδος αὐτοὶ κρατοῦμεν, ἐν ᾗ τὰ μέγιστα τῶν ἀγαθῶν ἱδρυνθέντα, δόξαι τε χρησταὶ καὶ μαθήματα, καὶ λόγοι τελευτῶντες εἰς ἀρετὴν, ἀναφαίρετον ἔχουσι τὴν οὐσίαν καὶ ἀδιάφθορον, ἀηττήτους πρὸς τὸ μέλλον εἶναι καὶ θαῤῥαλέους, καὶ πρὸς τὴν τύχην λέγοντας, ἃ Σωκράτης δοκῶν πρὸς τοὺς κατηγόρους Ἄνυτον καὶ Μέλιτον λέγειν, πρὸς τοὺς δικαστὰς ἔλεγεν, ὡς ἀποκτεῖναι μὲν Ἄνυτος καὶ Μέλιτος δύνανται, βλάψαι δὲ οὐ δύνανται. καὶ γὰρ ἡ τύχη δύναται νόσῳ περιβαλεῖν, ἀφελέσθαι χρήματα, διαβαλεῖν πρὸς δῆμον ἢ τύραννον· κακὸν δὲ καὶ δειλὸν, καὶ ταπεινόφρονα καὶ ἀγεννῆ καὶ φθονερὸν οὐ δύναται ποιῆσαι τὸν ἀγαθὸν καὶ ἀνδρώδη, καὶ μεγαλόψυχον, οὐδὲ παρελέσθαι τὴν διάθεσιν, ἧς ἀεὶ παρούσης, πλέον ἢ κυβερνήτου πρὸς θάλατταν ὄφελός ἐστι πρὸς τὸν βίον. κυβερνήτῃ γὰρ οὔτε κῦμα πραῧναι τραχὺ καὶ πνεῦμα δυνατόν ἐστιν, οὔτε ὅπῃ βούλεται δεομένῳ λιμένος τυχεῖν οὔτε θαῤῥαλέως καὶ ἀτρόμως ὑπομεῖναι τὸ συμβαῖνον· ἀλλ' ἕως οὐκ ἀπέγνωκε τῇ τέχνῃ χρώμενος, φεύγει, μάλα λαῖφος ὑποστολίσας, ἔστε ἐνέρτερον ἱστὸν ἐρεβώδεος ἐκ θαλάττης ὑπέρσχῃ, τρέμων κάθηται καὶ παλλόμενος. ἡ δὲ τοῦ φρονίμου διάθεσις τοῖς τε σωματικοῖς παρέχει γαλήνην, ἐπὶ πλεῖστον ἐκλύουσα τὰς τῶν νόσων κατασκευὰς, ἐγκρατείᾳ καὶ διαίτῃ σώφρονι καὶ μετρίοις πόνοις· κἂν τις ἔξωθεν ἀρχὴ πάθους ὥσπερ διαδρομὴ γένηται σπιλάδος. εὐσταλεῖ καὶ κούφῃ κεραίᾳ παρήνεγκεν, ὥς φησιν

Ἀσκληπιάδης· παραλόγου δέ τινος καὶ μεγάλου καταλαβόντος καὶ κρατήσαντος, ἐγγὺς ὁ λιμήν· καὶ πάρεστιν ἀπονήξασθαι τοῦ σώματος, ὥσπερ ἐφολκίου μὴ στέγοντος.

XVIII. Τὸν μὲν γὰρ ἀνόητον ὁ τοῦ θανάτου φόβος, οὐχ ὁ τοῦ ζῆν πόθος ἐκκρέμασθαι τοῦ σώματος ποιεῖ, περιπεπλεγμένον, ὥσπερ τὸν Ὀδυσσέα, τῷ ἐρινεῷ, δεδοικότα τὴν χάρυβδιν ὑποκειμένην,

Ἔνθ' οὔτε μίμνειν ἄνεμος, οὔτε πλεῖν ἐᾷ·

καὶ πρὸς ταῦτα δυσαρέστως, καὶ πρὸς ἐκεῖνα περιδεῶς ἔχοντα. ὁ δὲ τὴν τῆς ψυχῆς φύσιν ἀμωσγέπως ἐπινοῶν, καὶ τὴν εἰς τὸ βέλτιον αὐτῆς, ἢ μηθὲν κάκιον, ἐν τῇ τελευτῇ μεταβολὴν ἐπιλογιζόμενος, οὐ μικρὸν ἔχει τῆς πρὸς τὸν βίον εὐθυμίας ἐφόδιον, τὴν πρὸς τὸν θάνατον ἀφοβίαν. ᾧ γὰρ ἔξεστι τῆς μὲν ἀρετῆς καὶ οἰκείας μερίδος ἐπικρατούσης, ἡδέως ζῆν, τῶν δὲ ἀλλοτρίων καὶ παρὰ φύσιν ὑπερβαλλόντων ἀδεῶς ἀπελθεῖν εἰπόντα·

Λύσει με ὁ δαίμων αὐτὸς, ὅταν ἐγὼ θέλω·

τί ἂν τούτῳ χαλεπὸν ἢ δύσκολον ἢ ταραχῶδες ἐμπίπτον ἐπινοήσαιμεν; ὁ γοῦν εἰπὼν, Προκατείλημμαί σε, ὦ τύχη, καὶ πᾶσαν τὴν σὴν ἀφῄρημαι παρείσδυσιν, οὐ μοχλοῖς, οὐδὲ κλεισὶν, οὐδὲ τείχεσιν ἐθάῤῥυνεν ἑαυτὸν, ἀλλὰ δόγμασι καὶ λόγοις, ὧν πᾶσι μέτεστι τοῖς βουλομένοις. καὶ δεῖ μηδὲν ἀπογινώσκειν, μηδ' ἀπιστεῖν τῶν οὕτω λεγομένων, ἀλλὰ θαυμάζοντα καὶ ζηλοῦντα καὶ συνενθουσιῶντα, πεῖραν ἅμα λαμβάνειν ἑαυτοῦ, καὶ κατανόησιν ἐν τοῖς ἐλάττοσι πρὸς τὰ μείζονα, μὴ φεύγοντα, μηδὲ ἀπωθοῦν-

τα τῆς ψυχῆς τὴν ἐπιμέλειαν αὐτῶν, μηδὲ διαδιδράσκοντα, τάχα δὲ οὐδὲν ἔσται δυσχερέστερον. ἀνίαν γὰρ ἐμποιεῖ καὶ μαλακίαν ἀγύμναστον ἡ περὶ τὸ ῥᾷστον ἀεὶ διατρίβουσα καὶ πρὸς τὸ ἥδιστον ἐκ τῶν ἀβουλήτων ἀναχωροῦσα γλυκυθυμία τῆς ψυχῆς. ἡ δὲ καὶ νόσου καὶ πόνου καὶ φυγῆς μελετῶσα φαντασίαν ὑφίστασθαι καὶ προσβιαζομένη τῷ λογισμῷ πρὸς ἕκαστον, εὑρήσει πολὺ τὸ κατεψευσμένον καὶ διάκενον καὶ σαθρὸν ἐν τοῖς δοκοῦσι χαλεποῖς καὶ φοβεροῖς, ὡς ὁ καθ᾽ ἕκαστον ἀποδείκνυσι λόγος.

XIX. Καίτοι πολλοὶ καὶ τὸ τοῦ Μενάνδρου πεφρίκασιν·

Οὐκ ἔστιν εἰπεῖν ζῶντα, τοῦτ᾽ οὐ πείσομαι,

ἀγνοοῦντες ὅσον ἐστὶ πρὸς ἀλυπίαν ἀγαθὸν, τὸ μελετᾷν καὶ δύνασθαι πρὸς τὴν τύχην ἀνεῳγόσι τοῖς ὄμμασιν ἀντιβλέπειν, καὶ μὴ ποιεῖν ἐν αὐτῷ τὰς φαντασίας ἀτρίπτους καὶ ἁπαλὰς, ὥσπερ ἐνσκιατραφούμενον πολλαῖς ἐλπίσιν ὑπεικούσαις ἀεὶ καὶ πρὸς μηθὲν ἀντιτεινούσαις. ἐκεῖνο μέντοι καὶ πρὸς τὸν Μένανδρον ἔχομεν εἰπεῖν·

Οὐκ ἔστιν εἰπεῖν ζῶντα, τοῦτ᾽ οὐ πείσομαι,

ἀλλ᾽ ἔστιν εἰπεῖν ζῶντα, Τοῦτο οὐ ποιήσω, οὐ ψεύσομαι, οὐ ῥᾳδιουργήσω, οὐκ ἀποστερήσω, οὐκ ἐπιβουλεύσω. τοῦτο γὰρ ἐφ᾽ ἡμῖν κείμενον, οὐ μικρὸν, ἀλλὰ μέγα πρὸς εὐθυμίαν πάρεστιν. ὥσπερ αὖ τοὐναντίον

Ἡ σύνεσις, ὅτι σύνοιδα δείν᾽ εἰργασμένος,

οἷον ἕλκος ἐν σαρκὶ, τῇ ψυχῇ τὴν μεταμέλειαν, αἱμάσσουσαν ἀεὶ καὶ νύσσουσαν, ἐναπολείπει. τὰς μὲν

γὰρ ἄλλας ἀναιρεῖ λύπας ὁ λόγος· τὴν δὲ μετάνοιαν αὐτὸς ἐργάζεται δακνομένης σὺν αἰσχύνῃ τῆς ψυχῆς, καὶ κολαζομένης, ὑφ᾽ αὑτῆς. ὡς γὰρ οἱ ῥιγοῦντες ἠπιάλοις καὶ πυρετοῖς διακαόμενοι τῶν ταῦτα παθόντων ἔξωθεν ὑπὸ καύματος ἢ κρύους μᾶλλον ἐνοχλοῦνται καὶ κάκιον ἔχουσιν, οὕτως ἐλαφροτέρας ἔχει τὰ τυχηρὰ τὰς λύπας ὥσπερ ἔξωθεν ἐπιφερομένας. τὸ δὲ,

Οὔ τις ἐμοὶ τῶν ἄλλος ἐπαίτιος, ἀλλ᾽ ἐγὼ αὐτὸς, ἐπιθρηνούμενον τοῖς ἁμαρτανομένοις ἔνδοθεν ἐξ αὐτοῦ, βαρύτερον ποιεῖ τῷ αἰσχρῷ τὸ ἀλγεινόν. ὅθεν οὔτε οἰκία πολυτελὴς, οὔτε χρυσίου πλῆθος, οὔτε ἀξίωμα γένους, οὔτε μέγεθος ἀρχῆς, οὐ λόγου χάρις, οὐ δεινότης εὐδίαν παρέχει βίῳ καὶ γαλήνην τοσαύτην, ὅσην ψυχὴ καθαρεύουσα πραγμάτων καὶ βουλευμάτων πονηρῶν, καὶ τὴν τοῦ βίου πηγὴν τὸ ἦθος ἀτάραχον ἔχουσα καὶ ἀμίαντον· ἀφ᾽ ἧς αἱ καλαὶ πράξεις ῥέουσαι, καὶ τὴν ἐνέργειαν ἐνθουσιώδη καὶ ἱλαρὰν μετὰ τοῦ μέγα φρονεῖν ἔχουσι, καὶ τὴν μνήμην ἡδίονα καὶ βεβαιοτέραν τῆς Πινδαρικῆς γηροτρόφου ἐλπίδος. οὐ γὰρ αἱ μὲν λιβανωτρίδες (ὡς ἔλεγε Καρνεάδης) κἂν ἀποκενωθῶσι, τὴν εὐωδίαν ἐπὶ πολὺν χρόνον ἀναφέρουσιν· ἐν δὲ τῇ ψυχῇ τοῦ νοῦν ἔχοντος αἱ καλαὶ πράξεις οὐκ ἀεὶ κεχαρισμένην καὶ πρόσφατον ἐναπολείπουσι τὴν ἐπίνοιαν, ὑφ᾽ ἧς τὸ χαῖρον ἄρδεται καὶ τέθηλε, καὶ καταφρονεῖ τῶν ὀδυρομένων καὶ λοιδορούντων τὸν βίον, ὥς τινα κακῶν χώραν, ἢ φυγαδικὸν τόπον ἐνταῦθα ταῖς ψυχαῖς ἀποδεδειγμένον.

XX. Ἄγαμαι δὲ καὶ τοῦ Διογένους, ὃς τὸν ἐν Λακεδαίμονι ξένον ὁρῶν παρασκευαζόμενον εἰς ἑορτήν τινα καὶ φιλοτιμούμενον· Ἀνὴρ δὲ (εἶπεν) ἀγαθὸς οὐ πᾶσαν ἡμέραν ἑορτὴν ἡγεῖται; καὶ πάνυ γε λαμπράν, εἰ σωφρονοῦμεν. ἱερὸν μὲν γὰρ ἁγιώτατον ὁ κόσμος ἐστὶ, καὶ θεοπρεπέστατον· εἰς δὲ τοῦτον ὁ ἄνθρωπος εἰσάγεται διὰ τῆς γενέσεως, οὐ χειροκμήτων οὐδὲ ἀκινήτων ἀγαλμάτων θεατὴς, ἀλλ' οἷα νοῦς θεῖος αἰσθητὰ νοητῶν μιμήματα, φησὶν ὁ Πλάτων, ἔμφυτον ἀρχὴν ζωῆς ἔχοντα καὶ κινήσεως ἔφηνεν, ἥλιον καὶ σελήνην καὶ ἄστρα καὶ ποταμοὺς νέον ὕδωρ ἐξιέντας ἀεὶ, καὶ γῆν φυτοῖς τε καὶ ζώοις τροφὰς ἀναπέμπουσαν. ὧν τὸν βίον μύησιν ὄντα καὶ τελετὴν τελειοτάτην, εὐθυμίας δεῖ μεστὸν εἶναι καὶ γήθους· οὐχ ὥςπερ οἱ πολλοὶ Κρόνια καὶ Διονύσια καὶ Παναθήναια καὶ τοιαύτας ἄλλας ἡμέρας περιμένουσιν, ἵν' ἡσθῶσι καὶ ἀναπνεύσωσιν ὠνητὸν γέλωτα, μίμοις καὶ ὀρχησταῖς μισθοὺς τελέσαντες. εἶτα ἐκεῖ μὲν εὔφημοι καθήμεθα κοσμίως· οὐδεὶς γὰρ ὀδύρεται μυούμενος, οὐδὲ θρηνεῖ Πύθια θεώμενος, ἢ πίνων ἐν Κρονίοις. ἃς δὲ ὁ θεὸς ἑορτὰς ἡμῖν χορηγεῖ καὶ μυσταγωγεῖ, καταισχύνουσιν, ἐν ὀδυρμοῖς τὰ πολλὰ καὶ βαρυθυμίαις καὶ μερίμναις ἐπιπόνοις διατρίβοντες. καὶ τῶν μὲν ὀργάνων χαίρουσι τοῖς ἐπιτερπὲς ἠχοῦσι, καὶ τῶν ὀρνέων τοῖς ᾄδουσι, καὶ τὰ παίζοντα καὶ σκιρτῶντα τῶν ζώων, ἡδέως ὁρῶσι· καὶ τοὐναντίον ὠρυομένοις καὶ βρυχομένοις καὶ σκυθρωπάζουσιν ἀνιῶνται· τὸν δὲ ἑαυτῶν βίον, ἀμειδῆ καὶ κατηφῆ καὶ τοῖς ἀτερπεστά-

τοις πάθεσι καὶ πράγμασι καὶ φροντίσι μηθὲν πέρας ἐχούσαις, πιεζόμενον ἀεὶ καὶ συνθλιβόμενον ὁρῶντες, οὐχ ὅπως αὐτοὶ ἑαυτοῖς ἀναπνοήν τινα καὶ ῥαστώνην πορίζουσιν· πόθεν; ἀλλ' οὐδὲ ἑτέρων παρακαλούντων προσδέχονται λόγον, ᾧ χρώμενοι, καὶ τοῖς παροῦσιν ἀμέμπτως συνοίσουσι, καὶ τῶν γεγονότων εὐχαρίστως μνημονεύσουσι, καὶ πρὸς τὸ λοιπὸν ἵλεω τὴν ἐλπίδα καὶ φαιδρὰν ἔχοντες, ἀδεῶς καὶ ἀνυπόπτως προσάξουσιν.

---

# ΠΛΟΥΤΑΡΧΟΥ
## ΠΕΡΙ
## ΦΙΛΑΔΕΛΦΙΑΣ.

---

Τὰ παλαιὰ τῶν Διοσκούρων ἀφιδρύματα οἱ Σπαρτιᾶται δόκανα καλοῦσι· ἔστι δὲ δύο ξύλα παράλληλα δυσὶ πλαγίοις ἐπεζευγμένα, καὶ δοκεῖ τῷ φιλαδέλφῳ τῶν θεῶν οἰκεῖον εἶναι τοῦ ἀναθήματος τὸ κοινὸν καὶ ἀδιαίρετον. οὕτω δὴ καὶ αὐτὸς ὑμῖν, ὦ Νιγρῖνε καὶ Κύντε, τὸ σύγγραμμα τοῦτο περὶ φιλαδελφίας ἀνατίθημι, κοινὸν ἀξίοις οὖσι δῶρον. ἐφ' ἃ γὰρ προτρέπεται, ταῦτα πράττοντες ἤδη, μαρτυρεῖσθαι μᾶλλον ἢ παρακαλεῖσθαι δόξετε. καὶ τὸ

χαῖρον ὑμῶν ἐφ' οἷς κατορθοῦτε, ποιήσει τῇ κρίσει τὴν ἐπιμονὴν βεβαιοτέραν, ὥσπερ ἐν χρηστοῖς καὶ φιλοκάλοις θεαταῖς εὐημερούντων. Ἀρίσταρχος μὲν οὖν, ὁ Θεοδέκτου πατὴρ, ἐπισκώπτων τὸ πλῆθος τῶν σοφιστῶν, ἔλεγε πάλαι μὲν ἑπτὰ σοφιστὰς μόλις γενέσθαι, τότε δὲ μὴ ῥᾳδίως ἂν ἰδιώτας τοσούτους εὑρεθῆναι. ἐγὼ δὲ ὁρῶ καθ' ἡμᾶς τὴν φιλαδελφίαν οὕτω σπάνιον οὖσαν, ὡς τὴν μισαδελφίαν ἐπὶ τῶν παλαιῶν, ἧς γε τὰ φανέντα παραδείγματα, τραγῳδίαις καὶ θεάτροις ὁ βίος ἐξέδωκε, διὰ τὸ παράδοξον· οἱ δὲ νῦν ἄνθρωποι πάντες ὅταν ἐντυγχάνωσι χρηστοῖς ἀδελφοῖς, θαυμάζουσιν οὐδὲν ἧττον, ἢ τοὺς Μολιονίδας ἐκείνους, συμφυεῖς τοῖς σώμασι γεγονέναι δοκοῦντας· καὶ τὸ χρῆσθαι κοινῶς τοῖς πατρῴοις χρήμασι καὶ φίλοις καὶ δούλοις, οὕτως ἄπιστον ἡγοῦνται καὶ τερατῶδες, ὡς τὸ χρῆσθαι μίαν ψυχὴν δυεῖν σωμάτων χερσὶ καὶ ποσὶ καὶ ὀφθαλμοῖς.

II. Καίτοι τὸ παράδειγμα τῆς χρήσεως τῶν ἀδελφῶν, ἡ φύσις οὐ μακρὰν ἔθηκεν, ἀλλ' ἐν αὐτῷ τῷ σώματι τὰ πλεῖστα τῶν ἀναγκαίων διττὰ καὶ ἀδελφὰ καὶ δίδυμα μηχανησαμένη, χεῖρας, πόδας, ὄμματα, ὦτα, ῥῖνας, ἐδίδαξεν, ὅτι ταῦτα πάντα σωτηρίας ἕνεκα καὶ συμπράξεως κοινῆς, οὐ διαφορᾶς καὶ μάχης, οὕτω διέστησεν· αὐτάς τε τὰς χεῖρας εἰς πολλοὺς καὶ ἀνίσους δακτύλους σχίσασα, πάντων ὀργάνων ἐμμελέστατα καὶ τεχνικώτατα παρέσχεν, ὥστε Ἀναξαγόραν τὸν παλαιὸν ἐν ταῖς χερσὶ τὴν αἰτίαν τίθεσθαι τῆς ἀνθρωπίνης σοφίας καὶ συνέσεως.

ἀλλὰ τούτου μὲν ἔοικεν ἀληθὲς εἶναι τοὐναντίον. οὐ γὰρ ὅτι χεῖρας ἔσχεν ἄνθρωπος, σοφώτατον· ἀλλ' ὅτι φύσει λογικὸν ἦν καὶ τεχνικὸν, ὀργάνων φύσει τοιούτων ἔτυχεν. ἐκεῖνο δὲ παντὶ δῆλον, ὡς ἀπὸ σπέρματος ἑνὸς καὶ μιᾶς ἀρχῆς ἡ φύσις ἀδελφοὺς δύο καὶ τρεῖς καὶ πλείονας ἐποίησεν, οὐ πρὸς διαφορὰν καὶ ἀντίταξιν, ἀλλ' ὅπως χωρὶς ὄντες, ἀλλήλοις μᾶλλον συνεργῶσιν. οἱ γὰρ δὴ τρισώματοι καὶ ἑκατοντάχειρες, εἴπερ ἐγένοντο, συμφυεῖς ὄντες πᾶσι τοῖς μέρεσιν, οὐθὲν ἐκτὸς αὐτῶν οὐδὲ χωρὶς ἐδύναντο ποιεῖν· ὃ τοῖς ἀδελφοῖς ὑπάρχει, καὶ μένειν καὶ ἀποδημεῖν ἅμα, καὶ πολιτεύεσθαι, καὶ γεωργεῖν δυναμένοις δι' ἀλλήλων· ἄνπερ ἣν ἡ φύσις ἔδωκεν εὐνοίας καὶ συμφωνίας ἀρχὴν φυλάττωσιν. εἰ δὲ μὴ, ποδῶν οὐθὲν (οἶμαι) διοίσουσιν ἀλλήλους ὑποσκελιζόντων, καὶ δακτύλων ἐμπλεκομένων καὶ διαστρεφομένων παρὰ φύσιν ὑπ' ἀλλήλων. μᾶλλον δὲ, ὥσπερ ἐν ταυτῷ σώματι μιᾶς κοινωνοῦντα φύσεως καὶ τροφῆς τὰ ὑγρὰ καὶ ξηρὰ, καὶ ψυχρὰ καὶ θερμὰ, τῇ ὁμονοίᾳ καὶ συμφωνίᾳ τὴν ἀρίστην καὶ ἡδίστην κρᾶσιν ἐμποιεῖ καὶ ἁρμονίαν, ἧς χωρὶς οὔτε πλούτου φασὶν οὔτε τᾶς ἰσοδαίμονος ἀνθρώποις βασιληΐδος ἀρχᾶς εἶναί τινα χάριν καὶ ὄνησιν· ἂν δὲ πλεονεξία καὶ στάσις αὐτοῖς ἐγγένηται, διέφθειρεν αἴσχιστα καὶ συνέχεε τὸ ζῶον· οὕτως ἀδελφῶν ὁμοφροσύνῃ καὶ γένος καὶ οἶκος ὑγιαίνει καὶ τέθηλε, καὶ φίλοι καὶ συνήθεις, ὥσπερ ἐμμελὴς χορὸς, οὐθὲν οὔτε πράσσουσιν ἐναντίον, οὔτε λέγουσιν, οὔτε φρονοῦσιν·

Ἐν δὲ διχοστασίῃ, καὶ ὁ πάγκακος ἔμμορε τιμῆς· οἰκέτης διάβολος, ἢ κόλαξ παρενδὺς θυραῖος, ἢ πολίτης βάσκανος. ὡς γὰρ αἱ νόσοι τοῖς σώμασι μὴ προσιεμένοις τὸ οἰκεῖον, πολλῶν ἐμποιοῦσιν ἀτόπων καὶ βλαβερῶν ὀρέξεις· οὕτως ἡ πρὸς τὸ συγγενὲς διαβολὴ καὶ ὑφόρασις, ὁμιλίας ἐπάγεται φαύλας καὶ πονηρὰς εἰς τὸ ἐλλιπὲς ἔξωθεν ἐπιῤῥεούσας.

III. Ὁ μὲν οὖν Ἀρκαδικὸς μάντις ἀναγκαίως πόδα ξύλινον προσεποιήσατο, καθ' Ἡρόδοτον, τοῦ οἰκείου στερηθείς· ἀδελφὸς δὲ πολεμῶν ἀδελφῷ, καὶ κτώμενος ὀθνεῖον ἐξ ἀγορᾶς ἢ παλαίστρας ἑταῖρον, οὐθὲν ἔοικεν ἄλλο ποιεῖν ἢ σάρκινον καὶ συμφυὲς ἑκουσίως ἀποκόψας μέρος, ἀλλότριον προστίθεσθαι καὶ προσαρμόττειν. αὐτὴ γὰρ ἡ προσδεχομένη καὶ ζητοῦσα φιλίαν καὶ ὁμιλίαν χρεία, διδάσκει τὸ συγγενὲς τιμᾷν καὶ περιέπειν καὶ διαφυλάττειν, ὡς ἀφίλους καὶ ἀμίκτους καὶ μονοτρόπους ζῆν μὴ δυναμένους, μηδὲ πεφυκότας. ὅθεν ὁ Μένανδρος ὀρθῶς·

Οὐκ ἐκ πότων καὶ τῆς καθ' ἡμέραν τρυφῆς
Ζητοῦμεν ᾧ πιστεύσομεν τὰ τοῦ βίου, (φησὶ)
Πάτερ· οὐ περιττὸν οἴει' ἐξευρηκέναι
Ἀγαθὸν ἕκαστος, ἐὰν ἔχῃ φίλου σκιάν.

σκιαὶ γάρ εἰσιν ὄντως, αἱ πολλαὶ φιλίαι καὶ μιμήματα καὶ εἴδωλα τῆς πρώτης ἐκείνης, ἣν παισί τε πρὸς γονεῖς ἡ φύσις, ἀδελφοῖς τε πρὸς ἀδελφοὺς ἐμπεποίηκε, κἀκείνην ὁ μὴ σεβόμενος μηδὲ τιμῶν, ἆρα τίνα πίστιν εὐνοίας τοῖς ἀλλοτρίοις δίδωσιν; ἢ ποῖός τις ἐστὶ, τὸν ἑταῖρον ἐν φιλοφροσύναις καὶ γράμμα-

σιν ἀδελφὸν προσαγορεύων, τῷ δ' ἀδελφῷ μηδὲ τὴν αὐτὴν ὁδὸν οἰόμενος δεῖν βαδίζειν; ὡς γὰρ εἰκόνα κοσμεῖν ἀδελφοῦ, τὸ δὲ σῶμα τύπτειν καὶ ἀκρωτηριάζειν μανικὸν, οὕτως τοὔνομα σέβεσθαι καὶ τιμᾶν ἐν ἑτέροις, αὐτὸν δὲ μισεῖν καὶ φεύγειν, οὐχ ὑγιαινοντός ἐστιν, οὐδ' ἐν νῷ πώποτε τὴν φύσιν, ὡς ἁγιώτατον καὶ μέγιστον ἱερὸν, λαβόντος.

IV. Οἶδα γοῦν ἐμαυτὸν ἐν Ῥώμῃ δυεῖν ἀδελφῶν ἀναδεξάμενον δίαιταν, ὧν ἅτερος ἐδόκει φιλοσοφεῖν· ἦν δὲ, ὡς ἔοικεν, οὐ μόνον ἀδελφὸς ἀλλὰ καὶ φιλόσοφος ψευδεπίγραφος καὶ ψευδώνυμος· ἐμοῦ γὰρ ἀξιοῦντος αὐτὸν ὡς ἀδελφῷ καὶ ἰδιώτῃ φιλόσοφον προσφέρεσθαι· Ταῦτα (εἶπεν) ὡς πρὸς ἰδιώτην ἀληθῶς· ἐγὼ δὲ οὐ σεμνὸν οὐδὲ μέγα ποιοῦμαι τὸ ἐκ τῶν αὐτῶν μορίων γεγονέναι. Σὺ μὲν (ἔφην ἐγὼ) δῆλος εἶ μηδὲ τὸ ἐκ μορίων γεγονέναι, μέγα καὶ σεμνὸν ἡγούμενος. ἀλλ' οἵγε πάντες ἄλλοι, εἰ καὶ μὴ φρονοῦσιν οὕτως, λέγουσι γοῦν καὶ ᾄδουσιν, ὡς γονεῦσι τιμὴν μετὰ θεοὺς πρώτην καὶ μεγίστην ἥ τε φύσις, ὅ τε τὴν φύσιν σώζων νόμος ἀπέδωκε· καὶ οὐκ ἔστιν ὅτι μᾶλλον ἄνθρωποι κεχαρισμένον θεοῖς δρῶσιν, ἢ τοκεῦσιν αὐτῶν καὶ τροφεῦσι παλαιὰς ἐπὶ νέαις δανεισθείσας χάριτας εὐμενῶς καὶ προθύμως ἐκτίνοντες. οὐδ' αὖ πάλιν μείζων ἐπίδειξις ἀθέου γέγονε τῆς περὶ γονεῖς ὀλιγωρίας καὶ πλημμελείας. διὸ τοὺς μὲν ἄλλους κακῶς ποιεῖν ἀπείρηται· μητρὶ δ' αὐτοῦ καὶ πατρὶ τὸ μὴ παρέχειν ἑαυτοὺς δρῶντας ἀεὶ καὶ λέγοντας ἀφ' ὧν εὐφραινοῦνται, κἂν μὴ προσῇ τὸ λυποῦν, ἀνόσιον ἡγοῦνται καὶ ἄθεσμον.

τίς οὖν ἐστι παρὰ παίδων γονεῦσιν ἢ πρᾶξις ἢ χάρις ἢ διάθεσις μᾶλλον εὐφραίνειν δυναμένη, τῆς πρὸς ἀδελφὸν εὐνοίας βεβαίου καὶ φιλίας;

V. Καὶ τοῦτό γε ῥᾴδιόν ἐστιν ἀπὸ τῶν ἐλαττόνων καταμαθεῖν. ὅπου γὰρ οἰκότριβα τιμώμενον ὑπὸ πατρὸς ἢ μητρὸς υἱοὶ προπηλακίζοντες, καὶ φυτῶν καὶ χωρίων οἷς ἔχαιρον ἀμελοῦντες, ἀνιῶσιν αὐτούς, καὶ κύων τις οἰκογενὴς παρορώμενος καὶ ἵππος ἅπτεται φιλοστόργων καὶ φιλοτίμων γερόντων, ἄχθονται δὲ τοῖς παισὶν ἀκροάματα καὶ θεάματα καὶ ἀθλητὰς, οὓς ἐθαύμαζον αὐτοὶ, διασύρουσι καὶ καταφρονοῦσιν· ἤπου μετρίως ἔχουσιν υἱαῖς διαφερομένοις καὶ μισοῦσιν ἀλλήλους καὶ κακῶς λέγουσι, καὶ πρὸς ἔργα καὶ πράξεις ἀντιταττομένοις ἀεὶ, καὶ καταλυομένοις ὑπ᾽ ἀλλήλων; οὐκ ἂν εἴποι τις· οὐκοῦν τοὐναντίον ἐρῶντες ἀλλήλων καὶ φιλοῦντες ἀδελφοὶ, καὶ ὅσον ἡ φύσις τοῖς σώμασι διέστησεν, ἐπὶ ταυτὸ τοῖς πάθεσι καὶ τοῖς πράγμασιν ἀποδιδόντες, καὶ λόγους κοινοὺς καὶ διατριβὰς ἅμα καὶ παιδιὰς μετ᾽ ἀλλήλων ἔχοντες, ἡδεῖαν καὶ μακαρίαν παρεσκευάκασι γηροτρόφον τοῖς γονεῦσι τὴν φιλαδελφίαν. οὔτε γὰρ φιλόλογος πατὴρ οὕτως, οὔτε φιλότιμος, οὔτε φιλοχρήματος γέγονεν, ὡς φιλότεκνος· διὸ τοὺς υἱοὺς οὔτε λέγοντας οὔτε πλουτοῦντας οὔτε ἄρχοντας ἡδέως οὕτως ὡς φιλοῦντας ἀλλήλους ὁρῶσιν. Ἀπολλωνίδα οὖν τὴν Κυζικηνὴν, Εὐμενοῦς δὲ τοῦ βασιλέως μητέρα, καὶ τριῶν ἄλλων, Ἀττάλου καὶ Φιλεταίρου καὶ Ἀθηναίου, λέγουσι μακαρίζειν ἑαυτὴν ἀεὶ καὶ τοῖς θεοῖς χάριν ἔχειν, οὐ

διὰ τὸν πλοῦτον, οὐδὲ διὰ τὴν ἡγεμονίαν, ἀλλ' ὅτι τοὺς τρεῖς υἱοὺς ἑώρα τὸν πρεσβύτατον δορυφοροῦντας, κἀκεῖνον ἐν μέσοις αὐτοῖς δόρατα καὶ ξίφη φοροῦσιν ἀδεῶς διαιτώμενον· ὥσπερ αὖ τοὐναντίον, Ἀρταξέρξης αἰσθόμενος Ὦχον τὸν υἱὸν ἐπιβεβουλευκότα τοῖς ἀδελφοῖς, ἀθυμήσας ἀπέθανε. Χαλεποὶ πόλεμοι γὰρ ἀδελφῶν, ὡς Εὐριπίδης εἴρηκεν, ὄντες, χαλεπώτατοι τοῖς γονεῦσιν αὐτοῖς εἰσιν. ὁ γὰρ μισῶν τὸν ἀδελφὸν αὐτοῦ καὶ βαρυνόμενος, οὐ δύναται μὴ τὸν γεννήσαντα μέμφεσθαι καὶ τὴν τεκοῦσαν.

VI. Ὁ μὲν οὖν Πεισίστρατος ἐπιγαμῶν ἐν ἡλικίᾳ οὖσι τοῖς υἱοῖς, ἔφη, καλοὺς καὶ ἀγαθοὺς ἐκείνους εἶναι, ἡγούμενος ἔτι πλειόνων ἐθέλειν τοιούτων πατὴρ γενέσθαι. χρηστοὶ δὲ καὶ δίκαιοι παῖδες, οὐ μόνον διὰ τοὺς γονεῖς ἀγαπήσουσι μᾶλλον ἀλλήλους, ἀλλὰ καὶ τοὺς γονεῖς δι' ἀλλήλους· οὕτως ἀεὶ καὶ φρονοῦντες καὶ λέγοντες, ὅτι τοῖς γονεῦσιν ἀντὶ πολλῶν χάριν ὀφείλοντες, μάλιστα διὰ τοὺς ἀδελφοὺς ὀφείλουσιν· ὡς τοῦτο δὴ κτημάτων ἁπάντων τιμιώτατον καὶ ἥδιστον ἔχοντες παρ' αὐτῶν. εὖ γέ τοι καὶ Ὅμηρος πεποίηκε Τηλέμαχον ἐν συμφορᾷ τὸ ἀνάδελφον τιθέμενον·

Ὧδε γὰρ ἡμετέρην γενεὴν μούνωσε Κρονίων.

ὁ δὲ Ἡσίοδος οὐκ εὖ παραινεῖ μονογενῆ παῖδα τῶν πατρῴων ἐπίκληρον εἶναι, καὶ ταῦτα τῶν μουσῶν γεγονὼς μαθητής, ἃς ὁμοῦ δι' εὔνοιαν ἀεὶ καὶ φιλαδελφίαν οὔσας, οὕτως ὠνόμαζον μούσας. πρὸς μὲν οὖν γονεῖς ἡ φιλαδελφία τοιοῦτόν ἐστιν, ὥστε τὸ φιλεῖν ἀδελφὸν, εὐθὺς ἀπόδειξιν εἶναι τοῦ καὶ τὸν

πατέρα φιλεῖν καὶ τὴν μητέρα· πρὸς δὲ παῖδας αὐτοῦ, δίδαγμα καὶ παράδειγμα φιλαδελφίας, οἷον οὐθὲν ἄλλο· καὶ τοὐναντίον αὖ πάλιν πονηρὸν, ὥςπερ ἐξ ἀντιγράφου πατρῴου, τὴν μισαδελφίαν ἀναλαμβάνουσιν. ὁ γὰρ ἐν δίκαις καὶ στάσεσι καὶ ἀγῶσι πρὸς ἀδελφοὺς ἐγγεγηρακὼς, εἶτα τοὺς υἱοὺς ὁμονοεῖν παρακαλῶν,

Ἄλλων ἰατρὸς, αὐτὸς ἕλκεσι βρύων,

ἀσθενῆ ποιεῖ τοῖς ἔργοις τὸν λόγον. εἴ γοῦν ὁ Θηβαῖος Ἐτεοκλῆς πρὸς τὸν ἀδελφὸν εἰρηκώς·

Ἄστρων ἂν ἔλθοιμ᾽ αἰθέρος πρὸς ἀντολὰς,
Καὶ γῆς ἔνερθεν, δυνατὸς ὢν δράσειν τάδε,
Τὴν τῶν θεῶν μεγίστην ὥστ᾽ ἔχειν τυραννίδα·

τοῖς αὐτοῦ πάλιν παρεκελεύετο τέκνοις,

Ἰσότητα τιμᾷν, ἣ φίλους ἀεὶ φίλοις,
Πόλεις τε πόλεσι, συμμάχους τε συμμάχοις
Συνδεῖ· τὸ γὰρ ἴσον μόνιμον ἀνθρώποις ἔφυ,

τίς οὐκ ἂν αὐτοῦ κατεφρόνησε; ποῖος δ᾽ ἂν ἦν ὁ Ἀτρεὺς, εἰ τοιαῦτα δειπνίσας τὸν ἀδελφὸν, ἐγνωμολόγει πρὸς τοὺς παῖδας·

Φίλων γε μέντοι χρῆσις ἡ πρὸς αἵματος,
Μόνη κακοῦ ῥέοντος ὠφελεῖν φιλεῖ.

VII. Διὸ καὶ γονέων κακὴν γηροτρόφον οὖσαν, καὶ κακίονα παιδοτρόφον τέκνων, ἐκκαθαίρειν προςήκει τὴν μισαδελφίαν. ἔστι δὲ καὶ πρὸς πολίτας διάβολος καὶ κατήγορος· οἴονται γὰρ οὐκ ἂν ἐκ τοσῆςδε συντροφίας καὶ συνηθείας καὶ οἰκειότητος, ἐχθροὺς καὶ πολεμίους γενέσθαι, μὴ πολλὰ καὶ πονηρὰ συνειδότας ἀλλήλοις. μεγάλαι γὰρ αἰτίαι μεγάλην δια-

λύουσιν εὔνοιαν καὶ φιλίαν· ὅθεν οὐδὲ ῥᾳδίως αὖθις ἐνδέχονται διαλύσεις. ὥσπερ γὰρ τὰ συμπαγέντα, κἂν χαλάσῃ τὸ ἐχέκολλον, ἐνδέχεται πάλιν δεθῆναι καὶ συνελθεῖν· συμφυοῦς δὲ σώματος ῥαγέντος ἢ σχισθέντος, ἔργον ἐστὶ κόλλησιν εὑρεῖν καὶ σύμφυσιν· οὕτως αἱ μὲν ὑπὸ χρείας συνημμέναι φιλίαι κἂν διαστῶσιν, οὐ χαλεπῶς αὖθις ἀναλαμβάνονται. ἀδελφοὶ δὲ τοῦ κατὰ φύσιν ἐκπεσόντες, οὔτοι ῥᾳδίως συνέρχονται· κἂν συνέλθωσι, ῥυπαρὰν καὶ ὕποπτον οὐλὴν αἱ διαλύσεις ἐφέλκονται. πᾶσα μὲν οὖν ἔχθρα πρὸς ἄνθρωπον ἀνθρώπῳ μετὰ τῶν μάλιστα λυπούντων ἐνδυομένη παθῶν, φιλονεικίας, ὀργῆς, φθόνου, μνησικακίας, ὀδυνηρόν ἐστι καὶ ταραχῶδες· ἡ δὲ πρὸς ἀδελφὸν, ᾧ θυσιῶν τε κοινωνεῖν ἀνάγκη, καὶ ἱερῶν πατρῴων, ὁμόταφόν τε γενέσθαι, καίπου σύνοικον ἢ γείτονα χωρίων, ἐν ὄμμασιν ἔχει τὸ λυπηρὸν, ὑπομιμνήσκουσα καθ' ἡμέραν τῆς ἀνοίας καὶ παραφροσύνης, δι' ἣν τὸ ἥδιστον πρόσωπον καὶ συγγενέστατον εἶδος, σκυθρωπότατον, ἥ τε προσφιλὴς ἐκ νέων φωνὴ καὶ συνήθης, ἀκοῦσαι φοβερωτάτη γέγονε. πολλοὺς δὲ τῶν ἄλλων ἀδελφῶν ὁρῶντες οἰκίᾳ μιᾷ τε χρωμένους καὶ τραπέζῃ καὶ χωρίοις ἀνεμήτοις καὶ ἀνδραπόδοις, αὐτοὶ καὶ φίλους διῄρηνται καὶ ξένους, ἐχθρὰ πάντα τὰ προσφιλῆ τοῖς ἀδελφοῖς νομίζοντες· καὶ ταῦτα, πᾶσιν ἐν μέσῳ λογίζεσθαι παρόντος, ὅτι ληϊστοὶ μέν τε φίλοι καὶ συμπόται, κτητοὶ δὲ κηδεσταὶ καὶ συνήθεις, τῶν πρώτων ὥσπερ ὅπλων ἢ ὀργάνων διαφθαρέντων. ἀδελφοῦ δὲ ἀντίκτησις οὐκ ἔστιν, ὥσπερ οὐδὲ χειρὸς ἀ-

*φαιρεθείσης, οὐδὲ ὄψεως ἐκκοπείσης. ἀλλ᾽ ὀρθῶς ἡ Περσὶς εἶπεν, ἀντὶ τῶν τέκνων ἑλομένη σῶσαι τὸν ἀδελφὸν, ὅτι παῖδας μὲν ἑτέρους κτήσασθαι δύναιτ᾽ ἂν, ἀδελφὸς δὲ ἄλλος αὐτῇ, γονέων μὴ ὄντων, οὐκ ἂν γένοιτο.*

VIII. *Τί δῆτα χρὴ ποιεῖν (φαίη τις ἂν) ὅτῳ φαῦλος ἀδελφὸς γένοιτο; πρῶτον ἐκεῖνο μνημονεύειν, ὅτι παντὸς ἅπτεται γένους φιλίας ἡ φαυλότης, καὶ, κατὰ τὸν Σοφοκλέα,*

*Τὰ πλεῖστα φωρῶν, αἰσχρὰ φωράσεις βροτῶν.*

*οὔτε γὰρ τὸ συγγενικὸν, οὔτε τὸ ἑταιρικὸν, οὔτε τὸ ἐρωτικὸν εἰλικρινὲς καὶ ἀπαθὲς καὶ καθαρόν ἐστιν εὑρεῖν κακίας. ὁ μὲν οὖν Λάκων μικρὰν γυναῖκα γήμας, ἔφη, τὰ ἐλάχιστα δεῖν αἱρεῖσθαι τῶν κακῶν· ἀδελφοῖς δὲ σωφρόνως παραινέσειεν ἄν τις, τὰ οἰκειότατα τῶν κακῶν ὑπομένειν μᾶλλον, ἢ πειρᾶσθαι τῶν ἀλλοτρίων· τοῦτο γὰρ ἀνέγκλητον, ὡς ἀναγκαῖον, ἐκεῖνο δὲ ψεκτὸν, ὡς αὐθαίρετον. οὐ γὰρ ὁ συμπότης, οὐδὲ ὁ συνέφηβος, οὐδὲ ὁ ξένος*

*Αἰδοῦς ἀχαλκεύτοισιν ἔζευκται πέδαις.*

*ἀλλ᾽ ὁ σύναιμος καὶ σύντροφος, καὶ ὁμοπάτωρ καὶ ὁμομήτωρ, ᾧ καὶ τῶν ἁμαρτημάτων εἰκός ἐστιν ἐπιχωρεῖν ἔνια, καὶ παρείκειν λέγοντα πρὸς ἀδελφὸν ἐξαμαρτάνοντα·*

*Τοὔνεκά σ᾽ οὐ δύναμαι προλιπεῖν δύστηνον ἐόντα, καὶ φαῦλον καὶ ἀνόητον, μή καὶ λάθω τι πατρῷον, ἢ μητρῷον, ἐνεσταγμένον ἀπὸ σπέρματος νόσημα χαλεπῶς καὶ πικρῶς τῷ μισεῖν ἐν σοὶ κολάζων. Τοὺς μὲν γὰρ ἀλλοτρίους (ὡς ἔλεγε Θεόφραστος) οὐ φι-*

λοῦντα δεῖ κρίνειν, ἀλλὰ κρίναντα, φιλεῖν· ὅπου δὲ ἡ φύσις ἡγεμονίαν τῇ κρίσει πρὸς εὔνοιαν οὐ δίδωσιν, οὐδ᾽ ἀναμένει τὸν θρυλλούμενον τῶν ἁλῶν μέδιμνον, ἀλλὰ συγγεγέννηκε τὴν ἀρχὴν τῆς φιλίας, ἐνταῦθα δεῖ μὴ πικροὺς εἶναι, μηδὲ ἀκριβεῖς τῶν ἁπαρτημάτων ἐξεταστάς. νυνὶ δὲ τί ἂν λέγοις, εἰ ξένων ἀνθρώπων καὶ ἀλλοτρίων ἐκ πότου τινὸς ἢ παιδιᾶς ἢ παλαίστρας προσφθαρέντων ἁμαρτήματα ῥᾳδίως ἔνιοι φέροντες καὶ ἡδόμενοι, δύσκολοι καὶ ἀπαραίτητοι πρὸς τοὺς ἀδελφούς εἰσιν; ὅπου καὶ κύνας χαλεποὺς καὶ ἵππους, πολλοὶ δὲ λύγγας, αἰλούρους, πιθήκους, λέοντας τρέφοντες καὶ ἀγαπῶντες, ἀδελφῶν οὐχ ὑπομένουσιν ὀργὰς, ἢ ἀγνοίας, ἢ φιλοτιμίας; ἕτεροι δὲ παλλακίσι καὶ πόρναις οἰκίας καὶ ἀγροὺς καταγράφοντες, ὑπὲρ οἰκοπέδου καὶ γωνίας πρὸς ἀδελφοὺς διαμονομαχοῦσιν; εἶτα τῷ μισαδέλφῳ μισοπονηρίαν ὄνομα θέμενοι, περινοστοῦσιν ἐν τοῖς ἀδελφοῖς τὴν κακίαν προβαλλόμενοι καὶ λοιδοροῦντες, ἐν δὲ τοῖς ἄλλοις μὴ δυσχεραίνοντες, ἀλλὰ χρώμενοι πολλῇ καὶ συνόντες.

IX. Ταυτὶ μὲν οὖν ἔστω προοίμια τοῦ λόγου παντός. ἀρχὴν δὲ τῆς διδασκαλίας, μὴ τὴν νέμησιν τῶν πατρῴων, ὥσπερ ἕτεροι, λάβωμεν, ἀλλὰ τὴν ἔτι ζώντων ἁμαρτανομένην τῶν γονέων ἅμιλλαν καὶ ζηλοτυπίαν. οἱ μὲν γὰρ ἔφοροι, τοῦ Ἀγησιλάου τῶν ἀποδεικνυμένων ἀεὶ γερόντων ἑκάστῳ βοῦν ἀριστεῖον πέμποντος, ἐζημίωσαν αὐτὸν, αἰτίαν ὑπειπόντες, ὅτι τοὺς κοινοὺς ἰδίους κτᾶται δημαγωγῶν καὶ χαριζόμενος· υἱῷ δὲ ἄν τις παραινέσειε θεραπεύειν γονεῖς

μὴ κτώμενον ἑαυτῷ μόνῳ, μηδ' εἰς ἑαυτὸν ἀποστρέφοντα τὴν εὔνοιαν· ᾧ τρόπῳ πολλοὶ καταδημαγωγοῦσι τοὺς ἀδελφοὺς, εὐπρεπῆ πρόφασιν, οὐ δικαίαν δὲ, τῆς πλεονεξίας ταύτης ἔχοντες. τὸ γὰρ μέγιστον τῶν πατρῴων καὶ κάλλιστον ἀποστεροῦσιν αὐτοὺς, τὴν εὔνοιαν, ἀνελευθέρως καὶ πανούργως ὑποτρέχοντες, ἐν καιρῷ ταῖς ἐκείνων ἀσχολίαις καὶ ἀγνοίαις ἐπιτιθέμενοι, καὶ μάλιστα παρέχοντες εὐτάκτους καὶ κατηκόους αὐτοὺς καὶ σώφρονας, ἐν οἷς ἐκείνους ἁμαρτάνοντας ἢ δοκοῦντας ὁρῶσι. δεῖ δὲ τοὐναντίον, ὅπου μὲν ὀργὴ, συνεκδέχεσθαι καὶ συνυποδύεσθαι, καθάπερ τῷ συνεργεῖν ποιοῦντα κουφότερον, ὑπουργίαις δὲ καὶ χάρισι συνεισποιεῖν ἀμωσγέπως τὸν ἀδελφόν· ἐλλείποντος δέ που καιρὸν ἢ πρᾶξιν ἑτέραν, τὴν φύσιν αἰτιᾶσθαι, ὡς μᾶλλον πρὸς ἄλλα χρησιμωτέραν καὶ σεμνοτέραν οὖσαν. εὖ δ' ἔχει καὶ τὸ τοῦ Ἀγαμέμνονος, ὡς

Οὔτ' ὄκνῳ εἴκων, οὔτ' ἀφραδίῃσι νόοιο,
Ἀλλ' ἐμέ τ' εἰσορόων, καὶ ἐμὴν ποτιδεγμένος ὁρμήν,

κἀμοὶ τοῦτο παραδοὺς τὸ καθῆκον. ἡδέως δὲ καὶ τῶν ὀνομάτων τὰς μεταθέσεις οἱ πατέρες προσδέχονται καὶ πιστεύουσι τοῖς υἱοῖς, ἁπλότητα μὲν τὴν ῥᾳθυμίαν τῶν ἀδελφῶν ὀνομάζουσιν, ὀρθότητα δὲ τὴν σκαιότητα, τὸ δὲ φιλόνεικον ἀκαταφρόνητον· ὥστε τῷ διαλλάσσοντι περίεστι τὴν πρὸς τὸν ἀδελφὸν ὀργὴν ἐλαττοῦν ἅμα, καὶ τὴν πρὸς ἑαυτὸν εὔνοιαν αὔξειν τοῦ πατρός.

X. Οὕτω δ' ἀπολογησάμενον, ἤδη πρὸς ἐκεῖνον

δεῖ τρέπεσθαι, καὶ καθάπτεσθαι σφοδρότερον τὸ ἁμάρτημα, καὶ τὸ ἔλλειμμα μετὰ παῤῥησίας ἐνδεικνύμενον. οὔτε γὰρ ἐφιέναι δεῖ τοῖς ἀδελφοῖς, οὔτ᾽ αὖ πάλιν ἐπεμβαίνειν ἁμαρτάνουσιν αὐτοῖς, (τὸ μὲν γὰρ ἐπιχαίροντός ἐστιν, ἐκεῖνο δὲ συνεξαμαρτάνοντος) ἀλλὰ κηδομένῳ καὶ συναχθομένῳ χρῆσθαι τῷ νουθετοῦντι. γίνεται δὲ κατήγορος ἀδελφοῦ σφοδρότατος πρὸς αὐτὸν, ὁ προθυμότατος ὑπὲρ αὐτοῦ συνήγορος πρὸς τοὺς γονεῖς γενόμενος. ἂν δὲ μηδὲν ἁμαρτάνων ἀδελφὸς ἐν αἰτίᾳ γένηται, τἆλλα μὲν ὑπουργεῖν γονεῦσι καὶ φέρειν ὀργήν τε πᾶσαν αὐτῶν καὶ δυσχέρειαν, ἐπιεικές· αἱ δὲ ὑπὲρ ἀδελφοῦ παρ᾽ ἀξίαν κακῶς ἀκούοντος ἢ πάσχοντος ἀντιδικίαι καὶ δικαιολογίαι πρὸς αὐτοὺς, ἄμεμπτοι καὶ καλαί· καὶ οὐ φοβητέον ἀκοῦσαι τὸ Σοφόκλειον·

Ὦ παῖ κάκιστε, διὰ δίκης ἰὼν πατρὶ,

παῤῥησιαζόμενον ὑπὲρ ἀδελφοῦ δοκοῦντος ἀγνωμονεῖσθαι· καὶ γὰρ αὐτοῖς ἡ τοιαύτη δίκη τοῖς ἐλεγχομένοις ποιεῖ τὴν ἧτταν ἡδίω τῆς νίκης.

XI. Ἀποθανόντος γε μὴν πατρὸς ἐμφύεσθαι μᾶλλον ἢ πρότερον ὀρθῶς ἔχει τῇ εὐνοίᾳ τῶν ἀδελφῶν. εὐθὺς μὲν ἐν τῷ συνδακρύειν καὶ συνάχθεσθαι κοινούμενον τὸ φιλόστοργον· ὑπονοίας δὲ θεραπόντων, καὶ διαβολὰς ἑτέρων ἑτέρῳ αὐτοὺς προσνεμόντων, ἀπωθούμενον· καὶ πιστεύοντα τοῖς τε ἄλλοις, ἃ μυθολογοῦσι περὶ τῶν Διοσκούρων τῆς φιλαδελφίας, καὶ ὅτι ὁ Πολυδεύκης τὸν καταψιθυρίζοντα τοῦ ἀδελφοῦ πρὸς αὐτὸν, κονδύλῳ παίσας ἀπέκτεινεν. ἐπὶ δὲ τὴν νέμησιν τῶν πατρῴων, μὴ

καταγγείλαντας ἀλλήλοις πόλεμον, (ὥσπερ οἱ πολλοί· Κλῦθ' ἀλάλα πολέμου θύγατερ) ἐκ παρασκευῆς ἀπαντᾷν· ἀλλὰ μάλιστα δεῖ τὴν ἡμέραν ἐκείνην φυλαττομένους, ὡς τοῖς μὲν ἔχθρας ἀνηκέστου καὶ διαφορᾶς, τοῖς δὲ φιλίας καὶ ὁμονοίας οὖσαν ἀρχήν, μάλιστα μὲν αὐτοὺς καθ' ἑαυτούς, εἰ δὲ μή, φίλου κοινοῦ παρόντος ἀμφοτέροις μάρτυρος, εὐγνωμονοῦντας δίκης κλήροις, ᾗ φησιν ὁ Πλάτων, τὰ φίλα καὶ προσήκοντα λαμβάνοντας καὶ διδόντας, οἴεσθαι τὴν ἐπιμέλειαν νέμεσθαι καὶ τὴν οἰκονομίαν, χρῆσιν δὲ καὶ κτῆσιν ἐν μέσῳ κεῖσθαι κοινὴν καὶ ἀνέμητον ἁπάντων. οἱ δὲ καὶ τιτθὰς ἀποσπῶντες ἀλλήλων καὶ συντρόφους καὶ συνήθεις παῖδας, ὑπερβαλλόμενοι τοῖς διωγμοῖς, ἀπίασιν ἀνδραπόδου τιμὴν πλέον ἔχοντες, τὸ δὲ μέγιστον καὶ τιμιώτατον τῶν πατρῴων, φιλίαν ἀδελφοῦ καὶ πίστιν ἀποδεδωκότες. ἐνίους δὲ καὶ ἀκερδῶς φιλονεικίας ἕνεκα χρησαμένους τοῖς πατρῴοις οὐδὲν ἐπιεικέστερον ἢ λαφύροις ἴσμεν. ὧν καὶ Χαρικλῆς καὶ Ἀντίοχος ἦσαν οἱ Ὀπούντιοι· καὶ γὰρ ἔκπωμα διακόψαντες ἀργυροῦν, καὶ ἱμάτιον διατεμόντες ἀπῄεσαν, ὥσπερ ἐκ τραγικῆς τινος κατάρας, Θηκτῷ σιδήρῳ δῶμα διαλαχόντες. οἱ δὲ καὶ διηγοῦνται πρὸς ἑτέρους γαυριῶντες, ὅτι τῶν ἀδελφῶν, πανουργίᾳ καὶ δριμύτητι καὶ παραλογισμῷ, πλέον ἔσχον ἐν τῷ νέμεσθαι· δέον ἀγάλλεσθαι καὶ μέγα φρονεῖν ἐπιεικείᾳ καὶ χάριτι καὶ ὑπείξει περιγενομένους. ὅθεν ἄξιόν ἐστιν Ἀθηνοδώρου μεμνῆσθαι, καὶ μέμνηνταί γε πάντες παρ' ἡμῖν. ἦν γὰρ ἀδελφὸς πρεσβύτερος αὐτῷ, ὄνομα Ξένων, καὶ πολλὰ

τῆς οὐσίας ἐπιτρόπεύων διεφόρησε. τέλος δὲ ἁρπάσας γυναῖκα καὶ καταδικασθεὶς, ἀπώλεσε τὴν οὐσίαν, εἰς τὸ Καίσαρος ταμιεῖον ἀναληφθεῖσαν. ὁ δ' Ἀθηνόδωρος ἦν μὲν ἔτι μειράκιον οὐδέπω γενειῶν· ἀποδοθέντος δὲ τοῦ μέρους αὐτῷ τῶν χρημάτων, οὐ περιεῖδε τὸν ἀδελφὸν, ἀλλ' εἰς μέσον ἅπαντα καταθεὶς, ἐνείματο, καὶ πολλὰ περὶ τὴν νέμησιν ἀγνωμονούμενος, οὐκ ἠγανάκτησεν, οὐδὲ μετενόησεν, ἀλλὰ πρᾴως καὶ ἱλαρῶς ἤνεγκε τοῦ ἀδελφοῦ τὴν ἄνοιαν, περιβόητον ἐν τῇ Ἑλλάδι γενομένην.

XII. Ὁ μὲν οὖν Σόλων ἀποφηνάμενος περὶ πολιτείας, ὡς ἰσότης στάσιν οὐ ποιεῖ, λίαν ἔδοξεν ὀχλικῶς ἀριθμητικὴν καὶ δημοκρατικὴν ἐπεισάγειν ἀναλογίαν ἀντὶ τῆς καλῆς γεωμετρικῆς· ὁ δὲ ἐν οἰκίᾳ παραινῶν ἀδελφοῖς, μάλιστα μὲν, ὡς ὁ Πλάτων παρῄνει τοῖς πολίταις, τὸ ἐμὸν ἐξαίρειν καὶ τὸ οὐκ ἐμὸν, εἰ δὲ μὴ, τὴν ἴσην ἀγαπᾷν, καὶ τῆς ἴσης περιέχεσθαι, καλὴν κρηπῖδα καὶ μόνιμον ὁμονοίας καὶ εἰρήνης καταβαλλόμενός ἐστι. χρήσθω δὲ καὶ παραδείγμασιν ἐνδόξοις· οἷόν ἐστι καὶ τὸ τοῦ Πιττακοῦ πρὸς τὸν βασιλέα Λυδῶν πυνθανόμενον, εἰ χρήματά ἐστιν αὐτῷ, διπλάσια, εἶπεν, ἢ ἐβουλόμην, τοῦ ἀδελφοῦ τεθνηκότος. ἐπεὶ δ' οὐ μόνον ἐν χρημάτων κτήσει καὶ μειώσει τῷ πλέονι πολέμιον καθίσταται τοὔλασσον, ἀλλ' ἁπλῶς, ᾗ φησιν ὁ Πλάτων ἐν μὲν ἀνωμαλίᾳ κίνησιν, ἐν δὲ ὁμαλότητι στάσιν ἐγγίνεσθαι καὶ μονὴν, οὕτω πᾶσα μὲν ἀνισότης ἐπισφαλὴς ἐστι πρὸς διαφορὰν ἀδελφῶν· ἐν πᾶσι δ' ἴσους γενέσθαι καὶ ὁμαλοὺς, ἀδύνατον. τὰ μὲν γὰρ αἱ

φύσεις εὐθὺς ἀνίσως νέμουσαι, τὰ δὲ ὕστερον αἱ τύχαι, φθόνους ἐμποιοῦσι καὶ ζηλοτυπίας, αἴσχιστα νοσήματα καὶ κῆρας, οὐκ οἰκίαις μόνον, ἀλλὰ καὶ πόλεσιν ὀλεθρίους. δεῖ καὶ ταῦτα φυλάττεσθαι, καὶ θεραπεύειν, ἂν ἐγγένηται. τῷ μὲν οὖν ὑπερέχοντι παραινέσειεν ἄν τις, πρῶτον μὲν οἷς δοκεῖ διαφέρειν, ταῦτα κοινὰ ποιεῖν τοῖς ἀδελφοῖς, συνεπικοσμοῦντα τῇ δόξῃ καὶ συνεισποιοῦντα ταῖς φιλίαις· κἂν λέγειν δεινότερος ᾖ, χρῆσθαι παρέχοντα τὴν δύναμιν, ὡς ἐκείνου μηθὲν ἧττον οὖσαν· ἔπειτα μήτε ὄγκον ἐμφαίνειν τινὰ μήτε ὑπεροψίαν, ἀλλὰ μᾶλλον ἐνδιδόντα καὶ συγκαθιέντα τῷ ἤθει τὴν ὑπεροχὴν ἀνεπίφθονον ποιεῖν, καὶ τὴν τῆς τύχης ἀνωμαλίαν ἐπανισοῦν, ὡς ἀνυστόν ἐστι, τῇ μετριότητι τοῦ φρονήματος. ὁ μὲν οὖν Λεύκολλος οὐκ ἠξίωσε τοῦ ἀδελφοῦ πρότερος τὴν ἀρχὴν λαβεῖν πρεσβύτερος ὤν, ἀλλὰ τὸν αὐτοῦ παρεὶς καιρὸν, τὸν ἐκείνου περιέμεινεν. ὁ δὲ Πολυδεύκης οὐδὲ θεὸς ἠθέλησε μόνος, ἀλλὰ μᾶλλον ἡμίθεος σὺν τῷ ἀδελφῷ γενέσθαι, καὶ τῆς θνητῆς μερίδος μετασχεῖν ἐπὶ τῷ μεταδοῦναι τῆς ἀθανασίας ἐκείνῳ. σοὶ δὲ, (φαίη τις ἂν) ὦ μακάριε, μηθὲν ἐλαττοῦντι τῶν προσόντων ἀγαθῶν, ὑπάρχει συνεξομοιοῦν καὶ συνεπικοσμεῖν τὸν ἀδελφὸν, ὥσπερ αὐτὸς, ἀπολαύοντα τῆς περὶ σὲ δόξης, ἢ ἀρετῆς, ἢ εὐτυχίας· ὥσπερ Πλάτων τοὺς ἀδελφοὺς εἰς τὰ κάλλιστα τῶν αὐτοῦ συγγραμμάτων θέμενος, ὀνομαστοὺς ἐποίησε, Γλαύκωνα μὲν καὶ Ἀδείμαντον εἰς τὴν πολιτείαν, Ἀντιφῶντα δὲ τὸν νεώτατον, εἰς τὸν Παρμενίδην.

XIII. Ἔτι τοίνυν ὥσπερ ἐγγίνονται ταῖς φύσεσι καὶ ταῖς τύχαις τῶν ἀδελφῶν ἀνισότητες· οὕτως ἐν πᾶσι καὶ πάντως ὑπερέχειν τὸν ἕτερον ἀδύνατόν ἐςι. τὰ μὲν γὰρ στοιχεῖά φασιν ἐκ μιᾶς ὕλης γεγονέναι, τὰς ἐναντιωτάτας ἔχοντα δυνάμεις· δυεῖν δ' ἀδελφῶν ἐκ μιᾶς μητρὸς καὶ πατρὸς ταὐτοῦ γεγονότων, οὐδεὶς ἑώρακε τὸν μὲν, ὡς τὸν ἐκ τῆς στοᾶς σοφὸν, ὁμοῦ καλὸν, εὔχαριν, ἐλευθέριον, ἔντιμον, πλούσιον, δεινὸν εἰπεῖν, πολυμαθῆ, φιλάνθρωπον· τὸν δὲ ἕτερον, αἰσχρὸν, ἄχαριν, ἀνελεύθερον, ἄτιμον, ἄπορον, ἀσθενῆ περὶ λόγον, ἀμαθῆ, μισάνθρωπον· ἀλλ' ἔνεστιν ἀμωσγέπως καὶ τοῖς ἀδοξοτέροις καὶ ταπεινοτέροις μοῖρά τις χάριτος, ἢ δυνάμεως, ἢ πρός τι καλὸν εὐφυΐας,

Ὡς ἂν ἐχινόποδας, καὶ ἀνὰ τρηχεῖαν ὄνωνιν,
Φύονται μαλακῶν ἄνθεα λευκοΐων.

ταῦτα τοίνυν ὁ δοκῶν πλέον ἔχειν ἐν ἄλλοις, ἂν μὴ κολούῃ, μηδ' ἐπικρύπτῃ, μηδὲ πάντων, ὥσπερ ἐν ἀγῶνι, τὸν ἀδελφὸν ἐξωθῇ τῶν πρωτείων, ἀλλ' ἀνθυπείκῃ, καὶ ἀποφαίνῃ πρὸς πολλὰ βελτίω καὶ χρησιμώτερον ἐκεῖνον, ὑφαιρῶν ἀεὶ τοῦ φθόνου τὴν πρόφασιν, ὥσπερ ὕλην τοῦ πυρὸς, ἀποσβέσει, μᾶλλον δὲ ὅλως οὐκ ἐάσει λαβεῖν γένεσιν, οὐδὲ σύστασιν. ὁ δὲ καὶ συνεργὸν, ἐν οἷς δοκεῖ κρείττων αὐτὸς εἶναι, ποιούμενος τὸν ἀδελφὸν ἀεὶ καὶ σύμβουλον, οἷον, ἐν δίκαις ῥητορικὸς ὢν, ἐν ἀρχαῖς πολιτευόμενος, ἐν πράξεσι φιλικαῖς· συνελόντι δ' εἰπεῖν, μηδενὸς ἀξιολόγου καὶ τιμὴν φέροντος ἔργου περιορῶν ἀπολειπόμενον, ἀλλὰ τῶν καλῶν πάντων κοινωνὸν ἀπο-

φαίνων, καὶ χρώμενος παρόντι, καὶ περιμένων ἀπόντα, καὶ ὅλως συνεμφαίνων, ὅτι πρακτικὸς μὲν οὐχ ἧττον αὐτοῦ, παραχωρητικὸς δὲ μᾶλλόν ἐστι δόξης καὶ δυνάμεως, οὐδὲν ἑαυτοῦ παραιρούμενος, ἐκείνῳ μεγάλα προστίθησι.

XIV. Τῷ μὲν οὖν ὑπερέχοντι τοιαῦτά τις ἂν παραινέσειε· τῷ δὲ λειπομένῳ πάλιν ἐνθυμητέον, ὡς οὐχ εἷς, οὐδὲ μόνος αὐτοῦ πλουσιώτερος, ἢ λογιώτερος, ἢ λαμπρότερος εἰς δόξαν ὁ ἀδελφός ἐστιν, ἀλλὰ πολλάκις πολλῶν ἀπολείπεται καὶ μυριάκις μυρίων,

Εὐρυόδου γ' ὅσοι καρπὸν αἰνύμεθα χθονός.

εἴτε δὴ πᾶσι περινοστεῖ φθονῶν, εἴτε μόνος αὐτὸν ἐν τοσούτοις εὐτυχοῦσιν ὁ φίλτατος ἀνιᾷ καὶ ὁ συγγενέστατος, ὑπερβολὴν ἑτέρῳ κακοδαιμονίας οὐ λέλοιπεν. ὥσπερ οὖν Μέτελλος ᾤετο δεῖν Ῥωμαίους τοῖς θεοῖς χάριν ἔχειν, ὅτι Σκιπίων ἐν ἑτέρᾳ πόλει, τοιοῦτος ὢν, οὐκ ἐγεννήθη· οὕτως ἕκαστος εὐχέσθω, μάλιστα μὲν αὐτὸς εὐπραξίᾳ διαφέρειν, εἰ δὲ μή, τὸν ἀδελφὸν αὐτοῦ τὴν ζηλουμένην ἔχειν ὑπεροχὴν καὶ δύναμιν. οἱ δὲ πολλοὶ οὕτω πεφύκασιν ἀτυχεῖς πρὸς τὸ καλὸν, ὥστε φίλοις μὲν ἐνδόξοις ἀγάλλεσθαι, καὶ μέγα φρονεῖν, ἂν ξένους ἡγεμονικοὺς καὶ πλουσίους ἔχωσι, τὰς δὲ τῶν ἀδελφῶν λαμπρότητας αὑτῶν ἀμαυρώσεις νομίζειν· καὶ πατέρων μὲν εὐτυχίαις ἐπαίρεσθαι, καὶ στρατηγίαις προπάππων λεγομέναις, ὧν οὐδὲν ἀπέλαυσαν, οὐδὲ μετέσχον, ἀδελφῶν δὲ καὶ κληρονομίαις καὶ ἀρχαῖς καὶ γάμοις ἐνδόξοις ἀθυμεῖν καὶ ταπεινοῦσθαι. καίτοι μάλιστα μὲν ἔδει μηδὲ ἄλλῳ φθονεῖν, εἰ δὲ μή, τρέπειν ἔξω, καὶ πρὸς

ἑτέρους ἀποχετεύειν τὸ βάσκανον, ὥσπερ οἱ τὰς στάσεις θύραζε τοῖς πολεμίοις περιϊστῶντες.

*Πολλοὶ μὲν γὰρ ἐμοὶ Τρῶες κλειτοί τ' ἐπίκουροι·*
*Πολλοὶ δ' αὖ σοι Ἀχαιοὶ*

φθονεῖν πεφύκασι καὶ ζηλοτυπεῖν.

XV. Ἀδελφῷ δὲ χρὴ μὴ, καθάπερ πλάστιγγα, ῥέπειν ἐπὶ τοὐναντίον, ὑψουμένου ταπεινούμενον αὐτόν, ἀλλ' ὥσπερ τῶν ἀριθμῶν οἱ ἐλάττονες τοὺς μείζονας, πολλαπλασιάζοντες καὶ πολλαπλασιαζόμενοι, συναύξειν ἅμα καὶ συναύξεσθαι τοῖς ἀγαθοῖς. οὐδὲ γὰρ τῶν δακτύλων ἔλαττον ἔχει τοῦ γράφοντος, ἢ ψάλλοντος, ὁ μὴ δυνάμενος τοῦτο ποιεῖν μηδὲ πεφυκὼς, ἀλλὰ συγκινοῦνται καὶ συνεργοῦσιν ἅπαντες ἁμωσγέπως ἀλλήλοις, ὥσπερ ἐπίτηδες ἄνισοι γεγονότες, καὶ τὸ συλληπτικὸν ἐξ ἀντιθέσεως πρὸς τὸν μέγιστον καὶ ῥωμαλεώτατον ἔχοντες. οὕτω καὶ Κρατερὸς Ἀντιγόνου βασιλεύοντος ἀδελφὸς ὢν, καὶ Κασάνδρου Περίλαος, ἐπὶ τὸ στρατηγεῖν καὶ οἰκουρεῖν ἔλαττον αὐτούς· Ἀντίοχοι δὲ καὶ Σέλευκοι, καὶ πάλιν Γρυποὶ καὶ Κυζικηνοὶ τὰ δεύτερα λέγειν οὐ μαθόντες ἀδελφοῖς, ἀλλὰ πορφύρας καὶ διαδήματος ὀρεγόμενοι, πολλῶν μὲν αὐτοὺς κακῶν καὶ ἀλλήλους, πολλῶν δὲ τὴν Ἀσίαν ἐνέπλησαν. ἐπεὶ δὲ τοῖς φιλοτίμοις μάλιστα τῶν ἠθῶν ἐμφύονται φθόνοι καὶ ζηλοτυπίαι πρὸς τοὺς πλέον ἔχοντας ἐν δόξῃ καὶ τιμῇ χρησιμώτατόν ἐστι πρὸς τοῦτο τοῖς ἀδελφοῖς τὸ μὴ κτᾶσθαι μήτε τὰς τιμὰς, μήτε τὰς δυνάμεις, ἀπὸ τῶν αὐτῶν, ἀλλ' ἕτερον ἀφ' ἑτέρου. καὶ γὰρ τῶν θηρίων πόλεμός ἐστι πρὸς ἄλληλα τοῖς ἀπὸ τῶν αὐ-

τῶν τρεφομένοις· καὶ τῶν ἀθλητῶν οἱ πρὸς ἓν ἄθλημα κάμνοντες, ἀνταγωνιςαί· πύκται δὲ παγκρατιασταῖς φίλιοι, καὶ δολιχοδρόμοι παλαισταῖς εὐμενεῖς εἰσι, καὶ συναγωνιῶσι καὶ σπουδάζουσιν ὑπὲρ ἀλλήλων. διὸ καὶ τῶν Τυνδαριδῶν, πὺξ μὲν ὁ Πολυδεύκης ἐνίκα, δρόμῳ δὲ ὁ Κάστωρ. εὖ δὲ καὶ τὸν Τεῦκρον Ὅμηρος πεποίηκεν ἀπὸ τῆς τοξικῆς εὐδοκιμοῦντα, τοῦ ἀδελφοῦ πρωτεύοντος ἐν τοῖς ὁπλίταις,

Ὁ δέ μιν σάκεϊ κρύπτασκε φαεινῷ.

καὶ τῶν πολιτευομένων οἱ στρατηγοῦντες τοῖς δημαγωγοῦσιν οὐ πάνυ φθονοῦσιν, οὐδέ γε τῶν ῥητόρων οἱ δικολόγοι τοῖς σοφιστεύουσιν, οὐδὲ τῶν ἰατρῶν οἱ περὶ δίαιταν τοῖς χειρουργοῖς, ἀλλὰ καὶ συμπαραλαμβάνουσι καὶ συνεπιμαρτυροῦσι. τὸ δὲ ἀπὸ τῆς αὐτῆς τέχνης ἢ δυνάμεως ζητεῖν ἔνδοξον εἶναι καὶ περίβλεπτον, οὐδὲν ἐν φαύλοις διαφέρει, τοῦ μιᾶς ἐρῶντας ἀμφοτέρους βούλεσθαι πλέον ἔχειν, καὶ μᾶλλον εὐδοκιμεῖν τοῦ ἑτέρου τὸν ἕτερον. οἱ μὲν οὖν καθ' ἑτέρας ὁδοὺς βαδίζοντες οὐθὲν ἀλλήλους ὠφελοῦσιν· οἱ δὲ βίοις χρώμενοι διαφόροις, τόν τε φθόνον ἐκτρέπονται, καὶ συνεργοῦσιν ἀλλήλοις μᾶλλον, ὡς Δημοσθένης καὶ Χάρης, καὶ πάλιν Αἰσχίνης καὶ Εὔβουλος καὶ Ὑπερίδης καὶ Λεωσθένης, οἱ μὲν, λέγοντες ἐν τῷ δήμῳ καὶ γράφοντες, οἱ δὲ, στρατηγοῦντες καὶ πράττοντες. ὅθεν ἀπωτάτω δεῖ ταῖς ἐπιθυμίαις τρέπεσθαι καὶ ταῖς φιλοτιμίαις τῶν ἀδελφῶν, τοὺς ἀφθόνως δόξης καὶ δυνάμεως κοι-

γωνεῖν μὴ πεφυκότας, ὅπως εὐφραίνωσιν εὐημεροῦντες ἀλλήλους, ἀλλὰ μὴ λυπῶσι.

XVI. *Παρὰ πάντα δὲ ταῦτα φυλακτέον ἐστὶ κηδεστῶν, καὶ οἰκείων, καὶ γυναικῶν ἐστιν ὅτε, τῇ φιλοδοξίᾳ συνεπιτιθεμένων, λόγους πονηρούς. ὁ ἀδελφὸς ἄγει καὶ φέρει πάντα, καὶ θαυμάζεται καὶ θεραπεύεται· σοὶ δὲ οὐδεὶς πρόσεισιν, οὐδ' ἔχεις σεμνὸν οὐδέν. ἔχω μὲν οὖν, φαίη τις εὖ φρονῶν, ἀδελφὸν εὐδοκιμοῦντα, καὶ μέτεστί μοι τῆς ἐκείνου δυνάμεως τὸ πλεῖστον. ὁ μὲν γὰρ Σωκράτης ἔλεγε, βούλεσθαι Δαρεῖον ἔχειν μᾶλλον φίλον, ἢ τὸ δαρεικόν· ἀδελφῷ δὲ νοῦν ἔχοντι, καὶ πλούτου καὶ ἀρχῆς καὶ λογιότητος, οὐκ ἔλαττον ἀγαθόν ἐστιν ἄρχων ἀδελφὸς, ἢ πλουτῶν, ἢ λόγου δυνάμει προήκων εἰς δόξαν. ἀλλὰ ταύτας μὲν οὕτω μάλιστα τὰς ἀνωμαλίας παρηγορητέον· ἕτεραι δὲ εὐθὺς ἐγγίνονται διαφοραὶ περὶ τὰς ἡλικίας ἀπαιδεύτοις ἀδελφοῖς. ἐπιεικῶς γὰρ οἵ τε πρεσβύτεροι τῶν νεωτέρων ἄρχειν ἀξιοῦντες ἀεὶ καὶ προΐστασθαι, καὶ πλέον ἔχειν ἐν παντὶ δόξης καὶ δυνάμεως, βαρεῖς εἰσι καὶ ἀηδεῖς· οἵ τε νεώτεροι πάλιν, ἀφηνιάζοντες καὶ θρασυνόμενοι, καταφρονεῖν καὶ ὀλιγωρεῖν ἀσκοῦσιν. ἐκ δὲ τούτων, οἱ μὲν ὡς φθονούμενοι καὶ κολουόμενοι, φεύγουσι καὶ δυσχεραίνουσι τὰς νουθεσίας· οἱ δ' ἀεὶ τῆς ὑπεροχῆς γλιχόμενοι, φοβοῦνται τὴν ἐκείνων αὔξησιν ὡς αὑτῶν κατάλυσιν. ὥσπερ οὖν ἐπὶ τῆς χάριτος ἀξιοῦσι, μείζονα τοὺς λαμβάνοντας ἡγεῖσθαι, μικροτέραν δὲ τοὺς διδόντας· οὕτως ἄν τις τὸν χρόνον παραινῶν τῷ μὲν πρεσβυτέρῳ μὴ μέγα νομίζειν,*

τῷ δὲ νεωτέρῳ μὴ μικρὸν, ὑπεροψίας καὶ ἀμελείας καὶ τοῦ καταφρονεῖσθαι καὶ καταφρονεῖν ἀμφοτέρους ἀπαλλάξειν. ἐπεὶ δὲ τῷ μὲν πρεσβυτέρῳ τὸ κήδεσθαι καὶ καθηγεῖσθαι καὶ νουθετεῖν προσῆκόν ἐστι, τῷ δὲ νεωτέρῳ τὸ τιμᾷν καὶ ζηλοῦν καὶ ἀκολουθεῖν, ἡ μὲν ἐκείνου κηδεμονία τὸ ἑταιρικὸν μᾶλλον ἢ τὸ πατρικὸν ἐχέτω, καὶ τὸ πεῖθον ἢ τὸ ἐπιτάττον, καὶ τὸ χαῖρον ἐπὶ τοῖς κατορθώμασι καὶ κατευφημοῦν, τοῦ ψέγοντος ἂν ἁμάρτῃ καὶ κολούοντος, μὴ μόνον προθυμότερον, ἀλλὰ καὶ φιλανθρωπότερον· τῷ δὲ τοῦ νεωτέρου ζήλῳ, τὸ μιμούμενον ἐνέστω, μὴ τὸ ἁμιλλώμενον. θαυμάζοντος γὰρ ἡ μίμησις, ἡ δὲ ἅμιλλα φθονοῦντός ἐστι. διὸ τοὺς μὲν ἐξομοιοῦσθαι βουλομένους ἀγαπῶσι, τοὺς δ' ἐξισοῦσθαι, πιέζουσι καὶ χαλέπτουσιν. ἐν πολλαῖς δὲ τιμαῖς ἃς πρέπει παρὰ τῶν νέων ἀποδίδοσθαι τοῖς πρεσβυτέροις, τὸ πειθαρχεῖν εὐδοκιμεῖ μάλιστα, καὶ κατεργάζεται μετὰ αἰδοῦς, εὔνοιαν ἰσχυρὰν, καὶ χάριν ἀνθυπείκουσαν. ᾗ καὶ Κάτων τὸν Καιπίωνα πρεσβύτερον ὄντα θεραπεύων εὐθὺς ἐκ παίδων εὐπειθείᾳ καὶ πρᾳότητι καὶ σιωπῇ, τέλος οὕτως ἐπ' ἀνδράσιν ἐχειρώσατο καὶ τοσαύτης ἐνέπλησεν αἰδοῦς πρὸς ἑαυτὸν, ὡς μήτε πρᾶξαί τι, μήτε εἰπεῖν ἀγνοοῦντος ἐκείνου. μνημονεύεται γοῦν, ὅτι μαρτυρίας ποτὲ γραμματεῖον ἐπισφραγισαμένου τοῦ Καιπίωνος, ὁ Κάτων ὕστερος ἐπελθὼν, οὐκ ἠθέλησεν ἐπισφραγίσασθαι· καὶ ὁ Καιπίων ἀπαιτήσας τὸ γραμματεῖον ἀφεῖλε τὴν αὑτοῦ σφραγῖδα, πρὶν ἢ πυθέσθαι, τί παθὼν ὁ ἀδελφὸς οὐκ ἐπίστευσεν, ἀλλ'

ὑπείδετο τὴν μαρτυρίαν. φαίνεται δὲ πολλὴ καὶ πρὸς Ἐπίκουρον ἡ αἰδὼς τῶν ἀδελφῶν, δι' εὔνοιαν αὐτοῦ καὶ κηδεμονίαν, εἴς τε τὰ ἄλλα, καὶ φιλοσοφίαν τὴν ἐκείνου συνενθουσιώντων· καὶ γὰρ εἰ διήμαρτον δόξης εὐθὺς ἐκ παίδων πεπεισμένοι καὶ λέγοντες, ὡς οὐδεὶς γέγονεν Ἐπικούρου σοφώτερος, ἄξιόν ἐστι θαυμάζειν καὶ τοῦ διατιθέντος οὕτως, καὶ τῶν διατιθεμένων. οὐ μὴν ἀλλὰ καὶ τῶν νεωτέρων φιλοσόφων Ἀπολλώνιος ὁ περιπατητικὸς ἤλεγξε τὸν εἰπόντα δόξαν ἀκοινώνητον εἶναι, Σωτίωνα νεώτερον ἀδελφὸν αὐτοῦ ποιήσας ἐνδοξότερον. ἐμοὶ μὲν γὰρ ὅτι πολλῶν ἀξίων χάριτος παρὰ τῆς τύχης γεγονότων, ἡ Τίμωνος εὔνοια τοῦ ἀδελφοῦ πρὸς ἅπαντα τἄλλα γέγονε καὶ ἔστιν, οὐδεὶς ἀγνοεῖ τῶν ὁπωσοῦν ἐντετυχηκότων ἡμῖν, ἥκιστα δὲ οἱ συνήθεις ὑμεῖς.

XVII. Ἕτερα τοίνυν ταῖς παραλλήλοις καὶ σύνεγγυς ἡλικίαις τῶν ἀδελφῶν φυλακτέον ἐστὶ πάθη, μικρὰ μέν, συνεχῆ δὲ καὶ πολλά, καὶ πονηρὰν ποιοῦντα τοῦ λυπεῖν καὶ παροξύνειν ἑαυτοὺς ἐπὶ πᾶσι μελέτην, τελευτῶσαν εἰς ἀνήκεστα μίση καὶ κακοθυμίας. ἀρξάμενοι γὰρ ἐπὶ παιδιαῖς διαφέρεσθαι, περὶ τροφὰς ζώων καὶ ἀγῶνας, οἷον ὀρτύγων ἢ ἀλεκτρυόνων, εἶτα παίδων ἐν παλαίστραις, καὶ κυνῶν ἐν θήραις, καὶ ἵππων ἐν ἁμίλλαις, οὐκέτι κρατεῖν ἐν τοῖς μείζοσιν, οὐδὲ καταπαύειν τὸ φιλόνεικον δύνανται καὶ φιλότιμον. ὥσπερ Ἑλλήνων οἱ καθ' ἡμᾶς δυνατώτατοι περὶ σπουδὰς ὀρχηστῶν, εἶτα κιθαρῳδῶν διαστάντες, ἐκ τούτου τὰς ἐν Αἰδήψῳ κολυμβήθρας

καὶ παστάδας καὶ ἀνδρῶνας ἀντιπαραβάλλοντες ἀεὶ καὶ τοπομαχοῦντες, καὶ ἀποκόπτοντες ὀχετοὺς καὶ ἀποστρέφοντες, οὕτως ἐξηγριώθησαν καὶ διεφθάρησαν, ὥστε πάντων ἀφαιρεθέντες ὑπὸ τοῦ τυράννου, καὶ φυγάδες καὶ πένητες, καὶ (ὀλίγου δέω λέγειν) ἕτεροι τῶν πρότερον γενόμενοι, μόνῳ διέμειναν οἱ αὐτοὶ τῷ μισεῖν ἀλλήλους. ὅθεν οὐχ ἥκιστα δεῖ περὶ τὰ μικρὰ καὶ πρῶτα παραδυομένῃ τῇ πρὸς τοὺς ἀδελφοὺς φιλονεικίᾳ καὶ ζηλοτυπίᾳ διαμάχεσθαι, μελετῶντας ἀνθυπείκειν καὶ ἡττᾶσθαι, καὶ χαίρειν τῷ χαρίζεσθαι μᾶλλον αὐτοῖς, ἢ τῷ νικᾷν. οὐ γὰρ ἑτέραν οἱ παλαιοὶ Καδμείαν νίκην, ἀλλὰ τὴν περὶ Θήβας τῶν ἀδελφῶν, ὡς αἰσχίστην καὶ κακίστην, προσηγόρευσαν. τί οὖν; οὐχὶ πολλὰς τὰ πράγματα τοῖς ἐπιεικῶς ἔχειν δοκοῦσι καὶ πρᾴως, φέρει προφάσεις ἀντιλογιῶν καὶ διαφορῶν; καὶ μάλα· ἀλλὰ κἀκεῖ φυλακτέον, ὅπως τα πράγματα μάχηται καθ᾽ ἑαυτά, μηδὲν ἐκ φιλονεικίας μηδ᾽ ὀργῆς πάθος, οἷον ἄγκιστρον, προσθέντας, ἀλλ᾽ ὥσπερ ἐπὶ ζυγοῦ τοῦ δικαίου τὴν ῥοπὴν κοινῶς ἀποθεωροῦντας, καὶ τάχιστα ταῖς κρίσεσι καὶ ταῖς διαίταις τὴν ἀμφιλογίαν παραδιδόντας, ἀποκαθῆραι, πρὶν ἐνδῦσαν, ὥσπερ βαφὴν ἢ κηλῖδα, δευσοποιὸν γενέσθαι καὶ δυσέκπλυτον· εἶτα μιμεῖσθαι τοὺς Πυθαγορικούς, οἳ γένει μηθὲν προσήκοντες, ἀλλὰ κοινοῦ λόγου μετέχοντες, εἴποτε προαχθεῖεν εἰς λοιδορίας ὑπ᾽ ὀργῆς, πρὶν ἢ τὸν ἥλιον δῦναι, τὰς δεξιὰς ἐμβαλόντες ἀλλήλοις καὶ ἀσπασάμενοι διελύοντο. καθάπερ γὰρ ἐπὶ βουβῶνι πυρετοῦ γενομένου, δεινὸν οὐθέν ἐστιν, ἂν δὲ

παυσαμένου παραμένῃ, νόσος εἶναι δοκεῖ καὶ βαθυτέραν ἔχειν ἀρχήν· οὕτως ἀδελφῶν ἡ μετὰ τὸ πρᾶγμα παυομένη διαφορὰ, τοῦ πράγματός ἐστι, τῆς δ' ἐπιμενούσης πρόφασις ἦν τὸ πρᾶγμα μοχθηράν τε καὶ ὕπουλον αἰτίαν ἔχον.

XVIII. Ἄξιον δὲ πυθέσθαι βαρβάρων ἀδελφῶν διαδικασίαν, οὐ περὶ γηδίου μερίδος, οὐδ' ἐπ' ἀνδραπόδοις ἢ προβατίοις γενομένην, ἀλλὰ περὶ τῆς Περσῶν ἡγεμονίας. Δαρείου γὰρ ἀποθανόντος, οἱ μὲν ἠξίουν Ἀριαμένην βασιλεύειν, πρεσβύτατον ὄντα τῆς γενεᾶς, οἱ δὲ, Ξέρξην, Ἀτόσσης τε μητρὸς ὄντα τῆς Κύρου θυγατρὸς, ἔκ τε Δαρείου βασιλεύοντος ἤδη γεγεννημένον. Ἀριαμένης μὲν οὖν κατέβαινεν ἐκ Μήδων, οὐ πολεμικῶς, ἀλλ' ὡς ἐπὶ δίκην ἡσύχως. Ξέρξης δὲ παρὼν ἔπραττεν ἅπερ ἦν βασιλεῖ προσήκοντα· ἐλθόντος δὲ τοῦ ἀδελφοῦ, θεὶς τὸ διάδημα, καὶ καταβαλὼν τὴν τιάραν, ἣν φοροῦσιν ὀρθὴν οἱ βασιλεύοντες, ἀπήντησεν αὐτῷ, καὶ ἠσπάσατο, καὶ δῶρα πέμπων, ἐκέλευσεν εἰπεῖν τοὺς κομίζοντας· Τούτοις σε νῦν τιμᾷ Ξέρξης, ὁ ἀδελφός· ἂν δὲ βασιλεὺς κρίσει καὶ ψήφῳ Περσῶν ἀναγορευθῇ, δίδωσί σοι δευτέρῳ μεθ' ἑαυτὸν εἶναι. καὶ ὁ Ἀριαμένης· Ἐγὼ δὲ (ἔφη) τὰ μὲν δῶρα δέχομαι, βασιλείαν δὲ τὴν Περσῶν ἐμαυτῷ νομίζω προσήκειν· τιμὴν δὲ τὴν μετ' ἐμὲ τοῖς ἀδελφοῖς φυλάξω, Ξέρξῃ δὲ πρώτῳ τῶν ἀδελφῶν. ἐπεὶ δὲ ἡ κρίσις ἐνέστη, Πέρσαι μὲν Ἀρτάβανον, ἀδελφὸν ὄντα Δαρείου, δικαστὴν ἀπέφηναν, δόξαν αὐτοῖς, Ξέρξης δ' ἔφευγεν ἐπ' ἐκείνου κριθῆναι τῷ πλήθει πεποιθώς. Ἄτοσσα δὲ ἡ μήτηρ

ἐπέπληξεν αὐτῷ· Τί φεύγεις Ἀρτάβανον, ὦ παῖ, θεῖον ὄντα καὶ Περσῶν ἄριστον; τί δὲ οὕτως τὸν ἀγῶνα δέδοικας, ἐν ᾧ καλὰ καὶ τὰ δευτερεῖα, Περσῶν βασιλέως ἀδελφὸν κληθῆναι; πεισθέντος οὖν Ξέρξου καὶ γενομένων λόγων, Ἀρτάβανος μὲν ἀπεφήνατο Ξέρξῃ τὴν βασιλείαν προσήκειν· Ἀριαμένης δ' εὐθὺς ἀναπηδήσας προσεκύνησε τὸν ἀδελφὸν, καὶ λαβόμενος τῆς δεξιᾶς, εἰς τὸν θρόνον ἐκάθισε τὸν βασίλειον. ἐκ τούτου μέγιστος ἦν παρ' αὐτῷ, καὶ παρεῖχεν εὔνουν ἑαυτόν· ὥστε ἀριστεύων ἐν τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ, πεσεῖν ὑπὲρ τῆς ἐκείνου δόξης. τοῦτο μὲν οὖν ὥσπερ ἀρχέτυπον ἐκκείσθω καθαρὸν καὶ ἀμώμητον εὐμενείας καὶ μεγαλοφροσύνης. Ἀντιόχου δὲ τὴν μὲν φιλαρχίαν ψέξειεν ἄν τις, ὅτι δὲ οὐ παντάπασιν αὐτῇ τὸ φιλάδελφον ἐνηφανίσθη, θαυμάσειεν. ἐπολέμει γὰρ ὑπὲρ τῆς βασιλείας Σελεύκῳ νεώτερος ὢν ἀδελφὸς, καὶ τὴν μητέρα συλλαμβάνουσαν εἶχεν· ἀκμάζοντος δὲ τοῦ πολέμου, μάχην ὁ Σέλευκος Γαλάταις συνάψας, καὶ ἡττηθεὶς, οὐδαμοῦ φανερὸς ἦν, ἀλλ' ἔδοξε τεθνᾶναι, πάσης ὁμοῦ τι τῆς στρατιᾶς ὑπὸ τῶν βαρβάρων κατακοπείσης. πυθόμενος οὖν Ἀντίοχος, τὴν πορφύραν ἔθηκε, καὶ φαιὸν ἱμάτιον ἔλαβε, καὶ τὰ βασίλεια κλείσας, ἐπένθει τὸν ἀδελφόν· ὀλίγῳ δὲ ὕστερον ἀκούσας, ὅτι σώζεται καὶ δύναμιν αὖθις ἑτέραν ἀθροίζει, τοῖς τε θεοῖς ἔθυσε προελθὼν, καὶ ταῖς πόλεσιν ὧν ἦρχε θύειν καὶ στεφανηφορεῖν ἐπήγγειλεν. Ἀθηναῖοι δὲ τὸν περὶ τῆς ἔριδος τῶν θεῶν μῦθον ἀτόπως πλάσαντες, ἐπανόρθωμα τῆς ἀτοπίας οὐ φαῦ-

λον ἐνέμιξαν αὐτῷ· τὴν γὰρ δευτέραν ἐξαιροῦσιν ἀεὶ τοῦ βοηδρομιῶνος, ὡς ἐν ἐκείνῃ τῷ Ποσειδῶνι πρὸς τὴν Ἀθηνᾶν γενομένης τῆς διαφορᾶς. τί οὖν κωλύει καὶ ἡμᾶς ἐν διαφορᾷ ποτε πρὸς οἰκείους καὶ συγγενεῖς γενομένους, ἐν ἀμνηστίᾳ τὴν ἡμέραν ἐκείνην τίθεσθαι, καὶ μίαν τῶν ἀποφράδων νομίζειν· ἀλλὰ μὴ πολλῶν καὶ ἀγαθῶν ἐν αἷς συνετράφημεν καὶ συνεβιώσαμεν ἡμερῶν, διὰ μίαν ἐπιλανθάνεσθαι; ἢ γὰρ μάτην καὶ πρὸς οὐθὲν ἡ φύσις ἡμῖν ἔδωκε πρᾳότητα καὶ μετριοπαθείας ἔκγονον ἀνεξικακίαν· ἢ μάλιστα χρηστέον τούτοις πρὸς συγγενεῖς καὶ οἰκείους. οὐχ ἧττον δὲ τοῦ διδόναι συγγνώμην ἁμαρτοῦσι, τὸ αἰτεῖσθαι καὶ λαμβάνειν αὐτοὺς ἁμαρτόντας, εὔνοιαν ἐμφαίνει καὶ φιλοστοργίαν. ὅθεν ὀργιζομένων τε δεῖ μὴ ἀμελεῖν, καὶ παραιτουμένοις μὴ ἀντιτείνειν. ἀλλὰ καὶ φθάνειν πολλάκις ἁμαρτόντας αὐτοὺς τῇ παραιτήσει τὴν ὀργὴν, ἀδικηθέντας τε πάλιν αὖ τῇ συγγνώμῃ τὴν παραίτησιν. ὁ μὲν οὖν Σωκρατικὸς Εὐκλείδης ἐν ταῖς σχολαῖς περιβόητός ἐστιν, ὅτι φωνὴν ἀκούσας ἀγνώμονα καὶ θηριώδη τοῦ ἀδελφοῦ; πρὸς αὐτὸν εἰπόντος· Ἀπολοίμην, εἰ μή σε τιμωρησαίμην· Ἐγὼ δὲ, (εἶπεν) εἰ μή σε πείσαιμι παύσασθαι τῆς ὀργῆς, καὶ φιλεῖν ἡμᾶς ὡς πρότερον ἐφίλεις. τὸ δ' Εὐμενοῦς τοῦ βασιλέως ἔργον, οὐ λόγος, ὑπερβολὴν πρᾳότητος οὐδεμίαν ἀπολέλοιπε. Περσεὺς γὰρ ὁ τῶν Μακεδόνων βασιλεὺς ἐχθρὸς ὢν αὐτῷ, παρεσκεύασε τοὺς ἀποκτενοῦντας· οἱ δὲ περὶ Δελφοὺς ἐνήδρευον, αἰσθόμενοι βαδίζοντα πρὸς τὸν θεὸν ἀπὸ θαλάσσης. γε-

νόμενοι δ' ὄπισθεν αὐτοῦ, λίθους μεγάλους ἐμβάλλουσιν εἴς τε τὴν κεφαλὴν καὶ τὸν τράχηλον, ὑφ' ὧν σκοτωθεὶς καὶ πεσὼν, ἔδοξε τεθνάναι· καὶ περιῆλθε φήμη πανταχόσε, καὶ φίλοι τινὲς ἀφίκοντο καὶ θεράποντες εἰς Πέργαμον, αὐτάγγελοι τοῦ πάθους ἥκειν δοκοῦντες. Ἄτταλος οὖν ὁ πρεσβύτατος αὐτοῦ τῶν ἀδελφῶν, ἀνὴρ ἐπιεικὴς καὶ περὶ τὸν Εὐμενῆ πάντων ἄριστος, οὐ μόνον βασιλεὺς ἀνηγορεύθη διαδησάμενος, ἀλλὰ καὶ τὴν γυναῖκα τοῦ ἀδελφοῦ Στρατονίκην ἔγημε καὶ συνῆλθεν. ἐπεὶ δ' ἀπηγγέλη ζῶν ὁ Εὐμενὴς, καὶ προσήει, θεὶς τὸ διάδημα, καὶ λαβὼν (ὥσπερ εἰώθει) τὰ δοράτια μετὰ τῶν ἄλλων ἀπήντησεν αὐτῷ δορυφόρων. ὁ δὲ κἀκεῖνον εὐμενῶς ἐδεξιώσατο, καὶ τὴν βασίλισσαν ἠσπάσατο μετὰ τιμῆς καὶ φιλοφροσύνης· καὶ χρόνον οὐκ ὀλίγον ἐπιβιώσας, ἀμέμπτως καὶ ἀνυπόπτως ἀπέθανε, τῷ Ἀττάλῳ τήν τε βασιλείαν καὶ τὴν γυναῖκα παρεγγυήσας. τί οὖν ἐκεῖνος; ἀποθανόντος αὐτοῦ, παιδίον οὐδὲ ἓν ἐκ τῆς γυναικὸς ἀνελέσθαι ἠθέλησε, τεκούσης πολλάκις· ἀλλὰ τὸν ἐκείνου παῖδα θρέψας καὶ ἀνδρώσας, ἔτι ζῶν ἐπέθηκε τὸ διάδημα, καὶ βασιλέα προσηγόρευσεν. ἀλλὰ Καμβύσης ἐξ ἐνυπνίου φοβηθεὶς ὡς βασιλεύσοντα τῆς Ἀσίας τὸν ἀδελφὸν, οὐδεμίαν ἀπόδειξιν, οὐδ' ἔλεγχον ἀναμείνας, ἀπέκτεινεν. ὅθεν ἐξέπεσε τῆς Κύρου διαδοχῆς ἡ ἀρχὴ, τελευτήσαντος αὐτοῦ, καὶ τὸ Δαρείου γένος ἐβασίλευσεν, ἀνδρὸς οὐ μόνον ἀδελφοῖς, ἀλλὰ καὶ φίλοις ἐπισταμένου κοινωνεῖν πραγμάτων καὶ δυνάμεως.

XIX. Ἔτι τοίνυν ἐκεῖνο δεῖ μνημονεύειν ἐν ταῖς

πρὸς τοὺς ἀδελφοὺς διαφοραῖς καὶ φυλάττειν, τὸ τοῖς φίλοις αὐτῶν ὁμιλεῖν καὶ πλησιάζειν τότε μάλιστα· φεύγειν δὲ τοὺς ἐχθροὺς, καὶ μὴ προσδέχεσθαι, μιμούμενον αὐτὸ γοῦν τοῦτο τῶν Κρητῶν, οἱ πολλάκις στασιάζοντες ἀλλήλοις καὶ πολεμοῦντες, ἔξωθεν ἐπιόντων πολεμίων, διελύοντο καὶ συνίσταντο· καὶ τοῦτο ἦν ὁ καλούμενος ὑπ' αὐτῶν συγκρητισμός. ἔνιοι γὰρ ὥσπερ ὕδωρ τοῖς χαλῶσι καὶ διϊσταμένοις ὑποῤῥέοντες, ἀνατρέπουσιν οἰκειότητας καὶ φιλίας, μισοῦντες μὲν ἀμφοτέρους, ἐπιτιθέμενοι δὲ τῷ μᾶλλον ὑπ' ἀσθενείας ἐνδιδόντι. τῷ μὲν γὰρ ἐρῶντι συνερῶσιν οἱ νεαροὶ καὶ ἄκακοι τῶν φίλων, τῷ δ' ὀργιζομένῳ καὶ διαφερομένῳ πρὸς ἀδελφὸν, οἱ κακοηθέστατοι τῶν ἐχθρῶν συναγανακτεῖν καὶ συνοργίζεσθαι δοκοῦσι. καθάπερ οὖν ἡ Αἰσώπειος ἀλεκτορὶς πρὸς τὴν αἴλουρον, ὡς δὴ κατ' εὔνοιαν αὐτῆς νοσούσης, ὅπως ἔχει, πυνθανομένην· Καλῶς, (εἶπεν) ἂν σὺ ἀποστῇς· οὕτω πρὸς τοιοῦτον ἄνθρωπον, ἐμβάλλοντα λόγον ὑπὲρ τῆς διαφορᾶς, καὶ πυνθανόμενον καὶ ὑπορύττοντα τῶν ἀποῤῥήτων ἔνια, χρὴ λέγειν· Ἀλλ' ἔμοιγε πρᾶγμα πρὸς τὸν ἀδελφὸν οὐθέν ἐστιν, ἂν μήτε ἐγὼ τοῖς διαβάλλουσι προσέχω, μήτ' ἐκεῖνος. νυνὶ δ' οὐκ οἶδα, ὅπως ὀφθαλμιῶντες μὲν οἰόμεθα δεῖν ἀποστρέφειν ἐπὶ τὰ μὴ ποιοῦντα πληγὴν μηδὲ ἀντιτυπίαν χρώματα καὶ σώματα τὴν ὄψιν, ἐν δὲ μέμψεσι καὶ ὀργαῖς καὶ ὑπονοίαις πρὸς ἀδελφοὺς γενόμενοι, χαίρομεν καὶ προσαναχρωννύμεθα τοῖς ἐκταράττουσιν, ὅτε καλῶς εἶχε τοὺς μὲν ἐχθροὺς καὶ δυσμενεῖς ἀποδιδράσκειν καὶ λανθάνειν,

συνεῖναι δὲ καὶ συνδιημερεύειν μάλιστα κηδεσταῖς ἐκείνων καὶ οἰκείοις καὶ φίλοις, καὶ πρὸς γυναῖκας αὐτῶν εἰσιόντας, αἰτιᾶσθαι καὶ παῤῥησιάζεσθαι. καίτοι λίθον οὔ φασι χρῆναι μέσον ἀδελφοὺς λαμβάνειν ὁδὸν βαδίζοντας, ἄχθονται δὲ καὶ κυνὸς διεκδραμόντος, καὶ πολλὰ τοιαῦτα δεδίασιν, ὧν ὁμόνοιαν οὐδὲν ἀδελφῶν διέστησεν· ἀνθρώπους δὲ κυνικοὺς καὶ διαβόλους ἐν μέσῳ λαμβάνοντες αὑτῶν, καὶ περιπταίοντες, οὐ συνορῶσι.

XX. Διὸ, τοῦ λόγου τὸ συνεχὲς ὑπαγορεύοντος, εὖ μὲν εἶπε Θεόφραστος, ὡς, εἰ κοινὰ τὰ φίλων ἐςὶ, μάλιστα δεῖ κοινοὺς τῶν φίλων εἶναι τοὺς φίλους· οὐχ ἥκιστα δ' ἄν τις ἀδελφοῖς τοῦτο παραινέσειεν. αἱ γὰρ ἰδίᾳ καὶ χωρὶς ὁμιλίαι καὶ συνήθειαι πρὸς ἀλλήλους ἀποστρέφουσι καὶ ἀπάγουσιν ἀπ' ἀλλήλων· τῷ γὰρ φιλεῖν ἑτέρους, εὐθὺς ἕπεται τὸ χαίρειν ἑτέροις καὶ ζηλοῦν ἑτέρους, καὶ ἄγεσθαι ὑφ' ἑτέρων. ἠθοποιοῦσι γὰρ αἱ φιλίαι, καὶ μεῖζον οὐθέν ἐστι διαφορᾶς ἠθῶν σημεῖον, ἢ φίλων αἱρέσεις διαφερόντων. ὅθεν οὔτε τὸ συνεσθίειν ἀδελφῷ καὶ συμπίνειν, οὔτε τὸ συμπαίζειν καὶ συνδιημερεύειν, οὕτως συνεκτικόν ἐστιν ὁμονοίας, ὡς τὸ συμφιλεῖν καὶ συνεχθραίνειν, ἥδεσθαί τε τοῖς αὐτοῖς συνόντα, καὶ πάλιν βδελύττεσθαι καὶ φεύγειν. οὐδὲ γὰρ διαβολὰς αἱ κοιναὶ φιλίαι φέρουσιν, οὐδὲ συγκρούσεις· ἀλλὰ κἂν γένηταί τις ὀργὴ καὶ μέμψις, ἐκλύεται διὰ μέσου τῶν φίλων, ἐκδεχομένων καὶ διασκεδαννύντων, ἅνπερ ἀμφοτέροις οἰκείως ἔχωσι, καὶ πρὸς ἀμφοτέρους ὁμοῦ τῇ εὐνοίᾳ συννεύωσιν. ὡς γὰρ ὁ κασσί-

τερος ῥαγέντα τὸν χαλκὸν συναρμόττει καὶ συγκεράννυσι, τῷ ψαύειν ἑκατέρου πέρατος οἰκείως ὁμοπαθὴς γενόμενος, οὕτως δεῖ τὸν φίλον εὐάρμοστον ὄντα καὶ κοινὸν ἀμφοτέροις τοῖς ἀδελφοῖς προσκαταπυκνοῦν τὴν εὔνοιαν. οἱ δὲ ἄνισοι καὶ ἄμικτοι, καθάπερ ἐν διαγράμματι μουσικῷ φθόγγοι, διάζευξιν, οὐ συναφὴν, ποιοῦσιν. ἔστιν οὖν διαπορῆσαι πότερον ὀρθῶς ἢ τοὐναντίον ὁ Ἡσίοδος εἶπε·

*Μηδὲ κασιγνήτῳ ἶσον ποιεῖσθαι ἑταῖρον.*

ὁ μὲν γὰρ εὐγνώμων καὶ κοινὸς, (ὥσπερ εἴρηται) μᾶλλον ἐγκραθεὶς δι' ἀμφοτέρων, σύνδεσμος ἔσται τῆς φιλαδελφίας. ὁ δὲ Ἡσίοδος (ὡς ἔοικεν) ἐφοβήθη τοὺς πολλοὺς καὶ φαύλους διὰ τὸ δύσζηλον καὶ φίλαυτον. ὃ δὴ καλῶς ἔχει φυλαττομένους, κἂν εὔνοιαν ἴσην φίλῳ νέμηταί τις, ἀεὶ τὰ πρωτεῖα τῷ ἀδελφῷ φυλάττειν ἐν ἀρχαῖς καὶ πολιτείαις, ἔν τε κλήσεσι καὶ γνωρίσεσιν ἡγεμόνων, καὶ ὅσα τοῖς πολλοῖς ἐπιφανῆ καὶ πρὸς δόξαν ἐστὶ, τὸ προσῆκον ἀξίωμα τῇ φύσει καὶ γέρας ἀποδιδόντας. οὐ γὰρ οὕτω τῷ φίλῳ τὸ πλέον ἐν τούτοις σεμνὸν, ὡς ἀδελφῷ τοὔλαττον αἰσχρὸν γίνεται καὶ ἄδοξον. ἀλλὰ περὶ ταύτης μὲν ἑτέρωθι τῆς γνώμης γέγραπται τὰ δοκοῦντα διὰ πλειόνων. τὸ δὲ Μενάνδρειον ὀρθῶς ἔχον, ὡς

*Οὐδεὶς ἀγαπῶν αὐτὸς ἀμελεῖθ' ἡδέως,*

ὑπομιμνήσκει καὶ διδάσκει τῶν ἀδελφῶν ἐπιμελεῖσθαι, καὶ μὴ τῇ φύσει πιστεύοντας ὀλιγωρεῖν. καὶ γὰρ ἵππος τῇ φύσει φιλάνθρωπον, καὶ κύων φιλοδέσποτον, ἀλλὰ μὴ τυγχάνοντα θεραπείας μηδ' ἐπιμελείας, ἀπόστοργα γίνεται καὶ ἀλλότρια· καὶ τὸ

σῶμα τῆς ψυχῆς συγγενέστατόν ἐστιν, ἀμελούμενον δὲ καὶ παρορώμενον ὑπ' αὐτῆς, οὐκ ἐθέλει συνεργεῖν, ἀλλὰ λυμαίνεται καὶ προλείπει τὰς πράξεις.

XXI. Ἐπιμέλεια δὲ καλὴ μὲν αὐτοῖς τοῖς ἀδελφοῖς, ἔτι δὲ καλλίων πενθεροῖς καὶ γαμβροῖς τοῖς ἐκείνων, εὔνουν ἀεὶ παρέχειν εἰς ἅπαντα καὶ πρόθυμον ἑαυτόν, οἰκέτας τε φιλοδεσπότους ἀσπάζεσθαι καὶ φιλοφρονεῖσθαι, καὶ χάριν ἔχειν ἰατροῖς θεραπεύσασιν αὐτοὺς καὶ φίλοις πιστοῖς, καὶ προθύμως συνδιενεγκοῦσιν ἀποδημίαν, ἢ στρατείαν· γυναῖκα δ' ἀδελφοῦ γαμετήν, ὡς ἁπάντων ἱερῶν ἁγιώτατον προσορῶντα καὶ σεβόμενον, τιμᾶν διὰ τὸν ἄνδρα καὶ εὐφημεῖν, ἀμελουμένῃ δὲ συναγανακτεῖν, χαλεπαίνουσαν δὲ πραΰνειν· ἂν δ' ἁμάρτῃ τι τῶν μετρίων, συνδιαλλάττειν καὶ συμπαρακαλεῖν τὸν ἄνδρα· κἂν αὐτῷ τις ἰδίᾳ γένηται διαφορὰ πρὸς τὸν ἀδελφόν, αἰτιᾶσθαι παρ' ἐκείνῃ καὶ διαλύεσθαι τὴν μέμψιν· ἀγαμίαν δ' ἀδελφοῦ καὶ ἀπαιδίαν μάλιστα δυσχεραίνειν, καὶ παρακαλοῦντα καὶ λοιδοροῦντα, συνελαύνειν πανταχόθεν εἰς γάμον καὶ συνειργνύναι νομίμοις κηδεύμασι· κτησαμένου δὲ παῖδας, ἐμφανέστερον χρῆσθαι τῇ τε πρὸς αὐτὸν εὐνοίᾳ, καὶ τῇ πρὸς τὴν γυναῖκα τιμῇ· τοῖς δὲ παισὶν εὔνουν μὲν ὥσπερ ἰδίοις, ἤπιον δὲ μᾶλλον εἶναι καὶ μειλίχιον· ὅπως ἁμαρτάνοντες, οἷα νέοι, μὴ δραπετεύωσι, μηδὲ καταδύωνται, διὰ φόβον πατρός, ἢ μητρός, εἰς ὁμιλίας φαύλας καὶ ὀλιγώρους, ἀλλ' ἀποστροφὴν καὶ καταφυγὴν ἅμα νουθετοῦσαν εὐνοίᾳ καὶ παραιτουμένην ἔχωσιν· οὕτω καὶ Πλάτων ἀδελ-

φιδοῦν ὄντα Σπεύσιππον ἐκ πολλῆς ἀνέσεως καὶ ἀκολασίας ἐπέστρεψεν, οὐδὲν οὔτ᾽ εἰπὼν ἀνιαρὸν, οὔτε ποιήσας πρὸς αὐτὸν, ἀλλὰ φεύγοντι τοὺς γονεῖς ἐλέγχοντας αὐτὸν ἀεὶ καὶ λοιδοροῦντας, ἐνδιδοὺς ἑαυτὸν εὐμενῆ καὶ ἀμήνιτον, αἰδῶ τε πολλὴν ἐνειργάσατο, καὶ ζῆλον ἑαυτοῦ καὶ φιλοσοφίας· καίτοι πολλοὶ τῶν φίλων ἐνεκάλουν ὡς μὴ νουθετοῦντι τὸ μειράκιον· ὁ δὲ καὶ πάνυ νουθετεῖν ἔλεγε, τῷ βίῳ καὶ τῇ διαίτῃ τῆς πρὸς τὰ αἰσχρὰ τῶν καλῶν διαφορᾶς παρέχων κατανόησιν. Ἀλεύαν δὲ τὸν Θεσσαλὸν ὁ μὲν πατὴρ ἀγέρωχον ὄντα καὶ ὑβριστὴν ἐκόλουε καὶ χαλεπὸς ἦν, ὁ δὲ θεῖος ἀνελάμβανε καὶ προσήγετο· πεμπόντων δὲ τῶν Θεσσαλῶν φρυκτοὺς περὶ βασιλέως πρὸς τὸν θεὸν εἰς Δελφοὺς ἐνέβαλε κρύφα τοῦ πατρὸς ὁ θεῖος, ὑπὲρ τοῦ Ἀλεύα· καὶ τῆς Πυθίας ταῦτον ἀνελούσης, ὅ τε πατὴρ ἀπέφησεν ἐμβεβληκέναι τὸν φρυκτὸν ὑπὲρ αὐτοῦ, καὶ πᾶσιν ἐδόκει πλάνη τις ἐν ταῖς καταγραφαῖς τῶν ὀνομάτων γεγονέναι. διὸ καὶ πέμψαντες αὖθις ἐπανήροντο τὸν θεόν· ἡ δὲ Πυθία, καθάπερ ἐκβεβαιουμένη τὴν προτέραν ἀναγόρευσιν, εἶπε·

Τὸν Πυῤῥόν τοι φημὶ, τὸν Ἀρχεδίκη τέκε παῖδα.

καὶ τοῦτον τὸν τρόπον ὁ Ἀλεύας ὑπὸ τοῦ θεοῦ βασιλεὺς διὰ τὸν τοῦ πατρὸς ἀδελφὸν ἀποδειχθεὶς, αὐτός τε πολὺ πάντων ἐπρώτευσε τῶν πρὸ αὐτοῦ, καὶ τὸ ἔθνος εἰς δόξαν προήγαγε μεγάλην καὶ δύναμιν. ἀλλὰ μὴν εὐπραξίαις τε καὶ τιμαῖς καὶ ἀρχαῖς παίδων ἀδελφοῦ χαίροντα καὶ σεμνυνόμενον αὔξειν προσήκει καὶ συνεξορμᾶν πρὸς τὰ καλὰ, καὶ κατορ-

θοῦντας ἀφειδῶς ἐπαινεῖν· αὐτοῦ γὰρ υἱὸν ἐπαχθὲς ἴσως ἐγκωμιάζειν, ἀδελφοῦ δὲ, σεμνὸν, καὶ οὐ φίλαυτον, ἀλλὰ φιλόκαλον καὶ θεῖον ὡς ἀληθῶς. δοκεῖ γάρ μοι καὶ τοὔνομα καλῶς ὑφηγεῖσθαι πρὸς εὔνοιαν ἀδελφιδῶν καὶ ἀγάπησιν. δεῖ δὲ καὶ τὰ τῶν κρειττόνων ζηλοῦν. Ἡρακλῆς τε γὰρ δυεῖν δέοντας ἑβδομήκοντα γεννήσας παῖδας, οὐδενὸς ἧττον αὐτῶν τὸν ἀδελφιδοῦν ἠγάπησεν· ἀλλὰ καὶ νῦν πολλαχοῦ σύμβωμός ἐστιν Ἰόλαος αὐτῷ, καὶ συγκατεύχονται, παραστάτην Ἡρακλέους ὀνομάζοντες. Ἰφικλέους δὲ τοῦ ἀδελφοῦ πεσόντος ἐν τῇ περὶ Λακεδαίμονα μάχῃ, περίλυπος γενόμενος, πᾶσαν ἐξέλιπε Πελοπόννησον. ἡ δὲ Λευκοθέα, τῆς ἀδελφῆς ἀποθανούσης, ἔθρεψε τὸ βρέφος καὶ συνεξεθείασεν· ὅθεν αἱ Ῥωμαίων γυναῖκες ἐν ταῖς τῆς Λευκοθέας ἑορταῖς, ἣν Ματοῦταν ὀνομάζουσιν, οὐ τοὺς ἑαυτῶν παῖδας, ἀλλὰ τοὺς τῶν ἀδελφῶν ἐναγκαλίζονται καὶ τιμῶσιν.

# ΠΛΟΥΤΑΡΧΟΥ
## ΠΕΡΙ
## ΤΗΣ ΕΙΣ ΤΑ ΕΚΓΟΝΑ ΦΙΛΟΣΤΟΡΓΙΑΣ.

Ἔκκλητοι κρίσεις καὶ ξενικῶν δικαστηρίων ἀγωγαὶ τοῖς Ἕλλησι τὸ πρῶτον ἀπιστίᾳ τῇ πρὸς ἀλλήλους ἐπενοήθησαν, ἀλλοτρίας δικαιοσύνης, ὥςπερ ἑτέρου τινὸς τῶν ἀναγκαίων μὴ φυομένου παρ᾽ αὐτοῖς, δεηθεῖσιν. ἆρ᾽ οὖν καὶ οἱ φιλόσοφοι τῶν προβλημάτων ἔνια, διὰ τὰς πρὸς ἀλλήλους διαφορὰς, ἐπὶ τὴν τῶν ἀλόγων φύσιν ζώων, ὥςπερ ἀλλοδαπὴν πόλιν ἐκκαλοῦνται, καὶ τοῖς ἐκείνων πάθεσι καὶ ἤθεσιν, ὡς ἀνεντεύκτοις καὶ ἀδεκάστοις, ἐφιᾶσι τὴν κρίσιν; ἢ καὶ τοῦτο τῆς ἀνθρωπίνης κακίας ἔγκλημα κοινόν ἐστι, τὸ περὶ τῶν ἀναγκαιοτάτων καὶ μεγίστων ἀμφιδοξοῦντας ἡμᾶς, ζητεῖν ἐν ἵπποις καὶ κυσὶ καὶ ὄρνισι, πῶς γαμοῦμεν αὐτοὶ καὶ γεννῶμεν καὶ τεκνοτροφοῦμεν, ὡς μηδὲν ἐν ἑαυτοῖς δήλωμα τῆς φύσεως ὂν, καὶ τὰ τῶν θηρίων ἤθη καὶ πάθη προσαγορεῦσαι καὶ καταμαρτυρῆσαι τοῦ βίου ἡμῶν πολ-

λὴν τοῦ κατὰ φύσιν ἐκδιαίτησιν καὶ παράβασιν, εὐθὺς ἐν ἀρχῇ καὶ περὶ τὰ πρῶτα συγχεομένων καὶ ταραττομένων. ἄκρατον γὰρ ἐν ἐκείνοις ἡ φύσις καὶ ἀμιγὲς καὶ ἁπλοῦν φυλάττει τὸ ἴδιον· ἐν δ' ἀνθρώποις ὑπὸ τοῦ λόγου καὶ τῆς συνηθείας (ὃ τοὔλαιον ὑπὸ τῶν μυρεψῶν πέπονθε) πρὸς πολλὰ μιγνυμένη δόγματα καὶ κρίσεις ἐπιθέτους, ποικίλη γέγονε καὶ ἰδία, τὸ δὲ οἰκεῖον οὐ τετήρηκε. καὶ μὴ θαυμάζωμεν, εἰ τὰ ἄλογα ζῶα τῶν λογικῶν μᾶλλον ἕπεται τῇ φύσει· καὶ γὰρ τὰ φυτὰ τῶν ζώων, οἷς οὔτε φαντασίαν, οὔτε ὁρμὴν ἔδωκεν, ἑτέρων ὄρεξιν τοῦ κατὰ φύσιν ἀποσαλεύουσαν, ἀλλ' ὥσπερ ἐν δεσμῷ συνειργμένα μένει καὶ κεκράτηται, μίαν ἀεὶ πορείαν ἣν ἡ φύσις ἄγει πορευόμενα. τοῖς δὲ θηρίοις τὸ μὲν πραΰτροπον τοῦ λόγου καὶ περιττὸν καὶ φιλελεύθερον ἄγαν οὐκ ἔστιν, ἀλόγους δὲ ὁρμὰς καὶ ὀρέξεις ἔχοντα καὶ χρώμενα πλάναις καὶ περιδρομαῖς, πολλάκις οὐ μακρὰν, ἀλλ' ὡς ἐπ' ἀγκύρας τῆς φύσεως σαλεύει, καὶ καθάπερ ὁδὸν ὑφ' ἡνίᾳ καὶ χαλινῷ βαδίζοντα δείκνυσιν εὐθεῖαν. ὁ δὲ δεσπότης ἐν ἀνθρώπῳ καὶ αὐτοκρατὴς λόγος ἄλλας ἄλλοτε παρεκβάσεις καὶ καινοτομίας ἀνευρίσκων, οὐδὲν ἴχνος ἐμφανὲς οὐδὲ ἐναργὲς ἀπολέλοιπε τῆς φύσεως.

II. Ὅρα περὶ τοὺς γάμους ὅσον ἐστὶν ἐν τοῖς ζώοις τὸ κατὰ φύσιν. πρῶτον οὐκ ἀναμένει νόμους ἀγάμου καὶ ὀψιγάμου, καθάπερ οἱ Λυκούργου πολῖται καὶ Σόλωνος· οὐδὲ ἀτιμίας ἀτέκνων δέδοικεν· οὐδὲ τιμὰς διώκει τριπαιδίας, ὡς Ῥωμαίων πολλοὶ γαμοῦσι καὶ γεννῶσιν, οὐχ ἵνα κληρονόμους ἔχωσιν.

ἀλλ' ἵνα κληρονομεῖν δύνωνται. ἔπειτα μίγνυται τῷ θήλει τὸ ἄῤῥεν, οὐχ ἅπαντα χρόνον· ἡδονὴν γὰρ οὐκ ἔχει τέλος, ἀλλὰ γέννησιν καὶ τέκνωσιν· διὰ τοῦτο ἔτους ὥρᾳ, ἣ πνοάς τε γονίμους ἔχει καὶ πρόςφορον λοχευομένοις κρᾶσιν, ἦλθεν εἰς τὸ αὐτὸ τῷ ἄῤῥενι τὸ θῆλυ χειροήθες καὶ ποθεινόν, ἡδεῖᾳ μὲν ὀσμῇ χρωτός, ἰδίῳ δὲ κόσμῳ σώματος ἀγαλλόμενον, δρόσου καὶ βοτάνης ἀνάπλεων καθαρᾶς· αἰσθόμενον δέ, ὅτι κύει καὶ πεπλήρωται, κοσμίως ἄπεισι, καὶ προνοεῖ περὶ τὴν κύησιν καὶ σωτηρίαν τοῦ ἀποτεχθέντος. ἀξίως δὲ οὐκ ἔστιν εἰπεῖν τὰ δρώμενα, πλὴν ὅτι γίνεται ἕκαστον αὐτῶν ἐν τῷ φιλοστόργῳ, ταῖς προνοίαις, ταῖς καρτερίαις, ταῖς ἐγκρατείαις. ἀλλὰ τὴν μέλιτταν ἡμεῖς σοφὴν καλοῦμεν καὶ νομίζομεν, ξανθὸν μέλι μηδομέναν, κολακεύοντες τὸ ἡδὺ καὶ γαργαλίζον ἡμᾶς τῆς γλυκύτητος· τὴν δὲ τῶν ἄλλων περὶ τὰς λοχείας καὶ τὰς ἀνατροφὰς σοφίαν καὶ τέχνην παρορῶμεν. οἷον εὐθύς, ἡ ἀλκυὼν κύουσα τὴν νεοττείαν συντίθησι, συλλαμβάνουσα τὰς ἀκάνθας τῆς θαλαττίας βελόνης, καὶ ταύτας δι' ἀλλήλων ἐγκαταπλέκουσα καὶ συνείρουσα, τὸ μὲν σχῆμα, περιαγές, ὡς ἁλιευτικοῦ κύρτου, καὶ πρόμηκες ἀπεργάζεται· τῇ δὲ ἁρμονίᾳ καὶ πυκνότητι συμφράξασα τὰς ἀκάνθας ἀκριβῶς, ὑπέθηκε τῷ κλύσματι τοῦ κύματος, ὡς τυπτόμενον ἡσυχῇ καὶ πηγνύμενον τὸ πίλημα τῆς ἐπιφανείας στεγανὸν γένηται· γίγνεται δὲ σιδήρῳ καὶ λίθῳ δυσδιαίρετον. ὃ δ' ἐστὶ θαυμασιώτερον, οὕτω τὸ στόμα τῆς νεοττείας συμμέτρως πέπλασται πρὸς τὸ μέγεθος καὶ τὸ

μέτρον τῆς ἀλκυόνος, ὥστε μήτε μεῖζον ἄλλο, μήτε μικρότερον ἐνδύεσθαι ζῶον, ὡς δέ φασι, μηδὲ θάλατταν παραδέχεσθαι, μηδὲ τὰ ἐλάχιστα. μάλιστα δὲ οἱ γαλεοὶ ζωογονοῦσι μὲν ἐν ἑαυτοῖς, ἐκβαίνειν δὲ παρέχουσιν ἐκτὸς καὶ νέμεσθαι τοῖς σκυμνίοις, εἶτα πάλιν ἀναλαμβάνουσι καὶ περιπτύσσουσιν ἐγκοιμώμενα τοῖς σπλάγχνοις. ἡ δὲ ἄρκτος, ἀγριώτατον καὶ σκυθρωπότατον θηρίον, ἄμορφα καὶ ἄναρθρα τίκτει· τῇ δὲ γλώττῃ, καθάπερ ἐργαλείῳ, διατυποῦσα τοὺς ὑμένας, οὐ δοκεῖ γεννᾶν μόνον, ἀλλὰ καὶ δημιουργεῖν τὸ τέκνον. ὁ δὲ Ὁμηρικὸς λέων,

ὅν ῥά τε
Νήπια τέκνα ἄγοντα συναντήσονται ἐν ὕλῃ
Ἄνδρες ἐπακτῆρες, ὁ δέ τε σθένεϊ βλεμεαίνει,
Πᾶν δέ τ' ἐπισκύνιον κάτω ἕλκεται, ὄσσε καλύπτων,

ἆρα οὐχ ὅμοιός ἐστι διανοουμένῳ πρὸς τοὺς κυνηγοὺς σπένδεσθαι περὶ τῶν τέκνων; καθόλου γὰρ ἡ πρὸς τὰ ἔγγονα φιλοστοργία, καὶ τὰ τολμηρὰ δειλὰ ποιεῖ, καὶ φιλόπονα τὰ ῥάθυμα, καὶ φειδωλὰ τὰ γαστρίμαργα. καὶ ὥσπερ ἡ Ὁμηρικὴ ὄρνις προσφέρουσα τοῖς νεοττοῖς

Μάστακ', ἐπεί κε λάβῃσι, κακῶς δέ τε οἱ πέλει αὐτῇ.

τῷ γὰρ αὐτῆς τρέφει λιμῷ τὰ ἔγγονα, καὶ τὴν τροφὴν τῆς γαστρὸς ἀπτομένην ἀποκρατεῖ καὶ πιέζει τῷ στόματι, μὴ λάθῃ καταπιοῦσα·

Ὡς δὲ κύων ἀμαλῇσι περὶ σκυλάκεσσι βεβῶσα
Ἄνδρ' ἀγνοιήσασ' ὑλάει, μέμονέν τε μάχεσθαι,

τὸν περὶ τῶν τέκνων φόβον, ὡς δεύτερον προσλαβοῦσα θυμόν. αἱ δὲ πέρδικες ὅταν διώκωνται μετὰ τῶν τέκνων, ἐκεῖνα μὲν ἐῶσι προπέτεσθαι καὶ φεύγειν, αὐταῖς δὲ μηχανώμεναι προσέχειν τοὺς θηρεύοντας ἐγγὺς κυλινδούμεναι καὶ καταλαμβανόμεναι, μικρὸν ὑπεκθέουσιν, εἶτα πάλιν ἵστανται καὶ παρέχουσιν ἐν ἐφικτῷ τῆς ἐλπίδος ἑαυτὰς, ἄχρις ἂν οὕτω προκινδυνεύουσαι τῶν νεοττῶν τῆς ἀσφαλείας, προαγάγωνται πόῤῥω τοὺς διώκοντας. τὰς δὲ ἀλεκτορίδας ἐν τοῖς ὄμμασι καθ᾽ ἡμέραν ἔχομεν, ὃν τρόπον τὰ νεοττία περιέπουσι, τοῖς μὲν ἐνδῦναι χαλῶσαι τὰς πτέρυγας, τὰ δὲ ἐπιβαίνοντα τῶν νώτων, καὶ προσέρποντα πανταχόθεν ἀναδεχόμεναι, μετὰ τοῦ γεγηθός τι καὶ προςφιλὲς ἐπιφθέγγεσθαι· κύνας δὲ καὶ δράκοντας, ἂν περὶ αὐτῶν φοβηθῶσι, φεύγουσιν· ἂν δὲ περὶ τῶν τέκνων, ἀμύνονται καὶ διαμάχονται παρὰ δύναμιν. εἶτα ταῦτα οἰόμεθα πάθη τούτοις ἐνειργάσθαι τὴν φύσιν, ἀλεκτορίδων ἐπιγονῆς καὶ κυνῶν καὶ ἄρκτων προνοοῦσαν, ἀλλ᾽ οὐχ ἡμᾶς δυσωποῦσαν καὶ τιτρώσκουσαν; ἐπιλογιζομένους, ὅτι ταῦτα παραδείγματα τοῖς ἑπομένοις, τοῖς δ᾽ ἀναλγήτοις ὀνείδη περίεστι τῆς ἀπαθείας, δι᾽ ὧν κατηγοροῦσι τῆς ἀνθρωπίνης φύσεως μόνης, μὴ προῖκα τὸ στέργειν ἐχούσης, μηδὲ ἐπισταμένης φιλεῖν ἄνευ χρείας. θαυμάζεται γὰρ ἐν τοῖς θεάτροις ὁ εἰπών·

Μισθοῦ γὰρ ἀνθρώπων τις ἄνθρωπον φιλεῖ·

κατ᾽ Ἐπίκουρον, ὁ πατὴρ τὸν υἱὸν, ἡ μήτηρ τὸ τέκνον, οἱ παῖδες τοὺς τεκόντας. ἀλλὰ εἰ λόγου γένοιτο

τοῖς θηρίοις σύνεσις, καὶ τοῦτό τις εἰς κοινὸν θέατρον συναγαγὼν ἵππους καὶ βόας καὶ κύνας καὶ ὄρνιθας, ἀναφθέγξαιτο μεταγράψας, ὡς οὔτε κύνες ἐπὶ μισθῷ σκύλακας φιλοῦσιν, οὔτε ἵπποι πώλους, οὔτε ὄρνιθες νεοττοὺς, ἀλλὰ προῖκα καὶ φυσικῶς, ἐπιγνωσθήσεται τοῖς ἁπάντων πάθεσιν ὡς εὖ καὶ ἀληθῶς λεγόμενον. αἰσχρὸν γὰρ, ὦ Ζεῦ, τὰς θηρίων γενέσεις καὶ λοχείας καὶ ὠδῖνας καὶ τεκνοτροφίας φύσιν εἶναι καὶ χάριν, τὰς δὲ ἀνθρώπων, δάνεια καὶ μισθοὺς καὶ ἀῤῥαβῶνας ἐπὶ χρείαις διδομένους.

III. Ἀλλ' οὔτε ἀληθὴς ὁ λόγος, οὔτ' ἄξιος ἀκούειν. ἡ γὰρ φύσις, ὥσπερ ἐν φυτοῖς ἀγρίοις, οἷον οἰνάνθαις, ἐρινεοῖς, κοτίνοις, ἀρχὰς ἀπέπτους καὶ ἀτελεῖς ἡμέρων καρπῶν ἐμφύει· οὕτω τοῖς μὲν ἀλόγοις τὸ πρὸς τὰ ἔγγονα φιλόστοργον, ἀτελὲς καὶ οὐ διαρκὲς πρὸς δικαιοσύνην, οὐδὲ τῆς χρείας προσωτέρω προερχόμενον ἔδωκεν· ἄνθρωπον δὲ, λογικὸν καὶ πολιτικὸν ζῶον, ἐπὶ δίκην καὶ νόμον εἰσάγουσα καὶ θεῶν τιμὰς, καὶ πόλεων ἱδρύσεις καὶ φιλοφροσύνην, γενναῖα καὶ καλὰ καὶ φερέκαρπα τούτων σπέρματα παρέσχε τὴν πρὸς τὰ ἔγγονα χάριν καὶ ἀγάπησιν, ἀκολουθοῦσα ταῖς πρώταις ἀρχαῖς· αὗται δὲ ἦσαν ἐν ταῖς τῶν σωμάτων κατασκευαῖς. πανταχοῦ μὲν γὰρ ἡ φύσις ἀκριβὴς καὶ φιλότεχνος καὶ ἀνελλιπὴς καὶ ἀπερίτμητος, οὐδὲν (ὡς ἔφησεν Ἐρασίστρατος) ἔχουσα ῥωπικὸν, τὰ δὲ περὶ τὴν γένεσιν ἀξίως οὐκ ἔστιν εἰπεῖν, οὐδὲ εὐπρεπὲς ἴσως λίαν ἀκριβῶς τῶν ἀποῤῥήτων ἐφάπτεσθαι τοῖς ὀνόμασι καὶ τοῖς ῥήμασιν, ἀλλ' ἀποκειμένων καὶ κεκρυμμένων ἐπινοεῖν

είη πρὸς τὸ γεννᾷν καὶ λοχεύεσθαι τῶν μορίων ἐκείνων εὐφυΐαν. ἀρκεῖ δὲ ἡ τοῦ γάλακτος ἐργασία καὶ οἰκονομία τὴν πρόνοιαν αὐτῆς ἐμφῆναι καὶ ἐπιμέλειαν. τοῦ γὰρ αἵματος ὅσον περίττωμα τῆς χρείας ἐν ταῖς γυναιξὶ δι' ἀμβλύτητα καὶ μικρότητα τοῦ πνεύματος ἐπιπολάζον ἐμπλανᾶται καὶ βαρύνει, τὸν μὲν ἄλλον χρόνον εἴθισται καὶ μεμελέτηκεν ἐμμήνοις ἡμερῶν περιόδοις, ὀχετοὺς καὶ πόρους αὐτῷ τῆς φύσεως ἀναστομούσης, ἀποχεόμενον, τὸ μὲν ἄλλο σῶμα κουφίζειν καὶ καθαίρειν, τὴν δὲ ὑστέραν οἷον ἀρότρῳ καὶ σπόρῳ γῆν ἐν φυτοῖς ὀργῶσαν ἐν καιρῷ παρέχειν. ὅταν δὲ τὴν γονὴν ἀναλάβῃ προσπεσοῦσα ἡ ὑστέρα, καὶ περιστείλῃ ῥιζώσεως γενομένης· ὁ γὰρ ὀμφαλὸς πρῶτον ἐν μήτρῃσιν (ὥς φησι Δημόκριτος) ἀγκυρηβόλιον σάλου καὶ πλάνης ἐμφύεται, πεῖσμα καὶ κλῆμα τῷ γεννωμένῳ καρπῷ καὶ μέλλοντι· τοὺς μὲν ἐμμήνους καὶ καθαρσίους ἔκλεισεν ὀχετοὺς ἡ φύσις, τοῦ δὲ αἵματος ἀντιλαμβανομένη φερομένου, τροφῇ χρῆται καὶ κατάρδει τὸ βρέφος ἤδη συνιστάμενον καὶ διαπλαττόμενον· ἄχρις οὗ τοὺς προσήκοντας ἀριθμοὺς τῇ ἐντὸς αὐξήσει κυηθὲν, ἑτέρας ἀνατροφῆς καὶ χώρας δέηται. τότε οὖν τὸ αἷμα παντὸς ἐμμελέστερον φυτουργοῦ καὶ ὀχετηγοῦ πρὸς ἑτέραν ἀφ' ἑτέρας ἐκτρέπουσα, καὶ μεταλαμβάνουσα χρείαν, ἔχει παρεσκευασμένας οἷον ἐγγείους τινὰς κρήνας νάματος ἐπιῤῥέοντος, οὐκ ἀργῶς οὐδὲ ἀπαθῶς ὑποδεχομένας, ἀλλὰ καὶ πνεύματος ἠπίῳ θερμότητι καὶ μαλακῇ θηλύτητι, ἐκπέψαι καὶ λεᾶναι καὶ μεταβαλεῖν δυναμένας· τοιαύτην γὰρ ὁ μαστὸς

ἔχει ἐντὸς διάθεσιν καὶ κρᾶσιν. ἐκροαὶ δὲ τοῦ γάλακτος οὐκ εἰσὶν, οὐδὲ κρουνοὶ μεθιέντες ἀθρόως, εἰς δὲ σάρκα πιδακώδη καὶ πόροις ἀτρέμα λεπτοῖς διηθοῦσαν ἀπολῆγον, εὐμενὲς τῷ τοῦ νηπίου στόματι καὶ προσφιλὲς ψαῦσαι καὶ περιλαβεῖν ἐνδίδωσι ταμεῖον. ἀλλὰ τούτων γε τῶν τοσούτων ἐπὶ τὴν γένεσιν ἐργαλείων, καὶ τοιούτων οἰκονομιῶν, καὶ φιλοτιμίας, καὶ προνοίας, οὐδὲν ἦν ὄφελος, εἰ μὴ τὸ φιλόστοργον ἡ φύσις καὶ κηδεμονικὸν ἐνειργάσατο ταῖς τεκούσαις.

Οὐ μὲν γάρ τι πού ἐστιν ὀϊζυρώτερον ἀνδρὸς,
Πάντων ὅσσα τε γαῖαν ἐπιπνείει τε καὶ ἕρπει·

τοῦτο οὐ ψεύδεται λέγων ἐπὶ νηπίου καὶ ἀρτιγενοῦς. οὐδὲν γάρ ἐστιν οὕτως ἀτελὲς, οὐδὲ ἄπορον, οὐδὲ γυμνὸν, οὐδὲ ἄμορφον, οὐδὲ μιαρὸν, ὡς ἄνθρωπος ἐν γοναῖς ὁρώμενος· ᾧ μόνῳ σχεδὸν οὐδὲ καθαρὰν ἔδωκεν εἰς φῶς ὁδὸν ἡ φύσις, ἀλλ' αἵματι πεφυρμένος, καὶ λύθρου περίπλεως, καὶ φονευομένῳ μᾶλλον ἢ γεννωμένῳ ἐοικὼς, οὐθενός ἐστιν ἅψασθαι καὶ ἀνελέσθαι καὶ ἀσπάσασθαι καὶ περιλαβεῖν, ἢ τοῦ φύσει φιλοῦντος. διὸ τῶν μὲν ἄλλων ζώων ὑπὸ τὴν γαστέρα τὰ οὔθατα χαλᾷ τοὺς μαστοὺς, ταῖς δὲ γυναιξὶν ἄνω γεγόνασιν περὶ τὸ στέρνον ἐν ἐφικτῷ τοῦ φιλῆσαι καὶ περιπτύξαι καὶ κατασπάσασθαι τὸ νήπιον· ὡς τοῦ τεκεῖν καὶ θρέψαι τέλος οὐ χρείαν, ἀλλὰ φιλίαν ἔχοντος.

IV. Ἐπὶ τοὺς παλαιοὺς ἀνάγαγε τὸν λόγον, ὧν ταῖς μὲν τεκεῖν πρώταις, τοῖς δ' ἰδεῖν συνέβη τικτόμενον βρέφος. οὔτε νόμος ἦν ἐκείνοις τεκνοτροφεῖν

προστάττων, οὔτε προσδοκίᾳ χάριτος ἢ τροφείων ἐπὶ νέοις δανειζομένων. χαλεπὰς δὲ μᾶλλον εἴποιμ' ἂν εἶναι καὶ μνησικάκους τὰς τεκούσας τοῖς βρέφεσι, κινδύνων τε μεγάλων καὶ πόνων αὐταῖς γινομένων.

Ὡς δ' ὅταν ὠδίνουσαν ἔχῃ βέλος ὀξὺ γυναῖκα
Δριμὺ, τό τε προϊᾶσι μογοστόκοι εἰλείθυιαι,
Ἥρης θυγατέρες, πικρὰς ὠδῖνας ἔχουσαι.

ταῦτα οὐχ Ὅμηρον αἱ γυναῖκες, ἀλλ' Ὁμηρίδα γράψαι λέγουσιν, τεκοῦσαν ἢ τίκτουσαν ἔτι, καὶ τὸ μῖγμα τῆς ἀλγηδόνος ὁμοῦ πικρὸν καὶ ὀξὺ γινόμενον ἐν τοῖς σπλάγχνοις ἔχουσαν. ἀλλὰ τὸ φύσει φιλόστοργον ἔκαμπτε καὶ ἦγεν· ἔτι θερμὴ καὶ διαλγὴς καὶ κραδαινομένη τοῖς πόνοις, οὐχ ὑπερέβη τὸ νήπιον οὐδὲ ἔφυγεν, ἀλλ' ἐπεστράφη καὶ προσεμειδίασε, καὶ ἀνείλετο καὶ ἠσπάσατο· μηδὲν ἡδὺ καρπουμένη, μηδὲ χρήσιμον, ἀλλ' ἐπιπόνως καὶ ταλαιπώρως ἀναδεχομένη

— τῶν σπαργάνων, ἐρειπίοις
Θάλπουσα καὶ ψύχουσα, καὶ πόνῳ πόνον·
Ἐκ νυκτὸς ἀλλάσσουσα τὸν καθ' ἡμέραν.

τίνων ταῦτα μισθῶν ἢ χρειῶν ἐκείνοις; ἀλλ' οὐδὲ τοῖς νῦν· αἱ γὰρ ἐλπίδες ἄδηλοι καὶ μακραί. ἄμπελον ἰσημερίας ἐαρινῆς σκάψας, μετοπωρινῆς ἐτρύγησε· πυρὸν ἔσπειρε δυομένης πλειάδος, εἶτα ἀνατελλούσης θερίζει· βόες καὶ ἵπποι καὶ ὄρνιθες ἕτοιμα τίκτουσιν ἐπὶ τὰς χρείας· ἀνθρώπου δὲ ἡ μὲν ἐκτροφὴ πολύπονος, ἡ δὲ αὔξησις βραδεῖα· τῆς δὲ ἀρετῆς μακρὰν οὔσης, προαποθνήσκουσιν οἱ πλεῖ-

*στοι πατέρες. οὐκ ἐπεῖδε τὴν Σαλαμῖνα Νεοκλῆς τὴν Θεμιστοκλέους, οὐδὲ τὸν Εὐρυμέδοντα Μιλτιάδης τὸν Κίμωνος, οὐδὲ ἤκουσε Περικλέους Ξάνθιππος δημηγοροῦντος, οὐδὲ Ἀρίστων Πλάτωνος φιλοσοφοῦντος, οὐδὲ Εὐριπίδου καὶ Σοφοκλέους νίκας οἱ πατέρες ἔγνωσαν· ψελλιζόντων καὶ συλλαβιζόντων ἠκροῶντο, καὶ κώμους καὶ πότους καὶ ἔρωτας αὐτῶν οἱ ἄνθρωποι πλημμελούντων ἐπεῖδον· ὥστε ἐπαινεῖσθαι καὶ μνημονεύεσθαι τοῦ Εὐήνου τοῦτο μόνον, ὡς ἐπέγραψεν·*

*Ἢ δέος, ἢ λύπη παῖς πατρὶ πάντα χρόνον·*

*ἀλλ' ὅμως οὐ παύονται παῖδας τρέφοντες, μάλιστα δὲ οἱ παίδων ἥκιστα δεόμενοι. γελοῖον γάρ, εἴ τις οἴεται τοὺς πλουσίους θύειν καὶ χαίρειν γενομένων αὐτοῖς τέκνων, ὅτι τοὺς θρέψοντας ἕξουσι καὶ τοὺς θάψοντας. εἰ μὴ νὴ Δία κληρονόμων ἀπορίᾳ παῖδας τρέφουσιν. οὐ γάρ ἔστιν εὑρεῖν οὐδ' ἐπιτυχεῖν τοῦ τἀλλότρια βουλομένου λαμβάνειν. Ψάμμος, ἢ κόνις, ἢ πτερὰ ποικιλοθρόων οἰωνῶν τόσσον οὐκ ἔχει ἀριθμόν, ὅσος ἐστὶν ὁ τῶν κληρονομούντων.*

*Δαναὸς ὁ πεντήκοντα θυγατέρων πατήρ·*

*εἰ δὲ ἄτεκνος ἦν, πλείονας ἂν εἶχε κληρονομοῦντας, καὶ οὐχ ὁμοίως. οἱ μὲν γὰρ παῖδες χάριν οὐδεμίαν ἔχουσιν, οὐδὲ ἕνεκα τούτου θεραπεύουσιν, οὐδὲ τιμῶσιν, ὡς ὀφείλημα τὸν κλῆρον ἐκδεχόμενοι. τῶν δὲ ἀλλοτρίων περὶ τὸν ἄτεκνον φωνὰς ἀκούεις ταῖς κωμικαῖς ἐκείναις ὁμοίας,*

*Ὦ δῆμε, λοῦσαι πρῶτον, ἐκδικάσας μίαν,*
*Ἔνθου, ῥόφησον ἔντραγ'· ἔχε τριώβολον.*

τὸ δὲ ὑπὸ τοῦ Εὐριπίδου λεγόμενον·

Τὰ χρήματ᾿ ἀνθρώποισιν εὑρίσκειν φίλους,
Δύναμίν τε πλείστην τῶν ἐν ἀνθρώποις ἔχειν,

οὐχ ἁπλῶς ἀληθὲς, ἀλλ᾿ ἐπὶ τῶν ἀτέκνων· τούτους οἱ πλούσιοι δειπνίζουσιν, οἱ ἡγεμόνες θεραπεύουσιν, οἱ ῥήτορες μόνοις τούτοις προῖκα συνηγοροῦσιν.

Ἰσχυρὸν ἐστι πλούσιος ἀγνοούμενον
Ἔχων κληρονόμον.

πολλοὺς γοῦν πολυφίλους καὶ πολυτιμήτους ὄντας, ἓν παιδίον γεννώμενον ἀφίλους καὶ ἀδυνάτους ἐποίησεν· ὅθεν οὐδὲ πρὸς δύναμιν οὐθέν ἐστιν ὠφέλιμον ἀπὸ τῶν τέκνων, ἀλλὰ τῆς φύσεως τὸ πᾶν κράτος, οὐχ ἧττον ἐν ἀνθρώποις ἢ θηρίοις.

V. Ἐξαμαυροῦται γὰρ καὶ ταῦτα καὶ πολλὰ τῶν ἄλλων ὑπὸ τῆς κακίας, ὥσπερ λόχμης ἡμέροις σπέρμασι παραβλαστανούσης. ἢ μηδὲ ἑαυτὸν φύσει στέργειν τὸν ἄνθρωπον λέγομεν, ὅτι πολλοὶ σφάττουσιν ἑαυτοὺς καὶ κατακρημνίζουσιν· ὁ δὲ Οἰδίπους

Ἤρασσ᾿ ἐπαίρων βλέφαρα· φοίνιαι δ᾿ ὁμοῦ —

Ἡγησίας διαλεγόμενος πολλοὺς ἐποίησεν ἀποκαρτερῆσαι τῶν ἀκροωμένων·

Πολλαὶ μορφαὶ τῶν δαιμονίων·

ταῦτα δέ ἐστιν, ὥσπερ ἐκεῖνα, νοσήματα καὶ πάθη ψυχῆς τοῦ κατὰ φύσιν ἐξιστάντα τὸν ἄνθρωπον, ὡς αὐτοὶ καταμαρτυροῦσιν ἑαυτῶν· ἂν γὰρ ὗς τεκοῦσα δελφάκιον, ἢ κύων διασπαράξῃ σκυλάκιον, ἀθυμοῦσι καὶ ταράττονται, καὶ θεοῖς ἀποτρόπαια θύουσι, καὶ τέρας νομίζουσιν, ὡς πᾶσι κατὰ φύσιν στέργειν τὰ τικτόμενα καὶ τρέφειν, οὐκ ἀναιρεῖν, προσῆκον·

οὐ μὴν ἀλλὰ ὥσπερ ἐν τοῖς μετάλλοις πολλῇ συμπεφυρμένον γῇ καὶ κατακεχωσμένον, ὅμως διαστίλβει τὸ χρυσίον, οὕτως ἡ φύσις ἐν αὐτοῖς τοῖς ἡμαρτημένοις ἤθεσι καὶ πάθεσιν ἐκφαίνει τὸ πρὸς τὰ ἔγγονα φιλόστοργον. οἱ μὲν γὰρ πένητες οὐ τρέφουσι τέκνα, φοβούμενοι μὴ χεῖρον ἢ προσήκει τραφέντα δουλοπρεπῆ καὶ ἀπαίδευτα, καὶ τῶν καλῶν πάντων ἐνδεᾶ γένηται· τὴν γὰρ πενίαν ἔσχατον ἡγούμενοι κακὸν, οὐχ ὑπομένουσι μεταδοῦναι τέκνοις ὥσπερ τινὸς χαλεποῦ καὶ μεγάλου νοσήματος.

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΕΙ ΑΥΤΑΡΚΗΣ Η ΚΑΚΙΑ ΠΡΟΣ ΚΑΚΟΔΑΙΜΟΝΙΑΝ.

— — Υπομένει τὸ σῶμα πεπραμένον τῆς φερνῆς ἔχων, ὡς Εὐριπίδης φησὶν, βραχέα δεδήλωται καὶ ἀβέβαια· τῷ δὲ οὐ πολλῆς διὰ τέφρας, ἀλλὰ πυρκαϊᾶς τινος βασιλικῆς πορευομένῳ καὶ περιφλεγομένῳ, ἄσθματος καὶ φόβου μεστῷ, καὶ ἱδρῶτος διαποντίου, πλοῦτόν τινα προσθεῖσα Ταντάλειον ἀπολαῦσαι δι' ἀσχολίαν οὐ δυναμένῳ. ὁ μὲν γὰρ Σικυώνιος ἐκεῖνος ἱπποτρόφος εὖ φρονῶν, ἔδωκε τῷ

βασιλεῖ τῶν Ἀχαιῶν Θήλειαν ἵππον δρομάδα δῶρον,

Ἵνα μὴ οἱ ἕποιθ' ὑπὸ Ἴλιον ἠνεμόεσσαν,

ἀλλὰ τέρποιτο μένων, εἰς βαθεῖαν εὐπορίαν καὶ σχολὴν ἄλυπον ἀνακλίνας ἑαυτόν. οἱ δὲ νῦν, ἄλυποι καὶ πρακτικοὶ δοκοῦντες εἶναι, μηδενὸς καλοῦντος, ὠθοῦνται δι' αὐτῶν ἐπὶ τράχηλον εἰς αὐλὰς καὶ προπομπὰς καὶ θυραυλίας ἐπιπόνους, ἵνα ἵππου τινὸς, ἢ πόρπης, ἢ τοιαύτης τινὸς εὐημερίας τύχωσι.

Τοῦ δὲ καὶ ἀμφιδρυφὴς ἄλοχος Φυλάκῃ ἐλέλειπτο,
Καὶ δόμος ἡμιτελής.

σύρεται δὲ καὶ πλανᾶται τριβόμενος ἐν τισιν ἐλπίζων καὶ προπηλακιζόμενος· ἂν δὲ καὶ τύχῃ τινὸς ὧν ποθεῖ, περιενεχθεὶς καὶ σκοτοδινιάσας πρὸς τὸν τῆς τύχης πεταυρισμὸν, ἀπόβασιν ζητεῖ, καὶ μακαρίζει τοὺς ἀδόξους καὶ ἀσφαλῶς ζῶντας· οἱ δ' ἐκεῖνον πάλιν, ἄνω βλέποντες ὑπὲρ αὐτοὺς φερόμενον.

II. Πάντως ἡ κακία διατίθησι πάντας ἀνθρώπους, αὐτοτελής τις οὖσα τῆς κακοδαιμονίας δημιουργός· οὔτε γὰρ ὀργάνων οὔτε ὑπηρετῶν ἔχει χρείαν. ἄλλοι δὲ τύραννοι σπουδάζοντες οὓς ἂν κολάζωσιν ἀθλίους ποιεῖν, δημίους τρέφουσι καὶ βασανιστὰς, ἢ καυτήρια καὶ σφῆνας ἐπιμηχανῶνται, ἀλόγου ψυχῆς· ἡ δὲ κακία, δίχα πάσης παρασκευῆς, τῇ ψυχῇ συνελθοῦσα, συνέτριψε καὶ κατέβαλε, λύπης ἐνέπλησε, θρήνων, βαρυθυμίας, μεταμελείας τὸν ἄνθρωπον. τεκμήριον δέ· τεμνόμενοι πολλοὶ σιωπῶσι, καὶ μαστιγούμενοι καρτεροῦσι, καὶ σφηνούμενοι ὑπὸ δεσποτῶν ἢ τυράννων, φωνὴν οὐκ ἀφῆκαν, ὅταν ἡ ψυχὴ μύσασα τῷ λόγῳ τὸν τόνον,

ὥςπερ χειρὶ πιέσῃ καὶ κατάσχῃ· θυμῷ δὲ οὐκ ἂν ἐπιτάξειας ἡσυχίαν, οὐδὲ πένθει σιωπήν· οὔτε φοβούμενον στῆναι πείσειας, οὔτε δυσφοροῦντα μετανοίᾳ μὴ βοῆσαι, μηδὲ τῶν τριχῶν λαβέσθαι, ἢ τὸν μηρὸν κροῦσαι. οὕτω καὶ πυρὸς ἐστιν ἡ κακία καὶ σιδήρου βιαιοτέρα.

III. Αἱ πόλεις δήπουθεν ὅταν ἔκδοσιν ναῶν ἢ κολοσσῶν προγράφωσιν, ἀκροῶνται τῶν τεχνιτῶν ἁμιλλωμένων περὶ τῆς ἐργολαβίας, καὶ λόγους καὶ παραδείγματα κομιζόντων· εἶτα αἱροῦνται τὸν ἀπ' ἐλάττονος δαπάνης τὸ αὐτὸ ποιοῦντα καὶ βέλτιον καὶ τάχιον. φέρε δὴ καὶ ἡμᾶς ἔκδοσίν τινα βίου καὶ ἀνθρώπου κακοδαίμονος προκηρύσσειν, εἶτα προςιέναι τῇ ἐργολαβίᾳ τὴν τύχην καὶ τὴν κακίαν διαφερομένας· τὴν μὲν ὀργάνων τε παντοδαπῶν κατάπλεων καὶ παρασκευῆς πολυτελοῦς εἰς ἀπεργασίαν κακοδαίμονος ζωῆς καὶ οἰκτρᾶς· λῃστήριά τινα καὶ πολέμους καὶ τυράννων μιαιφονίας, καὶ χειμῶνας ἐκ θαλάττης, καὶ κεραυνὸν ἐξ ἀέρος ἐφελκομένην, καὶ κώνεια τρίβουσαν, καὶ ξίφη φέρουσαν, καὶ συκοφάντας ξενολογοῦσαν, καὶ πυρετοὺς ἐξάπτουσαν, καὶ πέδας περικροτοῦσαν, καὶ περιοικοδομοῦσαν εἱρκτάς· καίτοι τούτων τὰ πλεῖστα τῆς κακίας μᾶλλον ἢ τῆς τύχης ἐστίν· ἀλλὰ πάντα ἔστω τῆς τύχης. ἡ δὲ κακία παρεστῶσα γυμνὴ καὶ μηδενὸς δεομένη τῶν ἔξωθεν ἐπὶ τὸν ἄνθρωπον, ἐρωτάτω καὶ τὴν τύχην, πῶς ποιήσει κακοδαίμονα καὶ ἄθυμον τὸν ἄνθρωπον. Τύχη, πενίαν ἀπειλεῖς; καταγελᾷ σου Μητροκλῆς, ὃς χειμῶνος ἐν τοῖς προβάτοις κα-

θεύδων, καὶ θέρους ἐν τοῖς προπυλαίοις τῶν ἱερῶν, τὸν ἐν Βαβυλῶνι χειμάζοντα, καὶ περὶ Μηδίαν θερίζοντα Περσῶν βασιλέα περὶ εὐδαιμονίας εἰς ἀγῶνα προὐκαλεῖτο. δουλείαν καὶ δεσμὰ καὶ πρᾶσιν ἐπάγεις; καταφρονεῖ σου Διογένης, ὃς ὑπὸ τῶν λῃστῶν πωλούμενος, ἐκήρυττε· Τίς ὠνήσασθαι βούλεται δεσπότην; κύλικα φαρμάκου ταράττεις; οὐχὶ καὶ Σωκράτει ταύτην προέπιες; ὁ δὲ ἵλεως καὶ πρᾶος, οὐ τρέσας, οὐδὲ διαφθείρας οὐδὲ χρώματος οὐδὲν, οὐδὲ σχήματος, μάλ' εὐκόλως ἐξέπιεν· ἀποθνήσκοντα δὲ αὐτὸν ἐμακάριζον οἱ ζῶντες, ὡς οὐδ' ἐν ᾅδου θείας ἄνευ μοίρας ἐσόμενον. καὶ μὴν τὸ πῦρ σου Δέκιος ὁ Ῥωμαίων στρατηγὸς προέλαβεν, ὅτε τῶν στρατοπέδων ἐν μέσῳ πυρὰν νήσας, τῷ Κρόνῳ κατ' εὐχὴν αὐτὸς ἑαυτὸν ἐκαλλιέρησεν ὑπὲρ τῆς ἡγεμονίας. Ἰνδῶν δὲ φίλανδροι καὶ σώφρονες γυναῖκες ὑπὲρ τοῦ πυρὸς ἐρίζουσι καὶ μάχονται πρὸς ἀλλήλας, τὴν δὲ νικήσασαν τεθνηκότι τῷ ἀνδρὶ συγκαταφλεγῆναι, μακαρίαν ᾄδουσιν αἱ λοιπαί. τῶν δὲ ἐκεῖ σοφῶν οὐδεὶς ζηλωτὸς οὐδὲ μακάριστός ἐστιν, ἂν μὴ ζῶν ἔτι καὶ φρονῶν καὶ ὑγιαίνων, τοῦ σώματος τὴν ψυχὴν πυρὶ διαστήσῃ, καὶ καθαρὸς ἐκβῇ τῆς σαρκὸς, ἐκνιψάμενος τὸ θνητόν. ἀλλ' ἐξ οὐσίας λαμπρᾶς καὶ οἴκου καὶ τραπέζης καὶ πολυτελείας εἰς τρίβωνα καὶ πήραν καὶ προσαίτησιν ἐφημέρου τροφῆς κατάξεις; ταῦτα εὐδαιμονίας ἀρχαὶ Διογένει, ταῦτα ἐλευθερίας Κράτητι καὶ δόξης. ἀλλὰ εἰς σταυρὸν καθηλώσεις, ἢ σκόλοπι πήξεις; καὶ τί Θεοδώρῳ μέλει, πότερον ὑπὲρ γῆς ἢ ὑπὸ γῆς σήπεται; Σκυθῶν εὐδαίμονες ταφαὶ

αὗται· Ὑρκανῶν δὲ κύνες, Βακτριανῶν δὲ ὄρνιθες νεκροὺς ἐσθίουσι κατὰ νόμους, ὅταν μακαρίου τέλους τυγχάνωσιν.

IV. Τίνας οὖν ταῦτα κακοδαίμονας ποιεῖ; τοὺς ἀνάνδρους, καὶ ἀλογίστους, τοὺς εὐθρύπτους καὶ ἀγυμνάστους, τοὺς ἐκ νηπίων ἃς ἔχουσι δόξας φυλάττοντας· οὐκοῦν; οὐκ ἔστιν ἡ τύχη κακοδαιμονίας τελεσιουργὸς, ἂν μὴ κακίαν ἔχῃ συνεργοῦσαν. ὡς γὰρ ἡ κρόκη τὸ ὀστέον πρίει, τέφρᾳ καὶ ὄξει διάβροχον γενόμενον, καὶ τὸν ἐλέφαντα τῷ ζύθει μαλακὸν γενόμενον καὶ χαλῶντα κάμπτουσι καὶ διασχηματίζουσιν, ἄλλως δὲ οὐ δύνανται· οὕτως ἡ τύχη τὸ πεπονθὸς ἐξ αὑτοῦ καὶ μαλακὸν κακίᾳ προςπεσοῦσα κοιλαίνει καὶ τιτρώσκει. καὶ καθάπερ ὁ πάρφικος τῶν ἄλλων οὐδενὶ βλαβερὸς ὢν, οὐδὲ λυπῶν ἁπτομένους καὶ περιφέροντας, ἐὰν τετρωμένοις ἐπεισενεχθῇ μόνον, εὐθὺς ἀπόλλυσι τῷ προσπεπονθότι καὶ τὴν ἀποῤῥοὴν δεχομένῳ· οὕτω τὸν ὑπὸ τῆς τύχης συντριβήσεσθαι μέλλοντα τὴν ψυχὴν, ἴδιον ἕλκος ἐν ἑαυτῷ καὶ κακὸν ἔχειν δεῖ ἐντὸς σαρκὸς, ὅπως τὰ προσπίπτοντα ἔξωθεν οἰκτρὰ καὶ ὀδυρτὰ ποιήσῃ.

V. Ἆρ' οὖν ἡ κακία τοιοῦτον ὥστε τῆς τύχης δεῖσθαι πρὸς κακοδαιμονίας ἀπεργασίαν; πόθεν οὐ τραχὺ καὶ δυσχείμερον ἐπαίρεται πέλαγος, οὐ λῃστῶν ἐνοδίοις διαζώννυσιν ἐνέδραις ἐρήμους ὑπωρείας, οὐ νέφη χαλαζοβόλα πεδίοις περιῤῥήγνυσι καρποφόροις, οὐ Μέλιτον οὐδὲ Ἄνυτον οὐδὲ Καλλίξενο ἐπάγει συκοφάντην, οὐκ ἀφαιρεῖται πλοῦτον, οὐ

ἀπείργει στρατηγίας, ἵνα ποιήσῃ κακοδαίμονας· ἀλλὰ πταίει πλουτοῦντας, εὐποροῦντας, κληρονομοῦντας ἐν γῇ, διὰ θαλάττης, ἐνδέδυκε, προσπέφυκεν, ἐκτήκουσα ταῖς ἐπιθυμίαις, διακαίουσα τοῖς θυμοῖς, συντρίβουσα ταῖς δεισιδαιμονίαις, διασύρουσα τοῖς ὀφθαλμοῖς.

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΠΟΤΕΡΟΝ

## ΤΑ ΤΗΣ ΨΥΧΗΣ, Η ΤΑ ΤΟΥ ΣΩΜΑΤΟΣ, ΠΑΘΗ ΧΕΙΡΟΝΑ.

Ὅμηρος μὲν ἐπιβλέψας τὰ θνητὰ τῶν ζώων γένη, καὶ πρὸς ἄλληλα συγκρίνας κατὰ τοὺς βίους καὶ τὰς διαιτήσεις, ἐξεφώνησεν, ὡς οὐδέν ἐστιν

— ὀϊζυρώτερον ἀνδρὸς,
Πάντων ὅσσα τε γαῖαν ἐπιπνείει τε καὶ ἕρπει·

πρωτεῖον οὐκ εὐτυχὲς εἰς κακῶν ὑπεροχὴν ἀποδιδοὺς τῷ ἀνθρώπῳ. ἡμεῖς δὲ ὥσπερ ἤδη νικῶντα κακοδαιμονίᾳ τὸν ἄνθρωπον, καὶ τῶν ἄλλων ἀθλιώτερον ζώων ἀνηγορευμένον, αὐτὸν αὐτῷ συγκρίνωμεν εἰς ἰδίων κακῶν ἀγῶνα, σῶμα καὶ ψυχὴν διαιροῦντες οὐκ ἀχρήστως, ἀλλὰ καὶ πάνυ δεόντως. ἵνα μάθωμεν, πότερον διὰ τὴν τύχην, ἢ δι' ἑαυτοὺς, ἀθλιώ-

τερον ζῶμεν. νόσος μὲν γὰρ ἐν σώματι φύεται διὰ φύσιν· κακία δὲ καὶ μοχθηρία περὶ ψυχὴν, ἔργον ἐστὶ πρῶτον, εἶτα πάθος αὐτῆς. οὐ μικρὸν δὲ πρὸς εὐθυμίαν ὄφελος, ἐὰν ἰάσιμον ᾖ τὸ χεῖρον καὶ κουφότερον καὶ ἄσφυκτον.

II. Ἡ μὲν οὖν Αἰσώπειος ἀλώπηξ περὶ ποικιλίας δικαζομένη πρὸς τὴν πάρδαλιν, ὡς ἐκείνη τὸ σῶμα καὶ τὴν ἐπιφάνειαν εὐανθῆ καὶ κατάστικτον ἐπεδείξατο, τῇ δὲ ἦν τὸ ξανθὸν αὐχμηρὸν καὶ οὐχ ἡδὺ προσιδεῖν· Ἀλλ' ἐμοῦ τοι τὸ ἐντὸς (ἔφη) σκοπῶν, ὦ δικαστὰ, ποικιλωτέραν με τῆς δὲ ὄψει, δηλοῦσα τὴν περὶ τὸ ἦθος εὐτροπίαν ἐπὶ πολλὰ ταῖς χρείαις ἀμειβομένην. λέγομεν οὖν ἐν ἡμῖν, ὅτι πολλὰ μὲν, ὦ ἄνθρωπε, σοῦ καὶ τὸ σῶμα καὶ νοσήματα καὶ πάθη φύσει τε ἀνίησιν ἐξ ἑαυτοῦ καὶ προσπίπτοντα δέχεται θύραθεν· ἂν δὲ σαυτὸν ἔνδοθεν ἀνοίξῃς, ποικίλον τι καὶ πολυπαθὲς κακῶν ταμεῖον εὑρήσεις καὶ θησαύρισμα, ὥς φησι Δημόκριτος· οὐκ ἔξωθεν ἐπιῤῥεόντων, ἀλλ' ὥσπερ ἐγγείους καὶ αὐτόχθονας πηγὰς ἐχόντων, ἃς ἀνίησιν ἡ κακία, πολύχυτος καὶ δαψιλὴς οὖσα τοῖς πάθεσιν. εἰ δὲ τὰ μὲν ἐν σαρκὶ νοσήματα σφυγμοῖς καὶ χροιαῖς ἐρυθραινόμενα φωρᾶται, καὶ θερμότητες αὐτὰ καὶ πόνοι προπετεῖς ἐλέγχουσι, τὰ δ' ἐν ψυχῇ λανθάνει τοὺς πολλοὺς κακὰ ὄντα, διὰ τοῦτό ἐστι κακίω, προσαφαιροῦμενα τὴν ἐπ' αὐτοῖς τοῦ πάσχοντος αἴσθησιν. τῶν μὲν γὰρ περὶ τὸ σῶμα νοσημάτων ἐῤῥωμένος ὁ λογισμὸς αἰσθάνεται· τοῖς δὲ τῆς ψυχῆς συννοσῶν αὐτὸς, οὐκ ἔχει κρίσιν ἐν οἷς πάσχει· πάσχει γὰρ ᾧ κρίνει· καὶ

δεῖ τῶν ψυχικῶν πρῶτον καὶ μέγιστον ἀριθμεῖν τὴν ἄνοιαν, δι' ἧς ἀνήκεστος ἡ κακία τοῖς πολλοῖς συνοικεῖ καὶ συγκαταβιοῖ καὶ συναποθνήσκει. ἀρχὴ γὰρ ἀπαλλαγῆς νόσου μὲν αἴσθησις εἰς χρείαν ἄγουσα τοῦ βοηθοῦντος τὸ πάσχον· ὁ δὲ ἀπιστίᾳ τοῦ νοσεῖν, οὐκ εἰδὼς ὧν δεῖται, κἂν παρῇ τὸ θεραπεῦον, ἀρνεῖται. καὶ γὰρ τῶν περὶ τὸ σῶμα νοσημάτων, τὰ μετὰ ἀναισθησίας χείρονα, λήθαργοι, κεφαλαλγίαι, ἐπιληψίαι, ἀποπληξίαι, αὐτοί τε πυρετοὶ συντείναντες εἰς παρακοπὴν τὸ φλεγμαῖνον, καὶ τὴν αἴσθησιν ὥσπερ ἐν ὀργάνῳ διαταράξαντες,

*Κινοῦσι χορδὰς τὰς ἀκινήτους φρενῶν.*

III. Διὸ παῖδες ἰατρῶν βούλονται μὲν μὴ νοσεῖν τὸν ἄνθρωπον, νοσοῦντα δὲ, μὴ ἀγνοεῖν, ὅτι νοσεῖ· ὃ τοῖς ψυχικοῖς πάθεσι πᾶσι συμβέβηκεν. οὔτε γὰρ ἀφραίνοντες, οὔτε ἀσελγαίνοντες, οὔτ' ἀδικοπραγοῦντες ἁμαρτάνειν δοκοῦσιν· ἀλλ' ἔνιοι καὶ κατορθοῦν. πυρετὸν μὲν γὰρ οὐδεὶς ὑγείαν ὠνόμασεν, οὐδὲ φθίσιν εὐεξίαν· οὐδὲ ποδάγραν ποδώκειαν· οὐδὲ ὠχρίασιν ἐρύθημα· θυμὸν δὲ πολλοὶ καλοῦσιν ἀνδρίαν, καὶ ἔρωτα φιλίαν, καὶ φθόνον ἅμιλλαν, καὶ δειλίαν ἀσφάλειαν. εἶθ' οἱ μὲν καλοῦσι τοὺς ἰατροὺς, (αἰσθάνονται γὰρ ὧν δέονται πρὸς ἃ νοσοῦσιν) οἱ δὲ φεύγουσι τοὺς φιλοσόφους· οἴονται γὰρ ἐπιτυγχάνειν ἐν οἷς διαμαρτάνουσιν. ἐπεὶ τούτῳ γε τῷ λόγῳ χρώμενοι λέγομεν, ὅτι κουφότερόν ἐστιν ὀφθαλμία μανίας, καὶ ποδάγρα φρενίτιδος. ὁ μὲν γὰρ αἰσθάνεται καὶ καλεῖ τὸν ἰατρὸν κεκραγώς· καὶ παρόντι τὴν ὄψιν ἀλεῖψαι παρέχει, τὴν φλέβα

τεμεῖν, τὴν κεφαλὴν θεραπεῦσαι παραδίδωσιν· τῆς δὲ μαινομένης Ἀγαύης ἀκούεις ὑπὸ τοῦ πάθους τὰ φίλτατα ἠγνοηκυίας·

Ἄγομεν ἐξ ὄρεος ἕλικα
Νεότομον ἐπὶ μέλαθρα,
Μακάριον θήραμα.

καὶ γὰρ ὁ μὲν τῷ σώματι νοσῶν, εὐθὺς ἐνδοὺς καὶ καθεὶς ἑαυτὸν εἰς τὸ κλινίδιον, ἡσυχίαν ἄγει θεραπευόμενος· ἂν δέ που μικρὸν ἐξαΐξῃ καὶ διασκιρτήσῃ τὸ σῶμα φλεγμονῆς προσπεσούσης, εἰπών τις τῶν παρακαθημένων, πρᾴως

Μένε, ὦ ταλαίπωρ᾽, ἀτρέμα σοῖς ἐν δεμνίοις·

ἐπέστησε καὶ κατέσχεν. οἱ δ᾽ ἐν τοῖς ψυχικοῖς πάθεσιν ὄντες, τότε μάλιστα πράττουσι, τότε ἥκιστα ἡσυχάζουσιν· αἱ γὰρ ὁρμαί, τῶν πράξεων ἀρχαί, τὰ δὲ πάθη, σφοδρότητες ὁρμῶν. διὸ τὴν ψυχὴν ἠρεμεῖν οὐκ ἐῶσιν, ἀλλ᾽ ὅτε μάλιστα δεῖται μονῆς καὶ σιωπῆς καὶ ὑποστολῆς ὁ ἄνθρωπος, τότε αὐτὸν εἰς ὕπαιθρον ἕλκουσι, τότε ἀποκαλύπτουσιν οἱ θυμοί, αἱ φιλονεικίαι, οἱ ἔρωτες, αἱ λῦπαι, πολλὰ καὶ δρᾷν ἄνομα καὶ λαλεῖν ἀνάρμοστα τοῖς καιροῖς ἀναγκαζόμενον.

IV. Ὥσπερ οὖν ἐπισφαλέστερος χειμὼν τοῦ πλεῖν οὐκ ἐῶντος, ὁ κωλύων καθορμίσασθαι· οὕτως οἱ κατὰ ψυχὴν χειμῶνες βαρύτεροι, οἱ στείλασθαι τὸν ἄνθρωπον οὐκ ἐῶντες, οὐδ᾽ ἐπιστῆσαι τεταραγμένον τὸν λογισμόν· ἀλλὰ ἀκυβέρνητος καὶ ἀνερμάτιστος ἐν ταραχῇ καὶ πλάνῃ δρόμοις ὀλεθρίοις καὶ παραφόροις διατραχηλιζόμενος εἴς τι ναυάγιον φοβερὸν

ἐξέπεσε, καὶ συνέτριψε τὸν ἑαυτοῦ βίον. ὥστε καὶ τούτοις χεῖρον νοσεῖν ταῖς ψυχαῖς ἢ τοῖς σώμασιν· ταῖς μὲν γὰρ πάσχειν μόνον, τοῖς δὲ καὶ πάσχειν καὶ ποιεῖν κακῶς συμβέβηκε. καὶ τί δεῖ τὰ πολλὰ λέγειν τῶν παθῶν; αὐτὸς ὁ καιρὸς ὑπόμνησίς ἐςιν. ὁρᾶτε τὸν πολὺν καὶ παμμιγῆ τοῦτον τὸν ἐνταῦθα συνηραγμένον καὶ κυκώμενον ὄχλον περὶ τὸ βῆμα καὶ τὴν ἀγοράν; οὐ θύσοντες οὗτοι συνεληλύθασι πατρίοις θεοῖς, οὐδὲ ὁμογνίων μεθέξοντες ἱερῶν ἀλλήλοις; οὐκ Ἀσκραίῳ Διῒ Λυδίων καρπῶν ἀπαρχὰς φέροντες, οὐδὲ Διονύσῳ βεβακχευμένον θύσθλον ἱεραῖς νυξὶ καὶ κοινοῖς ὀργιάζοντες κώμοις· ἀλλ' ὥςπερ ἐτησίοις περιόδοις ἀκμὴ νοσήματος ἐκτραχύνουσα τὴν Ἀσίαν ἐπὶ δίκας καὶ ἀγῶνας ἐμπροθέσμους ἥκουσαν ἐνταῦθα συμβάλλει· τὸ δὲ τῶν πραγμάτων πλῆθος ὥςπερ ῥευμάτων ἀθρόων, εἰς μίαν ἐμπέπτωκεν ἀγορὰν, καὶ φλεγμαίνει καὶ συῤῥέῤῥωγεν ὀλλύντων καὶ ὀλλυμένων. ποίων ταῦτα πυρετῶν ἔργα; ποίων ἠπιάλων; τίνες ἐνστάσεις, ἢ παρεμπτώσεις, ἢ δυσκρασία θερμῶν, ἢ ὑπέρχυσις ὑγρῶν; ἂν ἑκάστην δίκην ὥςπερ ἄνθρωπον ἀνακρίνῃς, πόθεν πέφυκε, πόθεν ἥκει· τὴν μὲν θυμὸς αὐθάδης πεποίηκε, τὴν δὲ μανιώδης φιλονεικία, τὴν δ' ἄδικος ἐπιθυμία.

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΠΕΡΙ

## ΑΔΟΛΕΣΧΙΑΣ.

Δύσκολον μὲν ἀναλαμβάνει θεράπευμα καὶ χαλεπὸν ἡ φιλοσοφία τὴν ἀδολεσχίαν. τὸ γὰρ φάρμακον αὐτῆς, ὁ λόγος, ἀκουόντων ἐστίν· οἱ δ' ἀδόλεσχοι οὐδενὸς ἀκούουσιν· ἀεὶ γὰρ λαλοῦσι. καὶ τοῦτο ἔχει πρῶτον κακὸν ἡ ἀσιγησία, τὴν ἀνηκοΐαν. κωφότης γὰρ αὐθαίρετός ἐστιν, ἀνθρώπων (οἶμαι) μεμφομένων τὴν φύσιν, ὅτι μίαν γλῶτταν, δύο δ' ὦτα ἔχουσιν. εἴπερ οὖν ὁ Εὐριπίδης καλῶς εἶπε πρὸς τὸν ἀσύνετον ἀκροατήν·

Οὐκ ἂν δυναίμην μὴ στέγοντα πιμπλάναι,
Σοφοὺς ἐπαντλῶν ἀνδρὶ μὴ σοφῷ λόγους·

δικαιότερον ἄν τις εἴποι πρὸς τὸν ἀδόλεσχον, μᾶλλον δὲ περὶ τοῦ ἀδολέσχου·

Οὐκ ἂν δυναίμην μὴ δεχόμενον πιμπλάναι,
Σοφοὺς ἐπαντλῶν ἀνδρὶ μὴ σοφῷ λόγους·

μᾶλλον δὲ περιαντλῶν λόγους ἀνθρώπῳ λαλοῦντι μὲν πρὸς τοὺς οὐκ ἀκούοντας, μὴ ἀκούοντι δὲ τῶν λαλούντων. καὶ γὰρ ἂν ἀκούσῃ τι βραχύ, τῆς ἀδολε-

σχίας ὥςπερ ἄμπωτιν λαβούσης, τοῦτο παραχρῆμα πολλαπλάσιον ἀνταποδίδωσι. τὴν μὲν γὰρ ἐν Ὀλυμπίᾳ στοὰν ἀπὸ μιᾶς φωνῆς πολλὰς ἀντανακλάσεις ποιοῦσαν, ἑπτάφωνον καλοῦσι· τῆς δ᾽ ἀδολεσχίας ἂν ἐλάχιστος ἅψηται λόγος, εὐθὺς ἀντιπεριηχεῖ,

Κινοῦσα χορδὰς τὰς ἀκινήτους φρενῶν.

μήποτ᾽ οὖν αὐτοῖς οὐκ εἰς τὴν ψυχὴν, ἀλλ᾽ εἰς τὴν γλῶτταν, ἡ ἀκοὴ συντέτρηται. διὸ τοῖς μὲν ἄλλοις ἐμμένουσιν οἱ λόγοι, τῶν δ᾽ ἀδολέσχων διαῤῥέουσιν· εἶθ᾽ ὥςπερ ἀγγεῖα, κενοὶ φρενῶν, ἤχου δὲ μεστοὶ περιΐασιν.

II. Εἰ δ᾽ οὖν δοκεῖ πεῖρας μηδὲν ἐλλελεῖφθαι, εἴπωμεν πρὸς τὸν ἀδόλεσχον·

Ὦ παῖ, σιώπα· πόλλ᾽ ἔχ᾽ ἡ σιγὴ καλά·

δύο δὲ τὰ πρῶτα καὶ μέγιστα, τὸ ἀκοῦσαι καὶ ἀκουσθῆναι· ὧν οὐδ᾽ ἑτέρου τυχεῖν ἐγγίνεται τοῖς ἀδολέσχοις, ἀλλὰ καὶ περὶ αὐτὴν τὴν ἐπιθυμίαν ἀποδυσπετοῦσι. τοῖς μὲν γὰρ ἄλλοις νοσήμασι τῆς ψυχῆς, οἷον φιλαργυρίᾳ, φιλοδοξίᾳ, φιληδονίᾳ, τὸ γοῦν τυγχάνειν, ὧν ἐφίενται, περίεστι· τοῖς δ᾽ ἀδολέσχοις τοῦτο συμβαίνει χαλεπώτατον· ἐπιθυμοῦντες γὰρ ἀκροατῶν, οὐ τυγχάνουσιν, ἀλλὰ πᾶς φεύγει προτροπάδην· κἂν ἐν ἡμικυκλίῳ τινὶ καθεζόμενοι, κἂν περιπατοῦντες ἐν ταὐτῷ θεάσωνται προςφοιτῶντα, ταχέως ἀνάζευξιν αὐτοῖς παρεγγυῶσι. καὶ καθάπερ ὅταν ἐν συλλόγῳ τινὶ γένηται σιωπὴ, τὸν Ἑρμῆν ἐπεισεληλυθέναι λέγουσιν, οὕτως ὅταν εἰς συμπόσιον ἢ συνέδριον γνωρίμων λάλος εἰςέλθῃ, πάντες ἀποσιωπῶσι, μὴ βουλόμενοι λαβὴν παρασχεῖν· ἂν δ᾽

*αὐτὸς ἄρξηται διαίρειν τὸ στόμα, πρὸ χείματος, ὡς ἀνὰ ποντίαν ἄκραν βορέου πνέοντος, ὑφορώμενοι σάλον καὶ ναυτίαν, ἐξανέστησαν. ὅθεν αὐτοῖς συμβαίνει μήτε παρὰ δεῖπνον συγκλιτῶν, μήτε συσκήνων τυγχάνειν προθύμων, ὅταν ὁδοιπορῶσιν ἢ πλέωσιν, ἀλλ' ἀναγκαστῶν· πρόςκειται γὰρ ἁπανταχοῦ, τῶν ἱματίων ἀντιλαμβανόμενος, τοῦ γενείου, τὴν πλευρὰν θυροκοπῶν τῇ χειρί·*

*— πόδες δὴ κεῖθι τιμιώτατοι,*

*κατὰ τὸν Ἀρχίλοχον, καὶ νὴ Δία κατὰ τὸν σοφὸν Ἀριστοτέλην. καὶ γὰρ αὐτὸς ἐνοχλούμενος ὑπὸ ἀδολέσχου καὶ κοπτόμενος ἀτόποις τισὶ διηγήμασι, πολλάκις αὐτοῦ λέγοντος· Οὐ θαυμαστὸν, Ἀριστότελες; Οὐ τοῦτο (φησὶ) θαυμαστόν· ἀλλ' εἴ τις πόδας ἔχων σὲ ὑπομένει. ἑτέρῳ δέ τινι τοιούτῳ μετὰ πολλοὺς λόγους εἰπόντι· Κατηδολέσχηκά σου, φιλόσοφε· Μὰ Δί' (εἶπεν) οὐ γὰρ προςεῖχον. καὶ γὰρ ἂν βιάσωνται λαλεῖν οἱ ἀδόλεσχοι, παρέδωκεν αὐτοῖς ἡ ψυχὴ τὰ ὦτα περιαντλεῖν ἔξωθεν, αὐτὴ δ' ἐντὸς ἑτέρας τινὰς ἀναπτύσσει καὶ διέξεισι πρὸς αὐτὴν φροντίδας· ὅθεν οὔτε προσεχόντων, οὔτε πιστευόντων ἀκροατῶν εὐποροῦσι. τῶν μὲν γὰρ πρὸς τὰς συνουσίας εὐκαταφόρων ἄγονον εἶναι τὸ σπέρμα λέγουσι· τῶν δ' ἀδολέσχων ὁ λόγος ἀτελὴς καὶ ἄκαρπός ἐστι.*

III. *Καίτοι γ' οὐδὲν οὕτως ἡ φύσις εὐερκῶς κεχαράκωκε τῶν παρ' ἡμῖν, ὡς τὴν γλῶτταν, βαλομένη φρουρὰν πρὸ αὐτῆς τοὺς ὀδόντας, ἵν', ἐὰν ἐντὸς κατατείνοντος ἡνία σιγαλόεντα τοῦ λογισμοῦ, μὴ ὑπα-*

κούῃ· μηδ' ἀνειλῆται, δήγμασιν αὐτῆς κατέχωμεν τὴν ἀκρασίαν αἱμάττοντες. ἀχαλίνων γάρ, οὐ ταμιείων, οὐδ' οἰκημάτων, ἀλλὰ στομάτων τὸ τέλος δυστυχίαν ὁ Εὐριπίδης φησίν. οἱ δ' οἰκημάτων μὲν ἀθύρων, καὶ βαλλαντίων ἀδέσμων μηδὲν ὄφελος οἰόμενοι τοῖς κεκτημένοις εἶναι, στόμασι δ' ἀκλείστοις καὶ ἀθύροις, ὥσπερ τὸ τοῦ πόντου, διὰ παντὸς ἔξω ῥέουσι χρώμενοι, πάντων ἀτιμότατον ἡγεῖσθαι τὸν λόγον ἐοίκασιν. ὅθεν οὐδὲ πίστιν ἔχουσιν, ἧς πᾶς λόγος ἐφίεται· τὸ γὰρ οἰκεῖον αὐτοῦ τέλος, τοῦτ' ἔστι, πίστιν ἐνεργάσασθαι τοῖς ἀκούουσιν· ἀπιστοῦνται δ' οἱ λάλοι, κἂν ἀληθεύωσιν. ὥσπερ γὰρ ὁ πυρὸς εἰς ἀγγεῖον κατακλεισθεὶς, τῷ μὲν μέτρῳ πλείων εὑρίσκεται, τῇ δὲ χρείᾳ μοχθηρότερος· οὕτω λόγος εἰς ἀδόλεσχον ἐμπεσὼν ἄνθρωπον, πολὺ ποιεῖ τοῦ ψεύδους ἐπίμετρον, ᾧ διαφθείρει τὴν πίστιν.

IV. Ἔτι τοίνυν τὸ μεθύειν πᾶς ἄνθρωπος αἰδήμων καὶ κόσμιος φυλάξαιτ' ἄν· μανίᾳ γὰρ ὁμόσοιχος μὲν ἡ ὀργὴ κατ' ἐνίους, ἡ δὲ μέθη σύνοικος· μᾶλλον δὲ μανία, τῷ μὲν χρόνῳ ἧττον, τῷ δ' ἑκουσίῳ μείζων, ὅτι τὸ αὐθαίρετον αὐτῇ πρόσεστι. τῆς δὲ μέθης οὐθὲν οὕτω κατηγοροῦσιν, ὡς τὸ περὶ τοὺς λόγους ἀκρατὲς καὶ ἀόριστον.

Οἶνος γάρ τ' ἐφέηκε πολύφρονά περ μάλ' ἀεῖσαι,
Καί θ' ἁπαλὸν γελάσαι, καί τ' ὀρχήσασθαι ἀνῆκε.

καίτοι τὸ δεινότατον, ᾠδὴ καὶ γέλως καὶ ὄρχησις οὐδὲν ἄχρι τούτων·

Καί τι ἔπος προέηκεν, ὅπερ τ' ἄῤῥητον ἄμεινον·

τοῦτο ἤδη δεινὸν καὶ ἐπικίνδυνον· καὶ μή ποτε τὸ

ζητούμενον παρὰ τοῖς φιλοσόφοις λύων ὁ ποιητὴς, οἰνώσεως καὶ μέθης διαφορὰν εἴρηκεν· οἰνώσεως μὲν, ἄνεσιν· μέθης δὲ, φλυαρίαν· τὸ γὰρ ἐν τῇ καρδίᾳ τοῦ νήφοντος, ἐπὶ τῆς γλώττης ἐστὶ τοῦ μεθύοντος, ὡς οἱ παροιμιαζόμενοί φασιν. ὅθεν ὁ μὲν Βίας ἔν τινι πότῳ σιωπῶν, καὶ σκωπτόμενος εἰς ἀβελτηρίαν ὑπό τινος ἀδολέσχου· Καὶ τίς ἂν (ἔφη) δύναιτο μωρὸς ἂν ἐν οἴνῳ σιωπᾷν; Ἀθήνησι δέ τις ἑστιῶν πρέσβεις βασιλικοὺς, ἐφιλοτιμήθη σπουδάζουσιν αὐτοῖς συναγαγεῖν εἰς ταὐτὸ τοὺς φιλοσόφους· χρωμένων δὲ τῶν ἄλλων κοινολογίᾳ καὶ τὰς συμβολὰς ἀποδιδόντων, τοῦ δὲ Ζήνωνος ἡσυχίαν ἄγοντος, φιλοφρονησάμενοι καὶ προπιόντες οἱ ξένοι· Περὶ σοῦ δὲ τί χρὴ λέγειν, (ἔφασαν) ὦ Ζήνων, τῷ βασιλεῖ; κἀκεῖνος· Ἄλλο μηθὲν, (εἶπεν) ἢ ὅτι πρεσβύτης ἐστὶν ἐν Ἀθήναις, παρὰ πότον σιωπᾷν δυνάμενος. οὕτω τι βαθὺ καὶ μυστηριῶδες ἡ σιγὴ καὶ νηφάλιον· ἡ δὲ μέθη, λάλον· ἄνουν γὰρ καὶ ὀλιγόφρον, διὰ τοῦτο καὶ πολύφωνον. οἱ δὲ φιλόσοφοι, καὶ ὁριζόμενοι τὴν μέθην, λέγουσιν εἶναι λήρησιν πάροινον· οὕτως οὐ ψέγεται τῷ πίνειν, εἰ προσείη τῷ πίνειν τὸ σιωπᾷν· ἀλλ᾽ ἡ μωρολογία μέθην ποιεῖ τὴν οἴνωσιν. ὁ μὲν οὖν μεθύων ληρεῖ παρ᾽ οἶνον· ὁ δ᾽ ἀδόλεσχος πανταχοῦ ληρεῖ, ἐν ἀγορᾷ, ἐν θεάτρῳ, ἐν περιπάτῳ, μεθ᾽ ἡμέραν, νύκτωρ· ἔστι δὲ θεραπεύων, τῆς νόσου βαρύτερος· συμπλέων, τῆς ναυτίας ἀηδέστερος· ἐπαινῶν, τοῦ ψέγοντος ἐπαχθέστερος. ἥδιόν γέ τοι πονηροῖς ὁμιλοῦσιν ἐπιδεξίοις, ἢ χρηστοῖς ἀδολέσχαις.

ὁ μὲν γὰρ Σοφοκλέους Νέςωρ, τὸν Αἴαντα τραχυνόμενον τῷ λόγῳ πραΰνων, ἠθικῶς τοῦτο εἴρηκεν·

Οὐ μέμφομαί σε· δρῶν γὰρ εὖ, κακῶς λέγεις·

πρὸς δὲ τὸν ἀδολέσχην οὐχ οὕτως ἔχομεν, ἀλλὰ πᾶσαν ἔργου χάριν ἡ τῶν λόγων ἀκαιρία διαφθείρει καὶ ἀπόλλυσι.

V. Λυσίας τινὶ δίκην ἔχοντι λόγον συγγράψας ἔδωκεν· ὁ δὲ πολλάκις ἀναγνοὺς, ἧκε πρὸς τὸν Λυσίαν ἀθυμῶν καὶ λέγων, τὸ μὲν πρῶτον αὐτῷ διεξιόντι θαυμαστὸν φανῆναι τὸν λόγον, αὖθις δὲ καὶ τρίτον ἀναλαμβάνοντι, παντελῶς ἀμβλὺν καὶ ἄπρακτον· ὁ δὲ Λυσίας γελάσας· Τί οὖν, (εἶπεν) οὐχ ἅπαξ μέλλεις λέγειν αὐτὸν ἐπὶ τῶν δικαστῶν; καὶ σκόπει τὴν Λυσίου πειθὼ καὶ χάριν. κἀκεῖνον γὰρ

Ἐγώ φαμι ἰοπλοκάμων μοισᾶν εὖ λαχεῖν.

τῶν δὲ περὶ τοῦ ποιητοῦ λεγομένων ἀληθέστατόν ἐστιν, ὅτι μόνος Ὅμηρος τῆς τῶν ἀνθρώπων ἀψικορίας περιγέγονεν, ἀεὶ καινὸς ὢν καὶ πρὸς χάριν ἀκμάζων· ἀλλ' ὅμως εἰπὼν καὶ ἀναφωνήσας ἐκεῖνο περὶ αὑτοῦ, τὸ,

— ἐχθρὸν δέ μοι ἐστιν

Αὖθις ἀριζήλως εἰρημένα μυθολογεύειν,

φεύγει καὶ φοβεῖται τὸν ἐφεδρεύοντα παντὶ λόγῳ κόρον, εἰς ἄλλα ἐξ ἄλλων διηγήματα τὴν ἀκοὴν ἄγων, καὶ τῇ καινότητι τὴν πλησμονὴν αὐτῆς παραμυθούμενος. οἱ δ' ἀποκναίουσι δή που τὰ ὦτα, ταῖς ταυτολογίαις ὥςπερ παλίμψηστα διαμολύνοντες.

VI. Τοῦτο τοίνυν πρῶτον ὑπομιμνήσκωμεν αὐτοὺς, ὅτι, καθάπερ τὸν οἶνον ἡδονῆς ἕνεκα καὶ φι-

λοφροσύνης εὑρημένον, οἱ προσβιαζόμενοι πολὺν πίνειν καὶ ἄκρατον, ἐνίους εἰς ἀηδίαν καὶ παροινίαν τρέπουσιν, οὕτω τὸν λόγον ἥδιστον ὄντα καὶ φιλανθρωπότατον συμβόλαιον, οἱ χρώμενοι κακῶς καὶ προχείρως, ἀπάνθρωπον ποιοῦσι καὶ ἄμικτον, οἷς οἴονται χαρίζεσθαι, λυποῦντες, καὶ ἀφ᾽ ὧν θαυμάζεσθαι, καταγελώμενοι, καὶ δι᾽ ὧν φιλεῖσθαι, δυςχεραινόμενοι. ὥςπερ οὖν ὁ τῷ κεστῷ τοὺς ὁμιλοῦντας ἀποστρέφων καὶ ἀπελαύνων, ἀναφρόδιτος· οὕτως ὁ τῷ λόγῳ λυπῶν καὶ ἀπεχθανόμενος, ἄμουσός τις καὶ ἄτεχνός ἐστι.

VII. Τῶν μὲν οὖν ἄλλων παθῶν καὶ νοσημάτων τὰ μὲν ἐστιν ἐπικίνδυνα, τὰ δὲ μισητὰ, τὰ δὲ καταγέλαστα· τῇ δ᾽ ἀδολεσχίᾳ πάντα συμβέβηκε. χλευάζονται μὲν γὰρ ἐν ταῖς κοιναῖς διηγήσεσι, μισοῦνται δὲ διὰ τὰς τῶν κακῶν προςαγγελίας, κινδυνεύουσι δὲ τῶν ἀποῤῥήτων μὴ κρατοῦντες. ὅθεν Ἀνάχαρσις ἑστιαθεὶς παρὰ Σόλωνι, καὶ κοιμώμενος, ὤφθη τὴν μὲν ἀριστερὰν χεῖρα τοῖς μορίοις, τὴν δὲ δεξιὰν τῷ στόματι προςκειμένην ἔχων· ἐγκρατεστέρου γὰρ ᾤετο χαλινοῦ δεῖσθαι τὴν γλῶτταν, ὀρθῶς οἰόμενος. οὐ γὰρ ἄν τις ἐξαριθμήσαιτο ῥᾳδίως ἄνδρας τοσούτους ἀφροδισίων ἀκρασίᾳ πεπτωκότας, ὅσας πόλεις καὶ ἡγεμονίας λόγος ἐξενεχθεὶς ἀπόῤῥητος ἀναστάτους ἐποίησε. Σύλλας ἐπολιόρκει τὰς Ἀθήνας, οὐκ ἔχων σχολὴν ἐνδιατρίψαι χρόνον πολύν· ἐπεὶ πόνος ἄλλος ἔπειγεν, ἡρπακότος μὲν Ἀσίαν Μιθριδάτου, τῶν δὲ περὶ Μάριον αὖθις ἐν Ῥώμῃ κρατούντων· ἀλλὰ πρεσβυτῶν τινων ἐπὶ κουρείου διαλεγομένων,

ὡς οὐ φυλάττεται τὸ Ἑπτάχαλκον, καὶ κινδυνεύει τὸ ἄστυ κατ' ἐκεῖνο ληφθῆναι τὸ μέρος, ἀκούσαντες οἱ κατάσκοποι πρὸς τὸν Σύλλαν ἐξήγγειλαν. ὁ δ' εὐθὺς τὴν δύναμιν προσαγαγὼν, περὶ μέσας νύκτας εἰσήγαγε τὸ στράτευμα, καὶ μικροῦ μὲν κατέσκαψε τὴν πόλιν, ἐνέπλησε δὲ φόνου καὶ νεκρῶν, ὥστε τὸν Κεραμεικὸν αἵματι ῥυῆναι· χαλεπῶς δὲ πρὸς τοὺς Ἀθηναίους ἔσχε διὰ τοὺς λόγους μᾶλλον, ἢ διὰ τὰ ἔργα· κακῶς γὰρ αὐτὸν ἔλεγον καὶ τὴν Μετέλλαν, ἀναπηδῶντες ἐπὶ τὰ τείχη καὶ σκώπτοντες,

Συκάμινον ἔσθ' ὁ Σύλλας, ἀλφίτῳ πεπασμένον,

καὶ τοιαῦτα πολλὰ φλυαροῦντες, ἐπεσπάσαντο κουφοτάτου πράγματος, λόγων, ὥς φησιν ὁ Πλάτων, βαρυτάτην ζημίαν. τὴν δὲ Ῥωμαίων πόλιν ἐκώλυσεν ἐλευθέραν γενέσθαι, Νέρωνος ἀπαλλαγεῖσαν, ἑνὸς ἀνδρὸς ἀδολεσχία. μία γὰρ ἦν νὺξ, μεθ' ἣν ἔδει τὸν τύραννον ἀπολωλέναι, παρεσκευασμένων ἁπάντων· ὁ δὲ μέλλων αὐτὸν ἀποκτιννύναι, πορευόμενος εἰς θέατρον, ἰδών τινα τῶν δεδεμένων ἐπὶ θύραις μέλλοντα προσάγεσθαι Νέρωνι, καὶ τὴν αὑτοῦ τύχην ὀδυρόμενον, ἐγγὺς προσῆλθεν αὐτῷ, καὶ προσψιθυρίσας· Εὔχου (φησὶν) ὦ ἄνθρωπε, τὴν σήμερον ἡμέραν παρελθεῖν μόνον, αὔριον δέ μοι εὐχαριστήσεις. ἁρπάσας οὖν τὸ αἰνιχθὲν ἐκεῖνος, καὶ νοήσας, (οἶμαι) ὅτι

Νήπιος, ὃς τὰ ἕτοιμα λιπὼν, ἀνέτοιμα διώκει,

τὴν βεβαιοτέραν εἵλετο σωτηρίαν πρὸ τῆς δικαιοτέρας. ἐμήνυσε γὰρ τῷ Νέρωνι τὴν φωνὴν τοῦ ἀνθρώπου· κἀκεῖνος εὐθὺς ἀνήρπαστο, καὶ βάσανοι,

καὶ πῦρ καὶ μάστιγες ἐπ' αὐτὸν, ἀρνούμενον περὶ τὴν ἀνάγκην, ἃ χωρὶς ἀνάγκης ἐμήνυσε.

VIII. Ζήνων δὲ ὁ φιλόσοφος, ἵνα μηδ' ἄκοντος αὐτοῦ προήταί τι τῶν ἀποῤῥήτων ἐκβιαζόμενον τὸ σῶμα ταῖς ἀνάγκαις, διαφαγὼν τὴν γλῶτταν, προσέπτυσε τῷ τυράννῳ. καλὸν δὲ καὶ Λέαινα τῆς ἐγκρατείας ἔχει γέρας· ἑταίρα τῶν περὶ Ἁρμόδιον ἦν καὶ Ἀριστογείτονα, καὶ τῆς ἐπὶ τοὺς τυράννους συνωμοσίας ἐκοινώνει ταῖς ἐλπίσιν, ὡς γυνή· καὶ γὰρ αὕτη περὶ τὸν καλὸν ἐκεῖνον ἐβάκχευσε κρατῆρα τοῦ ἔρωτος, καὶ κατωργίαστο διὰ τοῦ θεοῦ τοῖς ἀποῤῥήτοις. ὡς οὖν ἐκεῖνοι πταίσαντες ἀνῃρέθησαν, ἀνακρινομένη καὶ κελευομένη φράσαι τοὺς ἔτι λανθάνοντας, οὐκ ἔφρασεν, ἀλλ' ἐνεκαρτέρησεν, ἐπιδείξασα τοὺς ἄνδρας οὐδὲν ἀνάξιον ἑαυτῶν παθόντας, εἰ τοιαύτην ἠγάπησαν. Ἀθηναῖοι δὲ χαλκῆν ποιησάμενοι Λέαιναν, ἄγλωσσον, ἐν πύλαις τῆς ἀκροπόλεως ἀνέθηκαν, τῷ μὲν θυμοειδεῖ τοῦ ζῴου τὸ ἀήττητον αὐτῆς, τῷ δ' ἀγλώσσῳ τὸ σιωπηλὸν καὶ μυστηριῶδες ἐμφαίνοντες. οὐδεὶς γὰρ οὕτω λόγος ὠφέλησε ῥηθεὶς, ὡς πολλοὶ σιωπηθέντες. ἔστι γὰρ εἰπεῖν ποτε τὸ σιγηθὲν, οὐ μὴν σιωπῆσαί γε τὸ λεχθὲν, ἀλλ' ἐκκέχυται καὶ διαπεφοίτηκεν. ὅθεν (οἶμαι) τοῦ μὲν λέγειν ἀνθρώπους, τοῦ δὲ σιωπᾷν θεοὺς διδασκάλους ἔχομεν, ἐν τελεταῖς καὶ μυστηρίοις σιωπὴν παραλαμβάνοντες. ὁ δὲ ποιητὴς τὸν λογιώτατον Ὀδυσσέα σιωπηλότατον πεποίηκε, καὶ τὸν υἱὸν αὐτοῦ, καὶ τὴν γυναῖκα, καὶ τὴν τροφόν. ἀκούεις γὰρ λεγούσης·

Ἕξω δ' ἠΰτε περ κρατερὴ δρῦς, ἠὲ σίδηρος.

αὐτὸς δὲ τῇ Πηνελόπῃ παρακαθήμενος,

Θυμῷ μὲν γοόωσαν ἑὴν ἐλέαιρε γυναῖκα,
Ὀφθαλμοὶ δ' ὡσεὶ κέρα ἕστασαν, ἠὲ σίδηρος,
Ἀτρέμας ἐν βλεφάροισιν:

οὕτω τὸ σῶμα μεστὸν ἦν αὐτοῦ πανταχόθεν ἐγκρατείας, καὶ πάντα ἔχων ὁ λόγος εὐπειθῆ καὶ ὑποχείρια, προσέταττε τοῖς ὄμμασι μὴ δακρύειν, τῇ γλώττῃ μὴ φθέγγεσθαι, τῇ καρδίᾳ μὴ τρέμειν, μηδ' ὑλακτεῖν.

Τῷ δ' αὖτ' ἐν πείσῃ κραδίη μένε τετληυῖα,

μέχρι τῶν ἀλόγων κινημάτων διήκοντος τοῦ λογισμοῦ, καὶ τὸ πνεῦμα καὶ τὸ αἷμα πεποιημένου κατήκοον ἑαυτῷ καὶ χειρόηθες. τοιοῦτοι δὲ καὶ οἱ πολλοὶ τῶν ἑταίρων· τὸ γὰρ ἑλκομένους καὶ προσουδιζομένους ὑπὸ τοῦ Κύκλωπος, μὴ κατειπεῖν τοῦ Ὀδυσσέως, μηδὲ δεῖξαι τὸ πεπυρακτωμένον ἐκεῖνο καὶ παρεσκευασμένον ὄργανον ἐπὶ τὸν ὀφθαλμόν, ἀλλ' ὠμοὺς ἐσθίεσθαι μᾶλλον, ἢ φράσαι τι τῶν ἀποῤῥήτων, ὑπερβολὴν ἐγκρατείας καὶ πίστεως οὐκ ἀπολέλοιπεν. ὅθεν ὁ Πιττακὸς οὐ κακῶς, τοῦ Αἰγυπτίων βασιλέως πέμψαντος ἱερεῖον αὐτῷ, καὶ κελεύσαντος τὸ κάλλιστον καὶ τὸ χείριστον ἐξελεῖν κρέας, ἔπεμψεν ἐξελὼν τὴν γλῶτταν, ὡς ὄργανον μὲν ἀγαθῶν, ὄργανον δὲ τῶν κακῶν τῶν μεγίστων οὖσαν.

IX. Ἡ δ' Εὐριπίδειος Ἰνὼ, παῤῥησίαν ἄγουσα περὶ αὐτῆς, εἰδέναι φησὶ

Σιγᾶν θ' ὅπη δεῖ, καὶ λέγειν ἵν' ἀσφαλές.

οἱ γὰρ εὐγενοῦς καὶ βασιλικῆς τῷ ὄντι παιδείας τυ-

χόντες πρῶτον σιγᾶν, εἶτα λαλεῖν μανθάνουσιν. Ἀντίγονος οὖν ὁ βασιλεὺς ἐκεῖνος, ἐρωτήσαντος αὐτὸν τοῦ υἱοῦ, πηνίκα μέλλουσιν ἀναζευγνύειν· Τί δέδοικας, (εἶπε) μὴ μόνος οὐκ ἀκούσῃς τῆς σάλπιγγος; οὐκ ἄρα φωνὴν ἐπίστευεν ἀπόῤῥητον, ᾧ τὴν βασιλείαν ἀπολείπειν ἔμελλεν· ἐδίδασκε μὲν οὖν αὐτὸν ἐγκρατῶς ἔχειν πρὸς τὰ τοιαῦτα καὶ πεφυλαγμένως. Μέτελλος δὲ ὁ γέρων ἕτερόν τι τοιοῦτο ἐρωτώμενος ἐπὶ στρατείας· Εἰ (φησὶν) ᾤμην τὸν χιτῶνά μοι συνειδέναι τοῦτο τὸ ἀπόῤῥητον, ἀποδυσάμενος ἂν αὐτὸν ἐπὶ πῦρ ἔθηκα. Εὐμένης δ' ἀκούσας ἐπέρχεσθαι Κρατερὸν, οὐδενὶ τῶν φίλων ἔφρασεν, ἀλλ' ἐψεύσατο Νεοπτόλεμον εἶναι· τούτου γὰρ οἱ στρατιῶται κατεφρόνουν, ἐκείνου δὲ καὶ τὴν δόξαν ἐθαύμαζον, καὶ τὴν ἀρετὴν ἠγάπων· ἔγνω δ' οὐδεὶς ἄλλος, ἀλλὰ συμβαλόντες ἐκράτησαν, καὶ ἀπέκτειναν αὐτὸν ἀγνοοῦντες, καὶ νεκρὸν ἐπέγνωσαν. οὕτως ἐστρατήγησεν ἡ σιωπὴ τὸν ἀγῶνα, καὶ τηλικοῦτον ἀνταγωνιστὴν ἀπέκρυψεν· ὥστε τοὺς φίλους αὐτὸν μὴ προειπόντα, θαυμάζειν μᾶλλον, ἢ μέμφεσθαι· κἂν μέμφηταί δέ τις, ἐγκαλεῖσθαι βέλτιόν ἐστι, σωθέντα δι' ἀπιστίαν, ἢ κατηγορεῖν ἀπολλύμενον διὰ τὸ πιστεῦσαι.

X. Τίς δὲ ὅλως ἑαυτῷ παῤῥησίαν ἀπολέλοιπε κατὰ τοῦ μὴ σιωπήσαντος; εἰ γὰρ ἀγνοεῖσθαι τὸν λόγον ἔδει, κακῶς ἐλέχθη πρὸς ἄλλον· εἰ δ' ἀφεὶς ἐκ σεαυτοῦ κατέχεις ἐν ἑτέρῳ τὸ ἀπόῤῥητον, εἰς ἀλλοτρίαν πίστιν καταπέφευγας, τὴν σεαυτοῦ προέμενος· ἂν μὲν ἐκεῖνος ὅμοιός σοι γένηται, δικαίως

ἀπόλωλας· ἂν δὲ βελτίων, σώζῃ παραλόγως, ἕτερον εὑρὼν ὑπὲρ σεαυτοῦ πιστότερον. ἀλλὰ φίλος οὗτος ἐμοί. τούτῳ δὲ ἕτερός τις, ᾧ πιστεύσει καὶ οὗτος, ὡς ἐγὼ τούτῳ· κἀκεῖνος ἄλλῳ πάλιν· εἶτα οὕτως ἐπιγονὴν λαμβάνει καὶ πολλαπλασιασμὸν, εἰρομένης τῆς ἀκρασίας, ὁ λόγος. ὡς γὰρ ἡ μονὰς οὐκ ἐκβαίνει τὸν ἑαυτῆς ὅρον, ἀλλ' ἅπαξ τὸ ἓν μένει, διὸ κέκληται μονάς· ἡ δὲ δυὰς ἀρχὴ διαφορᾶς ἀόριστος· (εὐθὺς γὰρ ἑαυτὴν ἐξίστησι, τῷ διπλασιασμῷ εἰς τὸ πλῆθος τρεπομένη) οὕτω λόγος ἐν τῷ πρώτῳ καταμένων, ἀπόῤῥητος ὡς ἀληθῶς ἐστιν· ἂν δ' εἰς ἕτερον ἐκβῇ, φήμης ἔσχε τάξιν. ἔπεα γὰρ πτερόεντα φησὶν ὁ ποιητής· οὔτε γὰρ πτηνὸν ἐκ τῶν χειρῶν ἀφέντα ῥᾴδιόν ἐστιν αὖθις κατασχεῖν, οὔτε λόγον ἐκ τοῦ στόματος προέμενον, κρατῆσαι καὶ συλλαβεῖν δυνατὸν, ἀλλὰ φέρεται

— λαιψηρὰ κυκλώσας πτερὰ,

δι' ἄλλων ἐπὶ ἄλλους σκιδνάμενος. νεὼς μὲν γὰρ ἁρπαγείσης ὑπὸ πνεύματος ἐπιλαμβάνονται, σπείραις καὶ ἀγκύραις τὸ τάχος ἀμβλύνοντες· τοῦ λόγου δὲ, ὥσπερ ἐκ λιμένων ἐκδραμόντος, οὐκ ἔστιν ὅρμος, οὐδ' ἀγκυροβόλιον, ἀλλὰ ψόφῳ πολλῷ καὶ ἤχῳ φερόμενος, προσέῤῥηξε καὶ κατέδυσεν εἰς μέγαν καὶ δεινόν τινα, τὸν φθεγξάμενον, κίνδυνον.

Μικροῦ γὰρ ἐκ λαμπτῆρος Ἰδαῖον λέπας
Πρήσειεν ἄν τις· καὶ πρὸς ἄνδρ' εἰπὼν ἕνα,
Πύθοιντ' ἂν ἀστοὶ πάντες —.

XI. Ἡ Ῥωμαίων σύγκλητος ἀπόῤῥητόν τινα βουλὴν ἐβουλεύετο καθ' αὑτὴν ἐπὶ πολλὰς ἡμέρας·

ἀσάφειαν δὲ πολλὴν καὶ ὑπόνοιαν ἔχοντος τοῦ πράγματος, γυνὴ τἆλλα σώφρων, γυνὴ δὲ, προσέκειτο τῷ ἑαυτῆς ἀνδρὶ, λιπαρῶς δεομένη πυθέσθαι τὸ ἀπόῤῥητον· ὅρκοι δὲ καὶ κατάραι περὶ σιωπῆς ἐγίγνοντο, καὶ δάκρυα ποτνιωμένης αὐτῆς, ὡς πίστιν οὐκ ἐχούσης. ὁ δὲ Ῥωμαῖος ἐξελέγξαι βουλόμενος αὐτῆς τὴν ἀβελτηρίαν· Νικᾷς, ὦ γύναι· (εἶπεν) ἀλλ᾽ ἄκουε φοβερὸν πρᾶγμα καὶ τεράστιον· προσήγγελται γὰρ ἡμῖν ὑπὸ τῶν ἱερέων, κόρυδον ὦφθαι πετόμενον, κράνος ἔχοντα χρυσοῦν καὶ δόρυ· σκεπτόμεθα δὴ τὸ τέρας, εἴτε χρηστὸν εἴτε φαῦλόν ἐστι, καὶ συνδιαποροῦμεν τοῖς μάντεσιν· ἀλλὰ σιώπα. ταῦτα εἰπὼν, ᾤχετο εἰς τὴν ἀγοράν· ἡ δὲ τῶν θεραπαινίδων μίαν εὐθὺς ἐφελκυσαμένη τὴν πρώτην εἰσελθοῦσαν, ἔπαιε τὸ στῆθος αὐτῆς, καὶ τὰς τρίχας ἐσπάραττεν· Οἴμοι (λέγουσα) τοῦ ἀνδρὸς καὶ τῆς πατρίδος· τί πεισόμεθα; βουλομένη καὶ διδάσκουσα τὴν θεράπαιναν εἰπεῖν· Τί γὰρ γέγονεν; ὡς δ᾽ οὖν πυθομένης διηγήσατο, καὶ προσέθηκε τὸν κοινὸν ἁπάσης ἀδολεσχίας ἐπῳδὸν, τὸ, Ταῦτα μηδενὶ φράσῃς, ἀλλὰ σιώπα· οὐ φθάνει τὸ θεραπαινίδιον ἀποχωρῆσαν αὐτῆς, καὶ τῶν ὁμοδούλων εὐθὺς ἣν μάλιστα εἶδε σχολάζουσαν, ἐμβάλλει τὸν λόγον· ἐκείνη δὲ τῷ ἐραστῇ παραγενομένῳ πρὸς αὐτὴν, ἔφρασεν. οὕτω δ᾽ εἰς ἀγορὰν τοῦ διηγήματος ἐκκυλισθέντος, ὥστε προδραμεῖν τὸν πλασάμενον τὴν φήμην, ἀπαντήσας τις αὐτῷ τῶν γνωρίμων· Ἀρτίως, (εἶπεν) οἴκοθεν εἰς ἀγορὰν καταβαίνεις; Ἀρτίως, ἔφη ἐκεῖνος. Οὐκοῦν οὐδὲν ἀκήκοας; Γέγονε γὰρ

τι καινὸν ἄλλο; Κόρυδος ὦπται πετόμενος, κράνος ἔχων χρυσοῦν καὶ δόρυ, καὶ μέλλουσι περὶ τούτου σύγκλητον ἔχειν οἱ ἄρχοντες. κἀκεῖνος γελάσας· Εὖ τοῦ τάχους, (εἶπεν) ὦ γύναι, τὸ καὶ φθάσαι με τὸν λόγον εἰς ἀγορὰν προϊόντα. τοὺς μὲν οὖν ἄρχοντας ἐντυχὼν ἀπήλλαξε τῆς ταραχῆς· τὴν δὲ γυναῖκα τιμωρούμενος, ὡς οἴκαδε εἰσῆλθεν· Ἀπώλεσάς με, (εἶπεν) ὦ γύναι· τὸ γὰρ ἀπόῤῥητον ἐκ τῆς ἐμῆς οἰκίας πεφώραται δεδημοσιωμένον· ὥςτε μοι φευκτέον ἐςὶ τὴν πατρίδα διὰ τὴν σὴν ἀκρασίαν. τρεπομένης δὲ πρὸς ἄρνησιν αὐτῆς, καὶ λεγούσης· Οὐ γὰρ ταῦτα μετὰ τριακοσίων ἤκουσας; Ποίων (ἔφη) τριακοσίων; σοῦ βιαζομένης, ἐπλασάμην ἀποπειρώμενος. οὗτος μὲν οὖν ἀσφαλῶς πάνυ καὶ μετ' εὐλαβείας, ὥςπερ εἰς ἀγγεῖον σαθρὸν, οὐκ οἶνον, οὐκ ἔλαιον, ἀλλ' ὕδωρ ἐγχέας, ἐπείρασε τὴν γυναῖκα. Φούλβιος δὲ, ὁ Καίσαρος ἑταῖρος τοῦ Σεβαστοῦ, γέροντος ἤδη γεγονότος, ἀκούσας ὀδυρομένου τὴν περὶ τὸν οἶκον ἐρημίαν, καὶ ὅτι, τῶν μὲν δυεῖν θυγατριδῶν αὐτοῦ ἀπολωλότων, Ποστουμίου δὲ, ὃς ἔτι λοιπὸς ἐστιν, ἐκ διαβολῆς τινος ἐν φυγῇ ὄντος, ἀναγκάζεται τὸν τῆς γυναικὸς υἱὸν ἐπεισάγειν τῇ διαδοχῇ τῆς ἡγεμονίας, καίπερ οἰκτείρων καὶ βουλευόμενος ἐκ τῆς ὑπερορίας ἀνακαλεῖσθαι τὸν θυγατριδοῦν· ταῦτα ὁ Φούλβιος ἀκούσας ἐξήνεγκε πρὸς τὴν ἑαυτοῦ γυναῖκα, πρὸς δὲ Λιβίαν ἐκείνη, Λιβία δὲ καθήψατο πικρῶς Καίσαρος, εἰ πάλαι ταῦτα ἐγνωκὼς, οὐ μεταπέμπεται τὸν θυγατριδοῦν, ἀλλ' εἰς ἔχθραν καὶ πόλεμον αὐτὴν τῷ διαδόχῳ τῆς ἀρχῆς καθίστησιν.

ἐλθόντος οὖν ἕωθεν (ὡς εἰώθει) τοῦ Φουλβίου πρὸς αὐτὸν, καὶ εἰπόντος· Χαῖρε, Καῖσαρ· Ὑγίαινε, (εἶπε) Φούλβιε. κἀκεῖνος νοήσας, ᾤχετο εὐθὺς ἀπιὼν οἴκαδε, καὶ τὴν γυναῖκα μεταπεμψάμενος· Ἔγνωκεν (ἔφη) Καῖσαρ, ὅτι τὸ ἀπόῤῥητον οὐκ ἐσιώπησα· καὶ διὰ τοῦτο μέλλω ἀναιρεῖν ἐμαυτόν· ἡ δὲ γυνή· Δικαίως, (εἶπεν) ὅτι μοι τοσοῦτον συνοικῶν χρόνον, οὐκ ἔγνως, οὐδ᾽ ἐφυλάξω τὴν ἀκρασίαν· ἀλλ᾽ ἔασον ἐμὲ προτέραν. καὶ λαβοῦσα τὸ ξίφος, ἑαυτὴν προανεῖλε τοῦ ἀνδρός.

XII. Ὀρθῶς οὖν Φιλιππίδης ὁ κωμῳδοποιὸς, φιλοφρονουμένου τοῦ βασιλέως αὐτὸν Λυσιμάχου (πρὸς ἑαυτὸν) καὶ λέγοντος· Τίνος σοι μεταδῶ τῶν ἐμῶν· Οὗ βούλει, (φησὶ) βασιλεῦ, πλὴν τῶν ἀποῤῥήτων. τῇ δ᾽ ἀδολεσχίᾳ καὶ ἡ περιεργία κακὸν οὐκ ἔλαττον πρόσεστι· πολλὰ γὰρ ἀκούειν θέλουσιν, ἵνα πολλὰ λέγειν ἔχωσι· καὶ μάλιστα τοὺς ἀποῤῥήτους καὶ κεκρυμμένους τῶν λόγων περιϊόντες ἐξιχνεύουσι καὶ ἀνερευνῶσιν, ὥσπερ ὕλην παλαιὰν τινα φορτίων τῇ φλυαρίᾳ παρατιθέμενοι, εἶτα ὥσπερ οἱ παῖδες τὸν κρύσταλλον οὔτε κατέχειν, οὔτε ἀφεῖναι θέλουσι· μᾶλλον δὲ ὥσπερ ἑρπετὰ τοὺς ἀποῤῥήτους λόγους ἐγκολπισάμενοι καὶ συλλαβόντες, οὐ συγκρατοῦσιν, ἀλλὰ διαβιβρώσκονται ὑπ᾽ αὐτῶν. τὰς μὲν γὰρ βελόνας φασὶ ῥήγνυσθαι τικτούσας, καὶ τὰς ἐχίδνας· οἱ δ᾽ ἀπόῤῥητοι λόγοι τοὺς μὴ στέγοντας ἐκπίπτοντες ἀπολλύουσι καὶ διαφθείρουσι. Σέλευκος δ᾽ Καλλίνικος, ἐν τῇ πρὸς Γαλάτας μάχῃ πᾶν ἀποβαλὼν τὸ στράτευμα καὶ τὴν δύναμιν, αὐτὸς δὲ

περισπάσας τὸ διάδημα, καὶ φυγὼν ἵππῳ μετὰ τριῶν ἢ τεττάρων ἀνοδίαις καὶ πλάναις πολὺν δρόμον, ἤδη δι᾽ ἔνδειαν ἀπαγορεύων, ἐπαυλίᾳ τινὶ προσῆλθε, καὶ τὸν δεσπότην αὐτὸν εὑρὼν κατὰ τύχην, ἄρτον καὶ ὕδωρ ᾔτησεν. ὁ δὲ καὶ ταῦτα καὶ τῶν ἄλλων ὅσα παρῆν ἐν τῷ ἀγρῷ, δαψιλῶς ἐπιδιδοὺς καὶ φιλοφρονούμενος, ἐγνώρισε τὸ πρόσωπον τοῦ βασιλέως· καὶ περιχαρὴς γενόμενος τῇ συντυχίᾳ τῆς χρείας, οὐ κατέσχεν, οὐδὲ συνεψεύσατο βουλομένῳ λανθάνειν, ἀλλ᾽ ἄχρι τῆς ὁδοῦ προπέμψας, καὶ ἀπολυόμενος· Ὑγίαινε, (εἶπεν) ὦ βασιλεῦ Σέλευκε. κἀκεῖνος ἐκτείνας τὴν δεξιὰν αὐτῷ καὶ προσελκόμενος ὡς φιλήσων, ἔνευσεν ἑνὶ τῶν μετ᾽ αὐτοῦ, ξίφει τὸν τράχηλον ἀποκόψαι τοῦ ἀνθρώπου·

Φθεγγομένου δ᾽ ἄρα τοῦ γε κάρη κονίῃσιν ἐμίχθη.

εἰ δ᾽ ἐσίγησε τότε, καρτερήσας ὀλίγον χρόνον, εὐτυχήσαντος ὕστερον τοῦ βασιλέως καὶ μεγάλου γενομένου, μείζονας ἄν (οἶμαι) χάριτας ἐκομίσατο ἀντὶ τῆς σιωπῆς, ἢ τῆς φιλοξενίας. οὗτος μὲν οὖν ἁμωσγέπως ἔσχε πρόφασιν τῆς ἀκρασίας, τὴν ἐλπίδα καὶ τὴν φιλοφροσύνην.

XIII. Οἱ δὲ πλεῖστοι τῶν ἀδολέσχων οὐδ᾽ αἰτίαν ἔχοντες, ἀπολλύουσιν αὐτούς. οἷον, ἐν κουρείῳ τινὶ λόγων γινομένων περὶ τῆς Διονυσίου τυραννίδος, ὡς ἀδαμαντίνη καὶ ἄῤῥηκτός ἐστι, γελάσας ὁ κουρεύς· Ταῦτα ὑμᾶς (ἔφη) περὶ Διονυσίου λέγειν, οὗ ἐγὼ παρ᾽ ἡμέρας ὀλίγας ἐπὶ τοῦ τραχήλου τὸ ξυρὸν ἔχω; ταῦτ᾽ ἀκούσας ὁ Διονύσιος ἀνεσταύρωσεν

αὐτόν. ἐπιεικῶς δὲ λάλον ἐστὶ τὸ τῶν κουρέων γένος· οἱ γὰρ ἀδολεσχότατοι προσρέουσι καὶ προσκαθίζουσιν, ὥστε αὐτοὺς ἀναπίμπλασθαι τῆς συνηθείας. χαριέντως γοῦν ὁ βασιλεὺς Ἀρχέλαος, ἀδολέσχου κουρέως περιβαλόντος αὐτῷ τὸ ὠμόλινον, καὶ πυθομένου· Πῶς σε κείρω, βασιλεῦ; Σιωπῶν, ἔφη. κουρεὺς δὲ καὶ τὴν ἐν Σικελίᾳ τῶν Ἀθηναίων μεγάλην κακοπραγίαν ἀπήγγειλε, πρῶτος ἐν Πειραιεῖ πυθόμενος οἰκέτου τινὸς τῶν ἀποδεδρακότων ἐκεῖθεν. εἶτ' ἀφεὶς τὸ ἐργαστήριον, εἰς ἄστυ συνέτεινε δρόμῳ,

Μή τις κῦδος ἄροιτο, — —
τὸν λόγον εἰς τὴν πόλιν ἐμβαλών,
— — ὁ δὲ δεύτερος ἔλθοι.

γενομένης δὲ ταραχῆς, ὡς εἰκὸς, εἰς ἐκκλησίαν ἀθροισθεὶς ὁ δῆμος, ἐπὶ τὴν ἀρχὴν ἐβάδιζε τῆς φήμης. ἤγετο οὖν ὁ κουρεὺς καὶ ἀνεκρίνετο, μηδὲ τοὔνομα τοῦ φράσαντος εἰδὼς, ἀλλ' εἰς ἀνώνυμον καὶ ἄγνωστον ἀναφέρων τὴν ἀρχὴν πρόσωπον. ὀργὴ δὲ καὶ βοὴ τοῦ θεάτρου· Βασάνιζε καὶ στρέβλου τὸν ἀλάστορα· πέπλασται ταῦτα καὶ συντέθειται· τίς δ' ἄλλος ἤκουσε; τίς δ' ἐπίστευσεν; ἐκομίσθη τροχὸς, κατετάθη ὁ ἄνθρωπος. ἐν τούτῳ παρῆσαν οἱ τὴν συμφορὰν ἀπαγγέλλοντες, ἐξ αὐτοῦ τοῦ ἔργου διαπεφευγότες. ἐσκεδάσθησαν οὖν πάντες ἐπὶ τὰ οἰκεῖα πένθη, καταλιπόντες ἐν τῷ τροχῷ τὸν ἄθλιον ἐνδεδεμένον. ὀψὲ δὲ λυθεὶς ἤδη πρὸς ἑσπέραν, ἠρώτα τὸν δημόσιον, εἰ καὶ περὶ Νικίου τοῦ στρατηγοῦ, ὃν τρόπον ἀπόλωλεν, ἀκηκόασιν. οὕτως ἄμα-

χόν τι κακὸν καὶ ἀνουθέτητον ἡ συνήθεια ποιεῖ τὴν ἀδολεσχίαν.

XIV. Καίτοι γε ὥσπερ οἱ τὰ πικρὰ καὶ δυσώδη φάρμακα πιόντες δυσχεραίνουσι καὶ τὰς κύλικας, οὕτως οἱ τὰ κακὰ προσαγγέλλοντες, ὑπὸ τῶν ἀκουόντων δυσχεραίνονται καὶ μισοῦνται. ὅθεν χαριέντως ὁ Σοφοκλῆς διηπόρηκεν·

Ἐν τοῖσιν ὠσίν, ἢ 'πὶ τῇ ψυχῇ, δάκνῃ;
Τί δαί; ῥυθμίζεις τὴν ἐμὴν λύπην, ὅπῃ;
Ὁ δρῶν σ' ἀνιᾷ τὰς φρένας, τὰ δ' ὦτ' ἐγώ.

λυποῦσι δ' οὖν, ὥσπερ οἱ δρῶντες, καὶ οἱ λέγοντες, ἀλλ' ὅμως οὐκ ἔστι γλώσσης ῥεούσης ἐπίσχεσις, οὐδὲ κολασμός. ἐν Λακεδαίμονι τῆς Χαλκιοίκου τὸ ἱερὸν ὤφθη σεσυλημένον, καὶ κειμένη ἔνδον κενὴ λάγηνος· ἦν οὖν ἀπορία πολλῶν συνδεδραμηκότων· καί τις τῶν παρόντων· Εἰ βούλεσθε, (εἶπεν) ἐγὼ φράσω ὑμῖν, ὅ μοι παρίσταται περὶ τῆς λαγήνου. νομίζω γάρ, (ἔφη) τοὺς ἱεροσύλους ἐπὶ τηλικοῦτον ἐλθεῖν κίνδυνον, κώνειον ἐμπιόντας, καὶ κομίζοντας οἶνον· ἵνα, εἰ μὲν αὐτοῖς λαθεῖν ἐγγένοιτο, τῷ ἀκράτῳ ποθέντι σβέσαντες καὶ διαλύσαντες τὸ φάρμακον, ἀπέλθοιεν ἀσφαλῶς· εἰ δ' ἁλίσκοιντο, πρὸ τῶν βασάνων ὑπὸ τοῦ φαρμάκου ῥᾳδίως καὶ ἀνωδύνως ἀποθάνοιεν. ταῦτ' εἰπόντος αὐτοῦ, τὸ πρᾶγμα πλοκὴν ἔχον καὶ περινόησιν τοσαύτην, οὐχ ὑπονοοῦντος, ἀλλ' εἰδότος ἐφαίνετο· καὶ περιστάντες αὐτὸν ἀνέκρινον ἀλλαχόθεν ἄλλος· Τίς εἶ; καὶ τίς σε οἶδε; καὶ πόθεν ἐπίστασαι ταῦτα; καὶ τὸ πέρας ἐλεγχόμενος οὕτως, ὡμολόγησεν εἷς εἶναι τῶν ἱερο-

σύλων. οἱ δ' Ἴβυκον ἀποκτείναντες οὐχ οὕτως ἑάλωσαν, ἐν θεάτρῳ καθήμενοι; καὶ γεράνων παραφανεισῶν, ἅμα γέλωτι πρὸς ἀλλήλους ψιθυρίζοντες, ὡς αἱ Ἰβύκου ἔκδικοι πάρεισιν. ἀκούσαντες γὰρ οἱ καθεζόμενοι πλησίον, ἤδη πολὺν χρόνον τοῦ Ἰβύκου ὄντος ἀφανοῦς καὶ ζητουμένου, ἐπελάβοντο τῆς φωνῆς, καὶ προσήγγειλαν τοῖς ἄρχουσιν· ἐλεγχθέντες δὲ οὕτως, ἀπήχθησαν, οὐχ ὑπὸ τῶν γεράνων κολασθέντες, ἀλλ' ὑπὸ τῆς αὐτῶν γλωσσαλγίας, ὥσπερ ἐριννύας ἢ ποινῆς, βιασθέντες ἐξαγορεῦσαι τὸν φόνον. ὡς γὰρ ἐν τῷ σώματι πρὸς τὰ πεπονθότα μέρη καὶ ἀλγοῦντα γίνεται φορὰ καὶ ὁλκὴ τῶν πλησίον, οὕτως ἡ γλῶττα τῶν ἀδολέσχων, ἀεὶ φλεγμονὴν ἔχουσα καὶ σφυγμὸν, ἕλκει τι καὶ συνάγει τῶν ἀποῤῥήτων καὶ κεκρυμμένων ἐφ' ἑαυτήν. διὸ δεῖ πεφράχθαι, καὶ τὸν λογισμὸν, ὡς πρόβολον, ἐμποδὼν ἀεὶ τῇ γλώττῃ κείμενον, ἐπισχεῖν τὸ ῥεῦμα καὶ τὸν ὄλισθον αὐτῆς· ἵνα μὴ τῶν χηνῶν ἀφρονέστεροι εἶναι δοκῶμεν, οὕς φασιν, ὅταν ὑπερβάλλωσιν ἐκ Κιλικίας τὸν Ταῦρον ἀετῶν ὄντα μεστὸν, εἰς τὸ στόμα λαμβάνειν εὐμεγέθη λίθον, ὥσπερ κλεῖθρον ἢ χαλινὸν ἐμβάλλοντας τῇ φωνῇ, καὶ νυκτὸς οὕτως ὑπερφέρεσθαι λανθάνοντας.

XV. Εἰ τοίνυν ἔροιτό τις τὸν κάκιστον ὅστις ἐστὶ καὶ τὸν ἐξωλέστατον, οὐδεὶς ἂν ἄλλον εἴποι, ἢ τὸν προδότην παρελθών. Εὐθυκράτης μὲν οὖν ἔρεψε τὴν οἰκίαν τοῖς ἐκ Μακεδονίας ξύλοις, ὥς φησι Δημοσθένης· Φιλοκράτης δὲ χρυσίον πολὺ λαβὼν, πόρνας καὶ ἰχθῦς ἠγόραζεν· Εὐφόρβῳ δὲ καὶ Φι-

λάγρῳ, τοῖς Ἐρέτριαν προδοῦσι, χώραν ὁ βασιλεὺς ἔδωκεν. ὁ δ' ἀδόλεσχος ἄμισθός ἐστι προδότης, καὶ αὐτεπάγγελτος, οὐχ ἵππους, οὐδὲ τείχη προδιδοὺς, ἀλλὰ λόγους ἐκφέρων ἀποῤῥήτους, ἐν δίκαις, ἐν στάσεσιν, ἐν διαπολιτείαις, μηδενὸς αὐτῷ χάριν ἔχοντος· ἀλλ' ἂν αὐτὸς ἀκούηται, προσοφείλων χάριν. ὥστε τὸ λελεγμένον πρὸς τὸν εἰκῇ καὶ ἀκρίτως ἐκχέοντα τὰ ἑαυτοῦ καὶ καταχαριζόμενον·

Οὐ φιλάνθρωπος σύ γ' ἐσσ', ἔχεις νόσον,
Χαίρεις διδοὺς, —

ἐναρμόττει καὶ πρὸς τὸν φλυαρόν· Οὐ φίλος εἶ σὺ ταῦτα μηνύων, οὐδ' εὔνους· ἔχεις νόσον, χαίρεις λαλῶν καὶ φλυαρῶν.

XVI. Ταῦτα δ' οὐ κατηγορίαν ἡγητέον, ἀλλ' ἰατρείαν τῆς ἀδολεσχίας· τῶν γὰρ παθῶν κρίσει καὶ ἀσκήσει περιγινόμεθα, πρότερον δὲ ἡ κρίσις ἐστίν. οὐδεὶς γὰρ ἐθίζεται φεύγειν καὶ ἀποτρίβεσθαι τῆς ψυχῆς, ὃ μὴ δυσχεραίνει. δυσχεραίνομεν δὲ τὰ πάθη, ὅταν τὰς βλάβας καὶ τὰς αἰσχύνας τὰς ἀπ' αὐτῶν τῷ λόγῳ κατανοήσωμεν. ὥσπερ νῦν κατανοοῦμεν ἐπὶ τῶν ἀδολέσχων, ὅτι φιλεῖσθαι βουλόμενοι, μισοῦνται· χαρίζεσθαι θέλοντες, ἐνοχλοῦσι· θαυμάζεσθαι δοκοῦντες, καταγελῶνται· κερδαίνοντες οὐδὲν, ἀναλίσκουσιν· ἀδικοῦσι τοὺς φίλους, ὠφελοῦσι τοὺς ἐχθροὺς, ἑαυτοὺς ἀπολλύουσιν. ὥστε τοῦτο πρῶτον ἴαμα καὶ φάρμακόν ἐστι τοῦ πάθους, ὁ τῶν ἀπ' αὐτοῦ γινομένων αἰσχρῶν καὶ ὀδυνηρῶν ἐπιλογισμός.

XVII. Δευτέρῳ δὲ χρηστέον ἐπιλογισμῷ, τῷ τῶν

ἐναντίων, ἀκούοντας ἀεὶ καὶ μεμνημένους, καὶ πρόχειρα ἔχοντας τὰ τῆς ἐχεμυθίας ἐγκώμια, καὶ τὸ σεμνὸν καὶ τὸ ἅγιον καὶ τὸ μυστηριῶδες τῆς σιωπῆς, καὶ ὅτι θαυμάζονται μᾶλλον καὶ ἀγαπῶνται καὶ σοφώτεροι δοκοῦσι τῶν ἐξηνίων τούτων καὶ φερομένων, οἱ στρογγύλοι καὶ βραχυλόγοι, καὶ ὧν πολὺς νοῦς ἐν ὀλίγῃ λέξει συνέσταλται. καὶ γὰρ Πλάτων τοὺς τοιούτους ἐπαινεῖ, δεινοῖς ἀκοντισταῖς ἐοικέναι λέγων, οὖλα καὶ πυκνὰ καὶ συνεστραμμένα φθεγγομένους. καὶ ὁ Λυκοῦργος εἰς ταύτην τὴν δεινότητα τοὺς πολίτας εὐθὺς ἐκ παίδων τῇ σιωπῇ πιέζων, συνῆγε καὶ κατεπύκνου. καθάπερ γὰρ οἱ Κελτίβηρες ἐκ τοῦ σιδήρου τὸ στόμωμα ποιοῦσιν, ὅταν κατορύξαντες εἰς τὴν γῆν τὸ πολὺ καὶ τὸ γεῶδες ἀποκαθάρωσιν, οὕτως ὁ Λακωνικὸς λόγος οὐκ ἔχει φλοιὸν, ἀλλ' εἰς αὐτὸ τὸ δραστήριον ἀφαιρέσει τοῦ περιττοῦ διωκόμενος στομοῦται· τὸ γὰρ ἀποφθεγματικὸν αὐτοῖς τοῦτο, καὶ τὸ μετ' εὐστροφίας ὀξὺ πρὸς τὰς ἀπαντήσεις, ἐκ τῆς πολλῆς περιγίνεται σιωπῆς. καὶ δεῖ τὰ τοιαῦτα μάλιστα τοῖς ἀδολέσχοις προβάλλειν, ὅσην χάριν ἔχει καὶ δύναμιν· οἷόν ἐστι τό· Λακεδαιμόνιοι Φιλίππῳ· Διονύσιος ἐν Κορίνθῳ. καὶ πάλιν γράψαντος αὐτοῖς τοῦ Φιλίππου· Αἰ ἐμβάλλω εἰς τὴν Λακωνικὴν, ἀναστάτους ὑμᾶς ποιήσω· ἀντέγραψαν· Αἴκα. Δημητρίου δὲ τοῦ βασιλέως ἀγανακτοῦντος, καὶ βοῶντος· Ἕνα πρὸς ἐμὲ Λακεδαιμόνιοι πρεσβευτὴν ἔπεμψαν· οὐ καταπλαγεὶς ὁ πρεσβευτής· Ἕνα (εἶπε) ποτὶ ἕνα. θαυμάζονται δὲ καὶ τῶν παλαιῶν οἱ βραχυλόγοι, καὶ

τῷ ἱερῷ τοῦ Πυθίου Ἀπόλλωνος οὐ τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν, οὐδὲ τοὺς Πινδάρου παιᾶνας, ἐπέγραψαν οἱ Ἀμφικτυόνες· ἀλλὰ τὸ Γνῶθι σαυτὸν, καὶ τὸ Μηδὲν ἄγαν, καὶ τὸ Ἐγγύα, πάρα δ᾽ ἄτα. θαυμάσαντες τῆς λέξεως τὸ εὔογκον καὶ τὸ λιτὸν, ἐν βραχεῖ σφυρήλατον νοῦν περιεχούσης. αὐτὸς δὲ ὁ θεὸς οὐ φιλοσύντομός ἐστι καὶ βραχυλόγος ἐν τοῖς χρησμοῖς; καὶ Λοξίας καλεῖται διὰ τὸ φεύγειν τὴν ἀδολεσχίαν μᾶλλον, ἢ τὴν ἀσάφειαν. οἱ δὲ συμβολικῶς ἄνευ φωνῆς, ἃ δεῖ, φράζοντες οὐκ ἐπαινοῦνται καὶ θαυμάζονται διαφερόντως; ὡς Ἡράκλειτος, ἀξιούντων αὐτὸν τῶν πολιτῶν γνώμην τινὰ εἰπεῖν περὶ ὁμονοίας, ἀναβὰς ἐπὶ τὸ βῆμα, καὶ λαβὼν ψυχροῦ κύλικα, καὶ τῶν ἀλφίτων ἐπιπάσας, καὶ τῷ γλήχωνι κινήσας, ἐκπιὼν ἀπῆλθεν· ἐνδειξάμενος αὐτοῖς, ὅτι τὸ τοῖς τυχοῦσιν ἀρκεῖσθαι, καὶ μὴ δεῖσθαι τῶν πολυτελῶν, ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διατηρεῖ τὰς πόλεις. Σκιλοῦρος δὲ καταλιπὼν ὀγδοήκοντα παῖδας, ὁ Σκυθῶν βασιλεὺς, ᾔτησε δέσμην δορατίων, ὅτε ἀπέθνησκε, καὶ λαβόντας ἐκέλευσε καταθραῦσαι καὶ κατεάξαι συνδεδεμένην καὶ ἀθρόαν· ὡς δ᾽ ἀπεῖπον, αὐτὸς ἕλκων ἓν καθ᾽ ἓν, πάντα ῥαδίως διέκλασε· τὴν συμφωνίαν αὐτῶν καὶ τὴν ὁμόνοιαν ἰσχυρὸν ἀποφαίνων καὶ δυσκαθαίρετον, ἀσθενὲς δὲ τὴν διάλυσιν καὶ οὐ μόνιμον.

XVIII. Εἰ δὴ ταῦτα καὶ τὰ τοιαῦτα συνεχῶς τις εἴποι καὶ ἀναλαμβάνοι, παύσαιτ᾽ ἂν ἴσως ἡδόμενος τῷ φλυαρεῖν. ἐμὲ δὲ κἀκεῖνος ὁ οἰκέτης εὖ μάλα δυσωπεῖ, τὸ προσέχειν τῷ λόγῳ, καὶ κρατεῖν πρααι-

ρέσεως, ἡλίκον ἐστὶν ἐνθυμούμενον. Πούπλιος Πείσων ὁ ῥήτωρ, μὴ βουλόμενος ἐνοχλεῖσθαι, προσέταξε τοῖς οἰκέταις πρὸς τὰ ἐρωτώμενα λαλεῖν, καὶ μηδὲν πλέον. εἶτα Κλώδιον ἄρχοντα δεξιώσασθαι βουλόμενος, ἐκέλευσε κληθῆναι, καὶ παρεσκευάσατο λαμπρὰν (ὡς εἰκὸς) ἑστίασιν· ἐνστάσης δὲ τῆς ὥρας, οἱ μὲν ἄλλοι παρῆσαν, ὁ δὲ Κλώδιος προσεδοκᾶτο· καὶ πολλάκις ἔπεμψε τὸν εἰωθότα καλεῖν οἰκέτην, ἐπισκεψόμενον, εἰ πρόσεισιν· ὡς δ' ἦν ἑσπέρα, καὶ ἀπέγνωστο· Τί δέ; (ἔφη πρὸς τὸν οἰκέτην) ἐκάλεσας αὐτόν; Ἔγωγε, εἶπε. Διὰ τί οὖν οὐκ ἀφῖκται; κἀκεῖνος· Ὅτι ἠρνήσατο. Πῶς οὖν οὐκ εὐθὺς ἔφρασας; Ὅτι τοῦτό με οὐκ ἠρώτησας. οὕτως μὲν Ῥωμαϊκὸς οἰκέτης. ὁ δ' Ἀττικὸς ἐρεῖ τῷ δεσπότῃ σκάπτων, ἐφ' οἷς γεγόνασιν αἱ διαλύσεις. οὕτως μέγα πρὸς πάντα ὁ ἐθισμός ἐστι· καὶ περὶ τούτου γ' ἤδη λέγωμεν.

XIX. Οὐ γάρ ἐστιν ὡς χαλινῶν ἐφαψαμένους, ἐπισχεῖν τὸν ἀδολέσχην, ἀλλ' ἔθει δεῖ κρατῆσαι τοῦ νοσήματος. πρῶτον μὲν οὖν ἐν ταῖς τῶν πέλας ἐρωτήσεσι σαυτὸν ἔθιζε σιωπᾶν, μέχρις οὗ πάντες ἀπείπωνται τὴν ἀπόκρισιν.

Οὐ γάρ τι βουλῆς ταυτὸ καὶ δρόμου τέλος,

ὥς φησιν ὁ Σοφοκλῆς, οὐδέ γε φωνῆς καὶ ἀποκρίσεως· ἀλλ' ἐκεῖ μὲν ἡ νίκη τοῦ φθάσαντός ἐστιν, ἐνταῦθα δὲ, ἐὰν μὲν ἱκανῶς ἕτερος ἀποκρίνηται, καλῶς ἔχει συνεπαινέσαντα καὶ συνεπιψηφίσαντα, δόξαν εὐμενοῦς ἀνθρώπου λαβεῖν· ἐὰν δὲ μὴ, τότε καὶ διδάξαι τὸ ἠγνοημένον, καὶ ἀναπληρῶσαι τὸ ἐλ-

λεῖπον, ἀνεπίφθονον καὶ οὐκ ἄκαιρόν ἐστι. μάλιστα δὲ φυλάττωμεν ἑαυτοὺς, ὅπως μὴ, ἑτέρου τινὸς ἐρωτηθέντος, αὐτοὶ προλαμβάνωμεν ὑποφθάνοντες τὴν ἀπόκρισιν. ἴσως μὲν γὰρ, οὐδ' ἄλλο τι καλῶς ἔχον ἐστὶν, αἰτηθέντος ἑτέρου, παρωσαμένους ἐκεῖνον, αὐτοὺς ἐπαγγέλλεσθαι· δόξομεν γὰρ ἅμα καὶ τοῦτον, ὡς παρασχεῖν, ὃ αἰτεῖται, μὴ δυνάμενον, κἀκεῖνον, ὡς αἰτεῖν, παρ' ὧν δύναται λαβεῖν, οὐκ ἐπιστάμενον, ὀνειδίζειν· μάλιστα δὲ ὕβριν φέρει περὶ τὰς ἀποκρίσεις ἡ τοιαύτη προπέτεια καὶ θρασύτης. συνεμφαίνει γὰρ ὁ φθάνων ἐν τῷ ἀποκρίνασθαι τὸν ἐρωτώμενον, τὸ, τί τούτου δέῃ; καὶ τί οὗτος οἶδε; κἀμοῦ παρόντος, περὶ τούτων οὐδένα δεῖ ἄλλον ἐρωτᾷν. καίτοι πολλάκις τινὰς ἐρωτῶμεν, οὐ τοῦ λόγου δεόμενοι, φωνὴν δέ τινα καὶ φιλοφροσύνην ἐκκαλούμενοι παρ' αὐτῶν, καὶ προσαγαγεῖν εἰς ὁμιλίαν ἐθέλοντες, ὡς Σωκράτης Θεαίτητον καὶ Χαρμίδην. ὅμοιον οὖν τῷ τὸν ὑφ' ἑτέρου βουλόμενον φιληθῆναι, προσδραμόντα φιλεῖν αὐτὸν, ἢ τὸν ἑτέρῳ προσβλέποντα, μεταστρέφειν εἰς ἑαυτὸν, τὸ προλαμβάνειν τὰς ἀποκρίσεις, καὶ τὰ ὦτα μετάγειν, καὶ τὴν διάνοιαν ἕλκειν, καὶ ἀποστρέφειν πρὸς ἑαυτόν· ὅπου, κἂν ἀπείπηται τὸν λόγον ὁ αἰτηθεὶς, ἐπισχόντα καλῶς ἔχει, καὶ πρὸς τὸ βουλόμενον τοῦ ἐρωτῶντος ἁρμοζόμενον ὡς ἐπὶ κλῆσιν ἀλλοτρίαν τὴν ἀπόκρισιν, αἰδημόνως καὶ κοσμίως ἀπαντᾷν. καὶ γὰρ οἱ μὲν ἐρωτηθέντες, ἂν σφαλῶσιν ἐν τῷ ἀποκρίνασθαι, συγγνώμης δικαίως τυγχάνουσιν· ὁ δ' αὐθαιρέτως ὑποστὰς καὶ προλαμβάνων τὸν λόγον, ἀηδὴς μὲν

ἔστι καὶ κατορθῶν, διαμαρτάνων δὲ, παντάπασιν ἐπίχαρτος γίνεται καὶ καταγέλαστος.

XX. Δεύτερον τοίνυν ἄσκημα πρὸς τὰς ἰδίας ἀποκρίσεις ἐστὶν, αἷς οὐχ ἥκιστα δεῖ προσέχειν τὸν ἀδολέσχην· πρῶτον μὲν, ἵνα μὴ λάθῃ τοῖς ἐπὶ γέλωτι καὶ ὕβρει προκαλουμένοις εἰς λόγους αὐτὸν ἀποκρινόμενος μετὰ σπουδῆς. ἔνιοι γὰρ οὐθὲν δεόμενοι, διατριβῆς δὲ καὶ παιδιᾶς ἕνεκα συνθέντες τινὰς ἐρωτήσεις, προσβάλλουσι τοῖς τοιούτοις, καὶ ἀνακινοῦσιν αὐτοῖς τὸν λῆρον· ὃ δεῖ φυλάττεσθαι, καὶ μὴ ταχὺ τῷ λόγῳ, μηδ' ὥσπερ χάριν ἔχοντας ἐπιπηδᾷν, ἀλλὰ καὶ τὸν τρόπον τοῦ πυνθανομένου σκοπεῖν καὶ τὴν χρείαν. ὅταν δὲ φαίνηται τῷ ὄντι βουλόμενος μαθεῖν, ἐθιστέον ἐφιστάναι, καὶ ποιεῖν τι διάλειμμα μεταξὺ τῆς ἐρωτήσεως καὶ τῆς ἀποκρίσεως· ἐν ᾧ προσθεῖναι μὲν ὁ ἐρωτῶν, εἴ τι βούλεται, δύναται, σκέψασθαι δ' αὐτὸς, περὶ ὧν ἀποκρινεῖται, καὶ μὴ κατατρέχειν, μηδὲ καταχωννύναι τὴν ἐρώτησιν, ἔτι πυνθανομένοις πολλάκις, ὑπὸ σπουδῆς ἄλλας ἀντ' ἄλλων ἀποκρίσεις διδόντα. ἡ μὲν γὰρ Πυθία καὶ πρὸ ἐρωτήσεως αὐθωρὶ χρησμούς εἴωθε τινὰς ἐκφέρειν· ὁ γὰρ θεὸς, ᾧ λατρεύει,

Καὶ κωφοῦ ξυνίησι, καὶ οὐ λαλέοντος ἀκούει.

τὸν δὲ βουλόμενον ἐμμελῶς ἀποκρίνασθαι, δεῖ τὴν διάνοιαν ἀναμεῖναι, καὶ τὴν προαίρεσιν ἀκριβῶς καταμαθεῖν τοῦ πυνθανομένου· μὴ γένηται τὸ κατὰ τὴν παροιμίαν·

Ἄμας ἀπῄτουν, οἱ δ' ἀπηρνοῦντο σκάφας.

ἄλλως δὲ τὸ λάβρον τοῦτο καὶ πρὸς τοὺς λόγους ἀδη-

κεῖνον ἀνακρουστέον· ἵνα μὴ δοκῇ καθάπερ ῥεῦμα τῇ γλώττῃ πάλαι προσιστάμενον, ἀσμένως ὑπὸ τῆς ἐρωτήσεως ἐξαίρεσθαι. καὶ γὰρ ὁ Σωκράτης οὕτως ἐκόλουε τὴν δίψαν, οὐκ ἐφιεὶς ἑαυτῷ πιεῖν μετὰ γυμνάσιον, εἰ μὴ τὸν πρῶτον ἐκχέαι κάδον ἀνιμήσας, ὅπως ἐθίζηται τὸν τοῦ λόγου καιρὸν ἀναμένειν τὸ ἄλογον.

XXI. Ἔστι τοίνυν τρία γένη τῶν πρὸς τὰς ἐρωτήσεις ἀποκρίσεων· τὸ μὲν ἀναγκαῖον, τὸ δὲ φιλάνθρωπον, τὸ δὲ περισσόν. οἷον πυθομένου τινὸς, εἰ Σωκράτης ἔνδον, ὁ μὲν, ὥσπερ ἄκων καὶ ἀπροθύμως, ἀποκρίνεται τό· Οὐκ ἔνδον· ἐὰν δὲ βούληται λακωνίζειν, καὶ τὸ ἔνδον ἀφελὼν, αὐτὴν μόνην φθέγξεται τὴν ἀπόφασιν· ὡς ἐκεῖνοι, Φιλίππου γράψαντος, εἰ δέχονται τῇ πόλει αὐτὸν, εἰς χάρτην ΟΥ μέγα γράψαντες ἀπέστειλαν. ὁ δὲ φιλανθρωπότερον ἀποκρίνεται· Οὐκ ἔνδον, ἀλλ' ἐπὶ ταῖς τραπέζαις· κἂν βούληται προσεπιμετρῆσαι· ξένους τινὰς ἐκεῖ περιμένων. ὁ δὲ περιττὸς καὶ ἀδολέσχης, ἄν γε δὴ τύχῃ καὶ τὸν Κολοφώνιον ἀνεγνωκὼς Ἀντίμαχον· Οὐκ ἔνδον, (φησὶν) ἀλλ' ἐπὶ ταῖς τραπέζαις, ξένους ἀναμένων Ἴωνας, ὑπὲρ ὧν αὐτῷ γέγραφεν Ἀλκιβιάδης περὶ Μίλητον ὢν, καὶ παρὰ Τισσαφέρνῃ διατρίβων, τῷ τοῦ μεγάλου σατράπῃ βασιλέως, ὃς πάλαι μὲν ἐβοήθει Λακεδαιμονίοις, νῦν δὲ προστίθεται δι' Ἀλκιβιάδην Ἀθηναίοις· ὁ γὰρ Ἀλκιβιάδης ἐπιθυμῶν κατελθεῖν εἰς τὴν πατρίδα, τὸν Τισσαφέρνην μετατίθησι. καὶ ὅλως τὴν ὀγδόην Θουκυδίδου καταστειράμενος ἐρεῖ, καὶ κατακλύσει τὸν ἄνθρωπον,

ἕως φθάσῃ καὶ Μίλητος ἐκπολεμωθεῖσα, καὶ φυγαδευθεὶς τὸ δεύτερον Ἀλκιβιάδης. μάλιστα δὲ περὶ τοῦτο δεῖ τὴν ἀδολεσχίαν συνέχειν, ὥσπερ εἰς ἴχνος ἐμβιβάζοντα τὴν ἐρώτησιν, καὶ ὡς κέντρῳ καὶ διαστήματι τῇ χρείᾳ τοῦ πυνθανομένου περιγράψαντα τὴν ἀπόκρισιν. Καρνεάδην μὲν γάρ, οὔπω μεγάλην ἔχοντα τὴν δόξαν, ἐν τῷ γυμνασίῳ διαλεγόμενον, πέμψας ὁ γυμνασίαρχος, ἐκέλευσεν ὑφεῖναι τὸ μέγεθος τῆς φωνῆς· (ἦν γὰρ μεγαλοφωνότατος) εἰπόντος δ᾽ ἐκείνου· Δός μοι μέτρον φωνῆς· οὐ φαύλως ὑπέτυχε· Δίδωμι τὸν προσδιαλεγόμενον. τῷ δ᾽ ἀποκρινομένῳ μέτρον ἔστω ἡ τοῦ ἐρωτῶντος βούλησις.

XXII. Καὶ μὴν ὥσπερ ὁ Σωκράτης ἐκέλευε φυλάττεσθαι τῶν σιτίων ὅσα μὴ πεινῶντας ἀναπείθει ἐσθίειν, καὶ τῶν πομάτων ὅσα πίνειν μὴ διψῶντας, οὕτω χρὴ καὶ τῶν λόγων τὸν ἀδολέσχην, οἷς ἥδεται μάλιστα καὶ κέχρηται κατακόρως, τούτους φοβεῖσθαι, καὶ πρὸς τούτους ἐπιῤῥέοντας ἀντιβαίνειν. οἷον οἱ στρατιωτικοὶ πολέμων εἰσὶ διηγηματικοί· καὶ τὸν Νέστορα ὁ ποιητὴς τοιοῦτον εἰσάγει, τὰς αὑτοῦ πολλάκις ἀριστείας καὶ πράξεις διηγούμενον. ἐπιεικῶς δὲ καὶ τοῖς περὶ δίκας εὐτυχήσασιν, ἢ παρ᾽ ἡγεμόσι καὶ βασιλεῦσιν ἀπροσδοκήτως εὐημερήσασιν, ὥσπερ νόσημά τι, προσπίπτει καὶ παρακολουθεῖ τὸ μεμνῆσθαι καὶ διηγεῖσθαι πολλάκις, ὃν τρόπον εἰσῆλθον, προσήχθησαν, ἠγωνίσαντο, διελέχθησαν, ἐξήλεγξαν ἀντιδίκους τινὰς ἢ κατηγόρους, ἐπῃνέθησαν. πολλῷ γάρ ἐστιν ἡ χαρὰ τῆς κωμικῆς ἐκείνης ἀγρυπνίας λαλίστερον, ἀναῤῥιπίζουσα πολλάκις

ἑαυτὴν, καὶ πρόσφατον ποιοῦσα τοῖς διηγήμασιν. ὅθεν ὀλισθηροὶ πρὸς τοὺς τοιούτους τῶν λόγων εἰσὶν ἐκ πάσης προφάσεως. οὐ γὰρ μόνον,

Ὅπου τις ἀλγεῖ, κεῖθι καὶ τὴν χεῖρ᾽ ἔχει,

ἀλλὰ καὶ τὸ ἡδόμενον ἔχει τὴν φωνὴν ἐν ἑαυτῷ, καὶ περιάγει τὴν γλῶτταν, ἐπερείδειν ἀεὶ τῇ μνήμῃ βουλόμενον. οὕτω καὶ τοῖς ἐρωτικοῖς ἡ πλείστη διατριβὴ περὶ λόγους μνήμην τινὰ τῶν ἐρωμένων ἀναδιδόντας· οἵ γε κἂν μὴ πρὸς ἀνθρώπους, πρὸς ἄψυχα περὶ αὐτῶν διαλέγονται·

Ὦ φιλτάτη κλίνη, —— καὶ

Βακχὶς θεόν σ᾽ ἐνόμισεν, εὐδαῖμον λύχνε·

Καὶ τῶν θεῶν μέγιστος, εἰ ταύτῃ δοκεῖς.

ἔστι μὲν οὖν ἀτεχνῶς ἡ λευκὴ στάθμη πρὸς τοὺς λόγους ὁ ἀδόλεσχος· οὐ μὴν ἀλλὰ μᾶλλον ἑτέρων ἑτέροις προςπεπονθὼς, ὀφείλει τούτους φυλάττεσθαι, καὶ ἀνέχειν ἑαυτὸν ἀπὸ τούτων καὶ ἀνακρούειν, ὡς πορρωτάτω προαγαγεῖν καὶ ἀπομηκῦναι ἀεὶ δι᾽ ἡδονὴν δυναμένων. τὸ δ᾽ αὐτὸ τοῦτο καὶ πρὸς τοὺς λόγους ἐκείνους πεπόνθασιν, ἐν οἷς κατ᾽ ἐμπειρίαν ἢ ἕξιν τινὰ τῶν ἄλλων διαφέρειν νομίζουσι. φίλαυτος γὰρ ὢν καὶ φιλόδοξος ὁ τοιοῦτος·

Νέμει τὸ πλεῖστον ἡμέρας τούτῳ μερος,

Ἵν᾽ αὐτὸς αὑτοῦ τυγχάνῃ κράτιστος ὤν·

ἐν ἱστορίαις, ὁ ἀναγνωστικός· ἐν τεχνολογίαις, ὁ γραμματικός· ἐν διηγήμασι ξενικοῖς, ὁ πολλὴν χώραν ἐπεληλυθὼς καὶ πεπλανημένος. ὥστε καὶ ταῦτα δεῖ φυλάττεσθαι· δελεαζομένη γὰρ ὑπ᾽ αὐτῶν ἡ ἀδολεσχία, καθάπερ ζῶον ἐπὶ νομὰς συνήθεις πρό-

εἰσι. θαυμαστὸς δὲ ὁ Κῦρος, ὅτι καὶ τὰς ἁμίλλας ἐποιεῖτο πρὸς τοὺς ἥλικας, οὐκ ἐν οἷς κρείττων, ἀλλ' ἐν οἷς ἀπειρότερος ἦν ἐκείνων, εἰς ταῦτα προκαλούμενος· ἵνα μήτε λυπῇ παρευδοκιμῶν, καὶ μανθάνων ὠφελῆται. ὁ δ' ἀδολέσχης τοὐναντίον, ἂν μέν τις ἐμπέσῃ λόγος, ἐξ οὗ μαθεῖν τι δύναται καὶ πυθέσθαι τῶν ἀγνοουμένων, τοῦτον ἐξωθεῖ καὶ ἐκκρούει, μισθὸν αὐτῷ δοῦναι μικρὸν τῷ σιωπῆσαι μὴ δυνάμενος· εἰς δὲ τὰς ἑώλους καὶ πολυπατήτους κύκλῳ περιϊὼν εἰσελαύνει ῥαψῳδίας τὸν λόγον· ὡς τῶν παρ' ἡμῖν τις κατὰ τύχην ἀνεγνωκὼς δύο τῶν Ἐφόρου βιβλίων, ἢ τρία, πάντας ἀνθρώπους κατέτριβε, καὶ πᾶν ἀνάστατον ἐποίει συμπόσιον, ἀεὶ τὴν ἐν Λεύκτροις μάχην καὶ τὰ συνεχῆ διηγούμενος· ὅθεν Ἐπαμινώνδας παρωνύμιον ἔσχεν.

XXIII. Οὐ μὴν ἀλλὰ τοῦτό γε τῶν κακῶν ἐλάχιστόν ἐστι, καὶ δεῖ παρατρέπειν εἰς ταῦτα τὴν ἀδολεσχίαν· ἧττον γὰρ ἀηδὲς ἔσται τὸ λάλον ἐν τῷ φιλολόγῳ πλεονάζον. ἐθιστέον δὲ καὶ γράφειν τι τοὺς τοιούτους, καὶ διαλέγεσθαι κατ' ἰδίαν. ὁ μὲν γὰρ Στωϊκὸς Ἀντίπατρος, ὡς ἔοικε, μὴ δυνάμενος μηδὲ βουλόμενος ὁμόσε χωρεῖν τῷ Καρνεάδῃ μετὰ πολλοῦ ῥεύματος εἰς τὴν Στοὰν φερομένῳ, γράφων δὲ καὶ πληρῶν τὰ βιβλία τῶν πρὸς αὐτὸν ἀντιλογιῶν, καλαμοβόας ἐπεκλήθη· τὸν δ' ἀδολέσχην ἴσως ἂν ἡ πρὸς τὸ γράφειν σκιαμαχία καὶ βοὴ τοῦ πλήθους ἀπερύκουσα καθ' ἡμέραν, ἐλαφρότερον παρασκευάσειε τοῖς συνοῦσιν· ὥσπερ οἱ κύνες εἰς λίθους καὶ ξύλα τὸν θυμὸν ἀφιέντες, ἧττον εἰσὶ χαλεποὶ τοῖς

ἀνθρώποις· ἁρμόσει δ᾽ αὐτοῖς σφόδρα καὶ τὸ μετὰ κρειττόνων ἀεὶ καὶ πρεσβυτέρων ὁμιλεῖν· αἰσχυνόμενοι γὰρ αὐτῶν τὴν δόξαν, ἐν ἔθει γενήσονται τοῦ σιωπᾷν. τούτοις δὲ δεῖ ἀεὶ καὶ συμμεμίχθαι καὶ συμπεπλέχθαι τοῖς ἐθισμοῖς τὴν προσοχὴν ἐκείνην καὶ τὸν ἐπιλογισμὸν, ὅταν τι μέλλωμεν λαλεῖν, καὶ τὰ ῥήματα τῷ στόματι προστρέχῃ· Τίς οὗτος ὁ λόγος ὁ ἐφεστὼς καὶ καταβιαζόμενος; ἐπὶ τί δὲ ἡ γλῶσσα ἀπαίρει; τί δ᾽ εἰπόντι περιγίνεται καλὸν, ἢ τί σιωπήσαντι δυσχερές; οὐ γὰρ ὡς βάρος τι δεῖ πιέζοντα ἀποθέσθαι τὸν λόγον· ἐπεὶ παραμένει γε καὶ ῥηθεὶς ὁμοίως· ἀλλ᾽ ἢ δι᾽ αὑτοὺς ἄνθρωποι δεόμενοί τινος λαλοῦσιν· ἢ τοὺς ἀκούοντας ὠφελοῦντες· ἢ χάριν τινὰ παρασκευάζοντες ἀλλήλοις, ὥσπερ ἁλσὶ τοῖς λόγοις ἐφηδύνουσι τὴν διατριβὴν καὶ τὴν πρᾶξιν, ἐν ᾗ τυγχάνουσιν ὄντες. εἰ δὲ μήτε τῷ λέγοντι χρήσιμον, μήτε ἀναγκαῖον τοῖς ἀκούουσι τὸ λεγόμενον, ἡδονή τε καὶ χάρις οὐ πρόςεστι, διὰ τί λέγεται; τὸ γὰρ μάτην καὶ διακενῆς, οὐχ ἧττον ἐν τοῖς λόγοις, ἢ τοῖς ἔργοις, ἐστίν. ἐπὶ πᾶσι δὲ καὶ παρὰ ταῦτα πάντα δεῖ πρόχειρον ἔχειν καὶ μνημονεύειν τὸ Σιμωνίδειον, ὅτι Λαλήσας μὲν, πολλάκις μετενόησε, σιωπήσας δὲ, οὐδέποτε· καὶ τὴν ἄσκησιν, ὅτι πάντων ἐπικρατεῖ καὶ ἰσχυρόν ἐστιν· ὅπου καὶ λυγμὸν καὶ βῆχα ἄνθρωποι τῷ προςέχειν ἀποβιαζόμενοι, μετὰ πόνου καὶ ἀλγηδόνος ἐξεκρούσαντο. σιγὴ δ᾽ οὐ μόνον ἄδιψον, (ὥς φησιν Ἱπποκράτης) ἀλλὰ καὶ ἄλυπον καὶ ἀνώδυνον.

# ΠΛΟΥΤΑΡΧΟΥ
## ΠΕΡΙ
## ΠΟΛΥΠΡΑΓΜΟΣΥΝΗΣ

Ἄπνουν ἢ σκοτεινὴν ἢ δυσχείμερον οἰκίαν ἢ νοσώδη φυγεῖν μὲν ἴσως ἄριστον· ἂν δὲ φιλοχωρῇ τις ὑπὸ συνηθείας, ἔστι καὶ φῶτα μεταθέντα, καὶ κλίμακα μεταβαλόντα, καὶ θύρας τινὰς ἀνοίξαντα, τὰς δὲ κλείσαντα, λαμπροτέραν, εὐπνουστέραν, ὑγιεινοτέραν ἐργάσασθαι· καὶ πόλεις τινὲς οὕτω μεταθέντες ὠφέλησαν· ὥσπερ τὴν ἐμὴν πατρίδα πρὸς ζέφυρον ἄνεμον κεκλιμένην, καὶ τὸν ἥλιον ἐρείδοντα δείλης ἀπὸ τοῦ Παρνασοῦ δεχομένην, ἐπὶ τὰς ἀνατολὰς τραπῆναι λέγουσιν ὑπὸ τοῦ Χαίρωνος. ὁ δὲ φυσικὸς Ἐμπεδοκλῆς ὄρους τινὰ διασφάγα βαρὺν καὶ νοσώδη κατὰ τῶν πεδίων τὸν νότον ἐμπνέουσαν ἐμφράξας, λοιμὸν ἔδοξεν ἐκκλεῖσαι τῆς χώρας. ἐπεὶ τοίνυν ἐστί τινα πάθη νοσώδη καὶ βλαβερὰ καὶ χειμῶνα παρέχοντα τῇ ψυχῇ καὶ σκότος, ἄριστον μὲν ἐξωθεῖν ταῦτα καὶ καταλύειν εἰς ἔδαφος, αἰθρίαν καὶ φῶς καὶ πνεῦμα καθαρὸν διδόντας ἑαυτοῖς· εἰ δὲ μὴ, μεταλαμβάνειν γε καὶ μεθαρμόττειν ἄλλως γέπως

περιάγοντας ἢ στρέφοντας. οἷον εὐθὺς, ἡ πολυπραγμοσύνη φιλομάθειά τις ἐστὶν ἀλλοτρίων κακῶν, οὔτε φθόνου δοκοῦσα καθαρεύειν νόσος, οὔτε κακοηθείας.

*Τί τἀλλότριον, ἄνθρωπε βασκανώτατε,*
*Κακὸν ὀξυδορκεῖς, τὸ δ' ἴδιον παραβλέπεις;*

μετάθες ἔξωθεν, καὶ μετάστρεψον εἴσω τὴν πολυπραγμοσύνην· εἰ χαίρεις κακῶν μεταχειριζόμενος ἱστορίαν, ἔχεις οἴκοι πολλὴν διατριβήν,

*Ὅσσον ὕδωρ κατ' ἀλιζόνος, ἢ δρυὸς ἀμφὶ πέτηλα,*

τοσοῦτον πλῆθος εὑρήσεις ἁμαρτημάτων ἐν τῷ βίῳ, καὶ παθῶν ἐν τῇ ψυχῇ, καὶ παροραμάτων ἐν τοῖς καθήκουσιν. ὡς γὰρ ὁ Ξενοφῶν λέγει τοῖς οἰκονομικοῖς ἴδιον εἶναι τῶν ἀμφὶ θυσίαν σκευῶν, ἴδιον τῶν ἀμφὶ δεῖπνα τόπον, ἀλλαχοῦ κεῖσθαι τὰ γεωργικὰ, χωρὶς τὰ πρὸς πόλεμον· οὕτω σοι τὰ μέν ἐστιν ἀπὸ φθόνου κακὰ κείμενα, τὰ δ' ἀπὸ ζηλοτυπίας, τὰ δ' ἀπὸ δειλίας, τὰ δ' ἀπὸ μικρολογίας. ταῦτ' ἔπελθε, ταῦτα ἀναθεώρησον· τὰς εἰς γειτόνων θυρίδας, καὶ τὰς παρόδους τῆς πολυπραγμοσύνης ἔμφραξον, ἑτέρας δ' ἄνοιξον εἰς τὴν ἀνδρωνῖτιν τὴν σεαυτοῦ φερούσας, εἰς τὴν γυναικωνῖτιν, εἰς τὰς τῶν θεραπόντων διαίτας· ἐνταῦθα ἔχει διατριβὰς οὐκ ἀχρήστους, οὐδὲ κακοήθεις, ἀλλ' ὠφελίμους καὶ σωτηρίους, τὸ φιλοπευθὲς τοῦτο καὶ φιλοπράγμον, ἑκάστου πρὸς ἑαυτὸν λέγοντος·

*Πῆ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;*

II. Νῦν δὲ ὥσπερ ἐν τῷ μύθῳ τὴν *Λαμίαν* λέ-

γουσιν οἴκοι μὲν ᾄδειν τυφλὴν, ἐν ἀγγείῳ τινὶ τοὺς ὀφθαλμοὺς ἔχουσαν ἀποκειμένους, ἔξω δὲ προϊοῦσαν ἐπιτίθεσθαι καὶ βλέπειν· οὕτως ἡμῶν ἕκαστος ἔξω καὶ πρὸς ἑτέρους τῇ κακονοίᾳ τὴν περιεργίαν, ὥσπερ ὀφθαλμὸν, ἐντίθησι· τοῖς δὲ ἑαυτῶν ἁμαρτήμασι καὶ κακοῖς πολλάκις περιπταίομεν ὑπ᾽ ἀγνοίας, ὄψιν ἐπ᾽ αὐτὰ καὶ φῶς οὐ πορίζόμενοι. διὸ καὶ τοῖς ἐχθροῖς ὠφελιμώτερός ἐστιν ὁ πολυπράγμων· τὰ γὰρ ἐκείνων ἐλέγχει καὶ προφέρεται, καὶ δείκνυσιν αὐτοῖς, ἃ δεῖ φυλάξασθαι καὶ διορθῶσαι· τῶν δ᾽ οἴκοι τὰ πλεῖστα παρορᾷ, διὰ τὴν περὶ τὰ ἔξω πτόησιν. ὁ μὲν γὰρ Ὀδυσσεὺς οὐδὲ τῇ μητρὶ διαλεχθῆναι πρότερον ὑπέμεινεν, ἢ πυθέσθαι παρὰ τοῦ μάντεως, ὧν ἕνεκα ἦλθεν εἰς ᾅδου· πυθόμενος δὲ τοῦτο, πρός τε ταύτην ἔτρεψεν αὐτὸν, καὶ τὰς ἄλλας γυναῖκας ἀνέκρινε, τίς ἡ Τυρὼ, καὶ τίς ἡ καλὴ Χλῶρις, καὶ διὰ τὶν᾽ Ἐπικάστη ἀπέθανεν,

Ἀψαμένη βρόχον αἰπὺν ἀφ᾽ ὑψηλοῖο δόμοιο.

ἡμεῖς δὲ τὰ καθ᾽ ἑαυτοὺς ἐν πολλῇ ῥαθυμίᾳ καὶ ἀγνοίᾳ θέμενοι καὶ ἀμελήσαντες, ἑτέρους γενεαλογοῦμεν, ὅτι τοῦ γείτονος ὁ πάππος ἦν Σύρος, Θρᾷττα δὲ ἡ τήθη· ὁ δεῖνα δ᾽ ὀφείλει τάλαντα τρία, κἂν τοὺς τόκους οὐκ ἀποδέδωκεν. ἐξετάζομεν δὲ καὶ τὰ τοιαῦτα, πόθεν ἡ γυνὴ τοῦ δεῖνος ἐπανήρχετο, τί δὲ ὁ δεῖνα καὶ ὁ δεῖνα καθ᾽ ἑαυτοὺς ἐν τῇ γωνίᾳ διελέγοντο. Σωκράτης δὲ περιῄει, διαπορῶν, τί Πυθαγόρας λέγων ἔπειθε· καὶ Ἀρίστιππος Ὀλυμπίασιν Ἰσχομάχῳ συμβαλὼν ἠρώτα· τί Σωκράτης διαλεγόμενος, οὕτω τοὺς νέους διατίθησι· καὶ μικρὰ

ἅττα τῶν λόγων αὐτοῦ σπέρματα καὶ δείγματα λαβών; οὕτως ἐμπαθῶς ἔσχεν, ὥστε τῷ σώματι συμπαθεῖν, καὶ γενέσθαι παντάπασιν ὠχρὸς καὶ ἰσχνὸς· ἄχρις οὗ πλεύσας Ἀθήναζε διψῶν καὶ διακεκαυμένος, ἠρύσατο τῆς πηγῆς, καὶ τὸν ἄνδρα καὶ τοὺς λόγους αὐτοῦ καὶ τὴν φιλοσοφίαν ἱστόρησεν, ἧς ἦν τέλος, ἐπιγνῶναι τὰ ἑαυτοῦ κακὰ καὶ ἀπαλλαγῆναι.

III. Ἀλλ' ἔνιοι τὸν ἴδιον βίον, ὡς ἀτερπέστατον θέαμα, προσιδεῖν οὐχ ὑπομένουσιν, οὐδ' ἀνακλάσαι τὸν λογισμόν, ὡς φῶς, ἐφ' ἑαυτοὺς καὶ περιαγαγεῖν· ἀλλ' ἡ ψυχὴ γέμουσα κακῶν παντοδαπῶν, καὶ φρίττουσα καὶ φοβουμένη τὰ ἔνδον, ἐκπηδᾷ θύραζε, καὶ πλανᾶται περὶ τἀλλότρια, βόσκουσα καὶ πιαίνουσα τὸ κακόηθες. ὡς γὰρ ὄρνις ἐν οἰκίᾳ πολλάκις, τροφῆς παρακειμένης, εἰς γωνίαν καταδῦσα σκαλεύει,

Ἔνθα γέ που διαφαίνεθ' ἅτ' ἐν κοπρίᾳ μία κριθή·

παραπλησίως οἱ πολυπράγμονες, ὑπερβάντες τοὺς ἐν μέσῳ λόγους καὶ ἱστορίας, καὶ ἃ μηδεὶς κωλύει πυνθάνεσθαι, μηδ' ἄχθεται πυνθανομένοις, τὰ κρυπτόμενα καὶ λανθάνοντα κακὰ πάσης οἰκίας ἐκλέγουσι. καίτοι γε τὸ τοῦ Αἰγυπτίου χάριεν, πρὸς τὸν ἐρωτῶντα, τί φέρει συγκεκαλυμμένον· διὰ τοῦτο συγκεκάλυπται. καὶ σὺ δὴ τί πολυπραγμονεῖς τὸ ἀποκρυπτόμενον; εἰ μή τι κακὸν ἦν, οὐκ ἂν ἀπεκρύπτετο. καίτοι μὴ κόψαντά γε θύραν εἰς οἰκίαν ἀλλοτρίαν οὐ νομίζεται παρελθεῖν· ἀλλὰ νῦν μέν εἰσι θυρωροί, πάλαι δὲ ῥόπτρα κρουόμενα πρὸς ταῖς θύραις αἴσθησιν παρεῖχεν, ἵνα μὴ τὴν οἰκοδέσποι-

καὶ ἐν μέσῳ καταλάβῃ ὁ ἀλλότριος, ἢ τὴν παρθένον, ἢ κολαζόμενον οἰκέτην, ἢ κεκραγυίας τὰς θεραπαινίδας· ὁ δὲ πολυπράγμων ἐπ' αὐτὰ ταῦτα παραδύεται, σώφρονος μὲν οἰκίας καὶ καθεστώσης, οὐδ' ἂν παρακαλῇ τις, ἡδέως γενόμενος θεατής· ὧν δὲ ἕνεκα κλεὶς καὶ μοχλὸς καὶ αὔλειος, ταῦτα ἀνακαλύπτων καὶ φέρων εἰς τὸ μέσον ἑτέροις. καίτοι καὶ τῶν ἀνέμων μάλιστα δυσχεραίνομεν, ὡς Ἀρίστων φησὶν, ὅσοι τὰς περιβολὰς ἀναστέλλουσιν ἡμῶν· ὁ δὲ πολυπράγμων οὐ τὰ ἱμάτια τῶν πέλας, οὐδὲ τοὺς χιτῶνας, ἀλλὰ τοὺς τείχους ἀπαμφιέννυσι, τὰς θύρας ἀναπετάννυσι, καὶ διὰ παρθενικῆς ἁπαλόχροος, ὡς πνεῦμα, διαδύεται καὶ διέρπει, βακχεῖα καὶ χοροὺς καὶ παννυχίδας ἐξετάζων, καὶ συκοφαντῶν.

IV. Καὶ καθάπερ τοῦ κωμῳδουμένου Κλέωνος

Τὼ χεῖρ' ἐν Αἰτωλοῖς, ὁ δὲ νοῦς ἐν Κλωπιδῶν·

οὕτω τοῦ πολυπράγμονος ὁ νοῦς ἅμα ἐν πλουσίων οἴκοις ἐστὶν, ἐν δωματίοις πενήτων, ἐν αὐλαῖς βασιλέων, ἐν θαλάμοις νεογάμων· πάντα πράγματα ζητεῖ, τὰ ξένων, τὰ ἡγεμόνων· οὐδ' ἀκινδύνως ταῦτα ζητῶν· ἀλλ' οἷον, εἴ τις ἀκονίτου γεύοιτο, πολυπραγμονῶν τὴν ποιότητα, φθάσει τῆς αἰσθήσεως προανελὼν τὸν προαισθόμενον· οὕτως οἱ τὰ τῶν μειζόνων κακὰ ζητοῦντες, προαναλίσκουσι τῆς γνώσεως ἑαυτούς. καὶ γὰρ οἱ τοῦ ἡλίου τὴν ἄφθονόν γε ταύτην καὶ κατακεχυμένην ἅπασιν ἀκτῖνα παρορῶντες, αὐτὸν δὲ τὸν κύκλον ἀναιδῶς καταβλέπειν καὶ διαστέλλειν τὸ φῶς εἴσω βιαζόμενοι καὶ τολμῶντες, ἀποτυφλοῦνται. διὸ καλῶς Φιλιππίδης ὁ κω-

μῳδοποιὸς, εἰπόντος αὐτῷ ποτε Λυσιμάχου τοῦ βασιλέως· Τίνος σοι τῶν ἐμῶν μεταδῶ· Μόνον, (εἶπεν) ὦ βασιλεῦ, μὴ τῶν ἀποῤῥήτων. τὰ γὰρ ἥδιστα καὶ κάλλιστα τῶν βασιλέων ἔξω πρόκειται, τὰ δεῖπνα, οἱ πλοῦτοι, αἱ πανηγύρεις, αἱ χάριτες· εἰ δέ τι ἀπόῤῥητόν ἐστι, μὴ προσέλθῃς, μηδὲ κινήσῃς. οὐ κρύπτεται χαρὰ βασιλέως εὐτυχοῦντος, οὐδὲ γέλως παίζοντος, οὐδὲ φιλανθρωπίας παρασκευὴ καὶ χάριτος· φοβερόν ἐστι τὸ κρυπτόμενον, σκυθρωπὸν, ἀγέλαστον, δυςπρόσιτον, ὀργῆς τινος ὑπούλου θησαυρὸς, ἢ τιμωρίας βαρυθύμου σκέψις, ἢ ζηλοτυπία γυναικὸς, ἢ πρὸς υἱὸν ὑποψία τις, ἢ πρὸς φίλον ἀπιςία. φεῦγε τὸ μελανὸν τοῦτο καὶ συνιστάμενον νέφος· οὐ λήσεταί σε βροντῆσαν, οὐδ' ἀστράψαν, ὅταν ἐκραγῇ τὸ νῦν κρυπτόμενον.

V. Τίς οὖν ἡ φυγή; περισπασμὸς (ὡς εἴρηται) καὶ μεθολκὴ τῆς πολυπραγμοσύνης, μάλιστα μὲν ἐπὶ τὰ βελτίω καὶ τὰ ἡδίω τρέψαντι τὴν ψυχήν· τὰ ἐν οὐρανῷ πολυπραγμόνει, τὰ ἐν γῇ, τὰ ἐν ἀέρι, τὰ ἐν θαλάττῃ. μικρῶν πέφυκας ἢ μεγάλων φιλοθεάμων· εἰ μεγάλων, ἥλιον πολυπραγμόνει, ποῦ κάτεισι, καὶ πόθεν ἄνεισι· ζήτει τὰς ἐν σελήνῃ καθάπερ ἐν ἀνθρώπῳ, μεταβολὰς, ποῦ τοσοῦτον κατηνάλωσε φῶς, πόθεν αὖθις ἐκτήσατο,

Πῶς ἐξ ἀδήλου πρῶτον ἔρχονται νέα
Πρόσωπα καλλύνουσα καὶ πληρουμένη.
Χ' ὥταν περ αὐτῆς εὐγενεστάτη φανῇ
Πάλιν διαῤῥεῖ, κἀπὶ μηδὲν ἔρχεται.

καὶ ταῦτα ἀπόῤῥητά ἐστι φύσεως, ἀλλ' οὐκ ἄχθεται

τοῖς ἐλέγχουσιν. ἀλλὰ τῶν μεγάλων ἀπέγνωκας; πολυπραγμόνει τὰ μικρότερα, πῶς τῶν φυτῶν τὰ μὲν ἀεὶ τέθηλε καὶ χλοάζει καὶ ἀγάλλεται παντὶ καιρῷ, τὸν ἑαυτῶν ἐπιδεικνύμενα πλοῦτον, τὰ δὲ νῦν μέν ἐστιν ὅμοια τούτοις, νῦν δὲ, ὥςπερ ἀνοικονόμητος ἄνθρωπος, ἀθρόως ἐκχέαντα τὴν περιουσίαν, γυμνὰ καὶ πτωχὰ καταλείπεται· διὰ τί δὲ τὰ μὲν προμήκεις, τὰ δὲ γονιώδεις, τὰ δὲ στρογγύλους καὶ περιφερεῖς ἐκδίδωσι τοὺς καρπούς; ἴσως δὲ ταῦτα οὐ πολυπραγμονήσεις, ὅτι τούτοις οὐθὲν κακόν ἐστιν. ἀλλ᾽ εἰ δεῖ πάντως τὸ περίεργον ἐν φαύλοις τισὶν, ὥςπερ ἑρπετὸν ἐν θανασίμοις ὕλαις, ἀεὶ νέμεσθαι καὶ διατρίβειν, ἐπὶ τὰς ἱστορίας ἀγάγωμεν αὐτὸ, καὶ παραβάλωμεν ἀφθονίαν κακῶν καὶ περιουσίαν. ἐνταῦθα γὰρ ἔνεισι πεσήματα ἀνδρῶν καὶ ἀπολακτισμοὶ βίων, φθοραὶ γυναικῶν, ἐπιθέσεις οἰκετῶν, διαβολαὶ φίλων, παρασκευαὶ φαρμάκων, φθόνοι, ζηλοτυπίαι, ναυάγια οἴκων, ἐκπτώσεις ἡγεμόνων· ἐμπίπλασο καὶ τέρπε σαυτὸν, ἐνοχλῶν μηδενὶ τῶν συνόντων, μηδὲ λυπῶν.

VI. Ἀλλ᾽ ἔοικεν ἡ πολυπραγμοσύνη μὴ χαίρειν ἑώλοις κακοῖς, ἀλλὰ θερμοῖς καὶ προσφάτοις. καὶ καινὰς τραγῳδίας ἡδέως θεᾶσθαι, τοῖς δὲ κωμικοῖς καὶ ἱλαρωτέροις πράγμασιν οὐ μάλα προθύμως ὁμιλεῖν. διὸ γάμον μέν τινος, ἢ θυσίαν, ἢ προπομπὴν διεξιόντος, ἀμελὴς ὁ πολυπράγμων καὶ ῥάθυμος ἀκροατής ἐστι, καὶ προακηκοέναι τὰ πλεῖστά φησι, καὶ κελεύει ταῦτα συντέμνειν καὶ παρέρχεσθαι τὸν διηγούμενον· ἂν δ᾽ ἤ φθοράν τις παρθένου παρα-

καθήμενος, ἢ μοιχείαν γυναικός, ἢ δίκης παρασκευήν, ἢ στάσιν ἀδελφῶν διηγεῖται, οὔτε νυστάζει, οὔτ' ἀσχολεῖται,

Ἀλλά τε δίζηται ἐπέων, παρὰ τ' οὔατα βάλλει.

καὶ τό·

Οἴμοι, τὸ κακὸν τῆς εὐτυχίας
Ὡς μᾶλλον ἐς οὖς φέρεται θνητῶν,

ἐπὶ τῶν πολυπραγμόνων εἰρημένον ἐστὶν ἀληθῶς. ὡς γὰρ αἱ σικύαι τὸ χείριστον ἐκ τῆς σαρκὸς ἕλκουσιν, οὕτω τὰ τῶν πολυπραγμόνων ὦτα τοὺς φαυλοτάτους λόγους ἐπισπᾶται· μᾶλλον δέ, ὥσπερ αἱ πόλεις ἔχουσί τινας πύλας ἀποφράδας καὶ σκυθρωπάς, δι' ὧν ἐξάγουσι τοὺς θανατουμένους, καὶ τὰ λύματα καὶ τοὺς καθαρμοὺς ἐκβάλλουσιν, εὐαγὲς δ' οὐδέν, οὐδὲ ἱερὸν εἴσεισι καὶ διέξεισι δι' αὐτῶν· οὕτω καὶ τὰ τῶν πολυπραγμόνων ὦτα χρηστὸν οὐδὲν οὐδ' ἀστεῖον, ἀλλ' οἱ φονικοὶ λόγοι διέρχονται καὶ τρίβουσιν, ἐκθύσιμα καὶ μιαρὰ διηγήματα παρακομίζοντες.

Ἀεὶ δὲ ἀείδων μοῦνος ἐν στέγαις ἐμαῖς
Κωκυτὸς ἐμπέπτωκεν·

αὕτη τοῖς πολυπράγμοσι μοῦσα καὶ σειρὴν μία, τοῦτο ἥδιστον ἀκουσμάτων αὐτοῖς. ἔστι γὰρ ἡ πολυπραγμοσύνη φιλοπευστία τῶν ἐν ἀποκρύψει καὶ λανθανόντων. οὐδεὶς δ' ἀγαθὸν ἀποκρύπτει κεκτημένος· ὅπου καὶ τὰ μὴ ὄντα προσποιοῦνται. κακῶν οὖν ἱστορίας ὁ πολυπράγμων ὀρεγόμενος, ἐπιχαιρεκακίας συνέχεται πάθει, φθόνου καὶ βασκανίας ἀδελφῷ. φθόνος μὲν γάρ ἐστι λύπη ἐπ' ἀλλοτρίοις

ἀγαθοῖς· ἐπιχαιρεκακία δὲ ἡδονὴ ἐπ' ἀλλοτρίοις κακοῖς· ἀμφότερα δ' ἐκ πάθους ἀνημέρου καὶ θηριώδους γεγένηται, τῆς κακοηθείας.

VII. Οὕτω δ' ἑκάστῳ λυπηρόν ἐστιν ἡ τῶν περ αὐτὸν κακῶν ἀνακάλυψις, ὥστε πολλοὺς ἀποθανεῖν ἂν πρότερον, ἢ δεῖξαί τι τῶν ἀποῤῥήτων νοσημάτων ἰατροῖς. φέρε γὰρ, Ἡρόφιλον, ἢ Ἐρασίστρατον, ἢ τὸν Ἀσκληπιὸν αὐτὸν, ὅτ' ἦν ἄνθρωπος, ἔχοντα τὰ φάρμακα καὶ τὰ ὄργανα, κατ' οἰκίαν παριστάμενον ἀνακρίνειν, μή τις ἔχει σύριγγα παρὰ δακτύλιον, ἢ γυνὴ καρκίνον ἐν ὑστέρᾳ· καίτοι σωτήριόν ἐστι τῆς τέχνης ταύτης τὸ πολύπραγμον· ἀλλὰ πᾶς ἄν τις (οἶμαι) τὸν τοιοῦτον ἀπήλασεν, ὅτι τὴν χρείαν οὐ περιμένων, ἄκλητος ἐπ' ἀλλοτρίων κακῶν ἔρχεται κατανόησιν. οἱ δὲ πολυπράγμονες αὐτὰ ταῦτα καὶ τὰ τούτων ἔτι χείρονα ζητοῦσιν, οὐ θεραπεύοντες, ἀλλὰ μόνον ἀνακαλύπτοντες· ὅθεν μισοῦνται δικαίως. καὶ γὰρ τοὺς τελώνας βαρυνόμεθα καὶ δυσχεραίνομεν, οὐχ ὅταν τὰ ἐμφανῆ τῶν εἰσαγομένων ἐκλέγωσιν, ἀλλ' ὅταν τὰ κεκρυμμένα ζητοῦντες, ἐν ἀλλοτρίοις σκεύεσι καὶ φορτίοις ἀναστρέφωνται· καίτοι τοῦτο ποιεῖν ὁ νόμος δίδωσιν αὐτοῖς, καὶ βλάπτονται, μὴ ποιοῦντες. οἱ δὲ πολυπράγμονες ἀπολλύουσι καὶ προΐενται τὰ αὑτῶν, ἀσχολούμενοι περὶ τὰ ἀλλότρια. καὶ σπανίως μὲν εἰς ἀγρὸν βαδίζουσι, τὸ ἥσυχον καὶ σιωπηρὸν τῆς ἐρημίας οὐ φέροντες· ἐὰν δὲ καὶ παραβάλλωσι διὰ χρόνου, ταῖς τῶν γειτόνων ἀμπέλοις ἐμβλέπουσι μᾶλλον, ἢ ταῖς ἰδίαις· καὶ πυνθάνονται, πόσαι βόες τοῦ γείτονος ἀποτεθνήκασιν;

ἢ πόσος οἴνας ὀξίνης γέγονε· ταχὺ δὲ τούτων ἐμπλησθέντες, ἀποτρέχουσιν. ὁ μὲν γὰρ ἀληθινὸς ἐκεῖνος γεωργὸς οὐδὲ τὸν αὐτομάτως ἐρχόμενον ἐκ πόλεως λόγον ἡδέως προσδέχεται, λέγων·

— Εἶτά μοι σκάπτων ἐρεῖ,
Ἐφ᾽ οἷς γεγόνασιν αἱ διαλύσεις; ταῦτα γὰρ
Νῦν πολυπραγμονῶν ὁ κατάρατος περιπατεῖ.

VIII. Οἱ δὲ πολυπράγμονες, ὡς ἕωλόν τι πρᾶγμα καὶ ψυχρὸν καὶ ἀτράγῳδον, φεύγοντες τὴν ἀγροικίαν, εἰς τὸ βῆμα καὶ τὴν ἀγορὰν καὶ τοὺς λιμένας ὠθοῦνται· Μή τι καινόν; οὐ γὰρ ἦς πρωῒ κατ᾽ ἀγοράν; τί οὖν; ἐν ὥραις τρισὶν οἴει τὴν πόλιν μετακεκοσμῆσθαι; οὐ μὴν ἀλλ᾽ ἂν μέν τις ἔχῃ τι τοιοῦτον εἰπεῖν, καταβὰς ἀπὸ τοῦ ἵππου δεξιωσάμενος καὶ καταφιλήσας, ἕστηκεν ἀκροώμενος. ἐὰν δ᾽ ἀπαντήσας εἴπῃ τις, ὅτι οὐθὲν καινόν· ὥσπερ ἀχθόμενος· Τί λέγεις; (φησὶν) οὐ γέγονας κατ᾽ ἀγοράν; οὐ παρελήλυθας τὸ στρατήγιον; οὐδὲ τοῖς ἐξ Ἰταλίας ἥκουσιν ἐντετύχηκας; διὸ καλῶς οἱ τῶν Λοκρῶν ἄρχοντες· ἐπεὶ γάρ τις ἐξ ἀποδημίας προσιὼν ἠρώτησε, μή τι καινὸν, ἐζημίωσαν αὐτόν. ὡς γὰρ οἱ μάγειροι φορὰν εὔχονται βοσκημάτων, οἱ δὲ ἁλιεῖς ἰχθύων, οὕτως οἱ πολυπράγμονες εὔχονται φορὰν κακῶν, καὶ πλῆθος πραγμάτων, καὶ καινότητας καὶ μεταβολὰς, ἵνα ἀεί τι θηρεύειν καὶ κατακόπτειν ἔχωσιν. εὖ δὲ καὶ ὁ τῶν Θουρίων νομοθέτης· κωμῳδεῖσθαι γὰρ ἐκώλυσε τοὺς πολίτας, πλὴν μοιχοὺς καὶ πολυπράγμονας. ἔοικε γὰρ ἥ τε μοιχεία πολυπραγμοσύνη τῆς ἀλλοτρίας ἡδονῆς εἶναι, καὶ ζήτη-

σις καὶ ἔρευνα τῶν φυλαττομένων καὶ λανθανόντων τοὺς πολλούς· ἥ τε πολυπραγμοσύνη παράλυσίς ἐστι καὶ φθορὰ καὶ ἀπογύμνωσις τῶν ἀποῤῥήτων.

IX. Τῇ μὲν οὖν πολυμαθείᾳ τὴν πολυλογίαν ἕπεσθαι συμβαίνει. διὸ καὶ Πυθαγόρας ἔταξε τοῖς νέοις πενταετῆ σιωπὴν, ἐχεμυθίαν προςαγορεύσας· τῇ δὲ περιεργίᾳ τὴν κακολογίαν ἀνάγκη συνακολουθεῖν. ἃ γὰρ ἡδέως ἀκούουσιν, ἡδέως λαλοῦσι, καὶ ἃ παρ᾽ ἄλλων σπουδῇ συλλέγουσι, πρὸς ἑτέρους μετὰ χαρᾶς ἐκφέρουσιν. ὅθεν αὐτοῖς μετὰ τῶν ἄλλων κακῶν, τὸ νόσημα καὶ πρὸς τὴν ἐπιθυμίαν ἐμποδών ἐστι· πάντες γὰρ αὐτοὺς φυλάττονται καὶ ἀποκρύπτονται, καὶ οὔτε πρᾶξαί τι, πολυπράγμονος ὁρῶντος, οὔτ᾽ εἰπεῖν ἀκούοντος, ἡδέως ἔχουσιν· ἀλλὰ καὶ βουλὰς ἀνατίθενται, καὶ σκέψεις πραγμάτων ὑπερβάλλονται, μέχρις ἂν ἐκποδὼν ὁ τοιοῦτος γένηται· κἂν ἢ λόγου τινὸς ἀποῤῥήτου παρόντος, ἢ πράξεως σπουδαίας περαινομένης, ἀνὴρ πολυπράγμων ἐπιφανῇ, καθάπερ ὄψον, γαλῆς παραδραμούσης, αἴρουσιν ἐκ μέσου καὶ ἀποκρύπτουσιν· ὥςτε πολλάκις τὰ τοῖς ἄλλοις ῥητὰ καὶ θεατὰ, τούτοις μόνοις ἄῤῥητα καὶ ἀθέατα γίνεσθαι. διὸ καὶ πίστεως ἁπάσης ἔρημός ὁ πολυπράγμων ἐστίν. οἰκέταις γοῦν καὶ ξένοις πιστεύομεν μᾶλλον ἐπιστολὰς καὶ γράμματα καὶ σφραγῖδας, ἢ φίλοις καὶ οἰκείοις πολυπράγμοσιν. ὁ δὲ Βελλεροφόντης ἐκεῖνος οὐδὲ καθ᾽ ἑαυτοῦ γράμματα κομίζων ἔλυσεν, ἀλλ᾽ ἀπέσχετο τῆς ἐπιστολῆς τοῦ βασιλέως, ὡς τῆς γυναικὸς, διὰ τὴν αὐτὴν ἐγκράτειαν. ἀκρασίας γὰρ τὸ πολυπραγμονεῖν, ὡς καὶ τὸ

μοιχεύειν, καὶ πρὸς τῇ ἀπρεπείᾳ, δεινῆς ἀνοίας καὶ ἀφροσύνης. τὸ γὰρ τοσαύτας παρελθόντα κοινὰς καὶ δεδημοσιευμένας γυναῖκας, ἐπὶ τὴν κατάκλειστον ὠθεῖσθαι καὶ πολυτελῆ, πολλάκις (ἂν οὕτω τύχῃ) καὶ ἄμορφον οὖσαν, ὑπερβολὴ μανίας καὶ παραφροσύνης. ταυτὸν δὲ οἱ πολυπράγμονες ποιοῦσι, πολλὰ καὶ καλὰ θεάματα καὶ ἀκούσματα καὶ σχολὰς καὶ διατριβὰς παρελθόντες, ἐπιστόλια διορύττουσιν ἀλλότρια, καὶ παραβάλλουσι γειτόνων τοίχοις τὰ ὦτα, καὶ συμψιθυρίζουσιν οἰκέταις καὶ γυναίοις, πολλάκις μὲν οὐδ᾽ ἀκινδύνως, ἀεὶ δ᾽ ἀδόξως.

X. Διὸ καὶ χρήσιμον ὡς ἔνι μάλιστα πρὸς τὴν ἀποτροπὴν τοῖς πολυπράγμοσιν ἡ τῶν προεγνωσμένων ἀνάμνησις. ἂν γὰρ, ὥσπερ ὁ Σιμωνίδης ἔλεγε, τὰς κιβωτοὺς ἀνοίγων διὰ χρόνου, τὴν μὲν τῶν μισθῶν, ἀεὶ μεστὴν, τὴν δὲ τῶν χαρίτων, εὑρίσκειν κενὴν, οὕτως ἄν τις τῆς πολυπραγμοσύνης τὴν ἀποθήκην ἀνοίγῃ διὰ χρόνου, καὶ κατασκέπτηται πολλῶν ἀχρήστων καὶ ματαίων καὶ ἀτερπῶν γέμουσαν, ἴσως ἂν αὐτῷ τὸ πρᾶγμα προσπταίη, φανὲν ἀηδὲς παντάπασι καὶ φλυαρῶδες. φέρε γὰρ, εἴ τις ἐπιὼν τὰ συγγράμματα τῶν παλαιῶν ἐκλαμβάνοι τὰ κάκιστα τῶν ἐν αὐτοῖς, καὶ βιβλίον ἔχοι συντεταγμένον, οἷον Ὁμηρικῶν στίχων ἀκεφάλων, καὶ τραγικῶν σολοικισμῶν, καὶ τῶν ὑπ᾽ Ἀρχιλόχου πρὸς τὰς γυναῖκας ἀπρεπῶς καὶ ἀκολάστως εἰρημένων, ἑαυτὸν παραδειγματίζοντος· ἆρ᾽ οὐκ ἔστι τῆς τραγικῆς κατάρας ἄξιος;

Ὄλοιο θνητῶν ἐκλέγων τὰς συμφοράς.

καὶ ἄνευ τῆς κατάρας, ἀπρεπὴς καὶ ἀνωφελὴς ὁ θησαυρισμὸς αὐτοῦ τῶν ἀλλοτρίων ἁμαρτημάτων· ὥσπερ ἡ πόλις, ἣν ἐκ τῶν κακίστων καὶ ἀναγωγοτάτων κτίσας ὁ Φίλιππος, Πονηρόπολιν προσηγόρευσεν. οἱ τοίνυν πολυπράγμονες, οὐ στίχων, οὐδὲ ποιημάτων, ἀλλὰ βίων ἀστοχήματα καὶ πλημμελήματα καὶ σολοικισμοὺς ἀναλεγόμενοι καὶ συνάγοντες, ἀμουσότατον καὶ ἀτερπέστατον κακῶν γραμματοφυλακεῖον τὴν ἑαυτῶν μνήμην περιφέρουσιν. ὥσπερ οὖν ἐν Ῥώμῃ τινὲς τὰς γραφὰς καὶ τοὺς ἀνδριάντας καὶ νὴ Δία τὰ κάλλη τῶν ὠνίων παίδων καὶ γυναικῶν ἐν μηδενὶ λόγῳ τιθέμενοι, περὶ τὴν τῶν τεράτων ἀγορὰν ἀναστρέφονται, τοὺς ἀκνήμους καὶ τοὺς γαλεάγκωνας καὶ τοὺς τριοφθάλμους καὶ τοὺς στρουθοκεφάλους καταμανθάνοντες, καὶ ζητοῦντες, εἴ τι γεγένηται.

Σύμμικτον εἶδος καὶ ἀποφώλιον τέρας·

ἀλλ' ἐὰν συνεχῶς τις ἐπάγῃ τοῖς τοιούτοις αὐτοὺς θεάμασι, ταχὺ πλησμονὴν καὶ ναυτίαν τὸ πρᾶγμα παρέξει· οὕτως οἱ τὰ περὶ τὸν βίον ἀστοχήματα καὶ γενῶν αἴσχη καὶ διαστροφάς τινας ἐν οἴκοις ἀλλοτρίοις καὶ πλημμελείας πολυπραγμονοῦντες, τῶν πρώτων ἀναμιμνησκέτωσαν ἑαυτούς, ὅτι χάριν καὶ ὄνησιν οὐδεμίαν ἤνεγκε.

XI. Μέγιστον μέντοι πρὸς τὴν τοῦ πάθους ἀποτροπὴν ὁ ἐθισμός, ἐὰν πόῤῥωθεν ἀρξάμενοι γυμνάζωμεν ἑαυτοὺς καὶ διδάσκωμεν ἐπὶ ταύτην τὴν ἐγκράτειαν· καὶ γὰρ ἡ αὔξησις ἔθει γέγονε, τοῦ νοσήματος κατὰ μικρὸν εἰς τὸ πρόσω χωροῦντος· ὃν

θὲ τρόπον, εἰσόμεθα περὶ τῆς ἀσκήσεως ὁμοῦ διαλεγόμενοι. πρῶτον μὲν οὖν ἀπὸ τῶν βραχυτάτων καὶ φαυλοτάτων ἀρξώμεθα. τί γὰρ χαλεπόν ἐστιν ἐν ταῖς ὁδοῖς τὰς ἐπὶ τῶν τάφων ἐπιγραφὰς μὴ ἀναγινώσκειν, ἢ τί δυσχερὲς ἐν τοῖς περιπάτοις τὰ κατὰ τῶν τοίχων γράμματα τῇ ὄψει παρατρέχειν, ὑποβάλλοντας αὑτοῖς, ὅτι χρήσιμον οὐθὲν, οὐδ᾽ ἐπιτερπὲς, ἐν τούτοις γέγραπται· ἀλλ᾽ ἐμνήσθη ὁ δεῖνα τοῦ δεῖνος ἐπ᾽ ἀγαθῷ, καὶ φίλων ἄριστος ὅδε τις· καὶ πολλὰ τοιαύτης γέμοντα φλυαρίας· ἃ δοκεῖ μὲν οὐ βλάπτειν ἀναγινωσκόμενα, βλάπτει δὲ λεληθότως, τῷ μελέτην παρεμποιεῖν τοῦ ζητεῖν τὰ μὴ προσήκοντα. καὶ καθάπερ οἱ κυνηγοὶ τοὺς σκύλακας οὐκ ἐῶσιν ἐκτρέπεσθαι καὶ διώκειν πᾶσαν ὀδμὴν, ἀλλὰ τοῖς ῥυτῆρσιν ἕλκουσι καὶ ἀνακρούουσι, καθαρὸν αὐτῶν καὶ ἄκρατον φυλάττοντες τὸ αἰσθητήριον ἐπὶ τὸ οἰκεῖον ἔργον, ἵνα εὐτονώτερον ἐμφύηται τοῖς ἴχνεσι,

Τέρματα θηρίων μελέων μυκτῆρσιν ἐρευνῶν·

οὕτω δεῖ τὰς ἐπὶ πᾶν θέαμα καὶ πᾶν ἄκουσμα τοῦ πολυπράγμονος ἐκδρομὰς καὶ περιπλανήσεις ἀφαιρεῖν καὶ ἀντισπᾶν ἐπὶ τὰ χρήσιμα φυλάττοντας. ὥςπερ γὰρ οἱ ἀετοὶ καὶ οἱ λέοντες ἐν τῷ περιπατεῖν συστρέφουσιν εἴσω τοὺς ὄνυχας, ἵνα μὴ τὴν ἀκμὴν αὐτῶν καὶ τὴν ὀξύτητα κατατρίβωσιν· οὕτω τὸ πολύπραγμον τοῦ φιλομαθοῦς ἀκμήν τινα καὶ στόμωμα νομίζοντες ἔχειν, μὴ καταναλίσκωμεν, μηδ᾽ ἀπαμβλύνωμεν ἐν τοῖς χειρίστοις.

XII. Δεύτερον τοίνυν ἐθιζώμεθα θύραν παρι-

ὄντες ἀλλοτρίαν μὴ βλέπειν εἴσω, μηδὲ τῶν ἐντὸς ἐπιδράττεσθαι τῇ ὄψει, καθάπερ χειρὶ, τῇ περιεργίᾳ, ἀλλὰ τὸ τοῦ Ξενοκράτους ἔχωμεν πρόχειρον, ὃς ἔφη, μηδὲν διαφέρειν, ἢ τοὺς πόδας, ἢ τοὺς ὀφθαλμοὺς εἰς ἀλλοτρίαν οἰκίαν τιθέναι. οὔτε γὰρ δίκαιον, οὔτε καλὸν, ἀλλ᾽ οὐδὲ ἡδὺ τὸ θέαμα.

Δύσμορφα μέντοι τἄνδον εἰσιδεῖν, ξένε.

τὰ γὰρ πολλὰ τοιαῦτα τῶν ἐν ταῖς οἰκίαις, σκευάρια κείμενα, καὶ θεραπαινίδια καθεζόμενα, καὶ σπουδαῖον οὐδὲν, οὐδ᾽ ἐπιτερπές. ἡ δὲ συνδιαστρέφουσα τὴν ψυχὴν παράβλεψις αὕτη καὶ παρατόξευσις αἰσχρά· καὶ τὸ ἔθος μοχθηρόν. ὁ μὲν γὰρ Διογένης θεασάμενος εἰσελαύνοντα τὸν ὀλυμπιονίκην Διώξιππον ἐφ᾽ ἅρματος, καὶ γυναικὸς εὐμόρφου θεωμένης τὴν πομπὴν, ἀποσπάσαι τὰς ὄψεις μὴ δυνάμενον, ἀλλ᾽ ὑποβλέποντα καὶ παρεπιστρεφόμενον· Ὁρᾶτε (εἶπε) τὸν ἀθλητὴν ὑπὸ παιδισκαρίου τραχηλιζόμενον; τοὺς δὲ πολυπράγμονας ἴδοις ἂν ὑπὸ παντὸς ὁμοίως θεάματος τραχηλιζομένους καὶ περιαγομένους, ὅταν ἔθος καὶ μελέτη γένηται τῆς ὄψεως αὐτοῖς πανταχοῦ διαφερομένης. δεῖ δὲ (ὡς οἶμαι) μὴ, καθάπερ θεράπαιναν, ἀνάγωγον ἔξω ῥέμβεσθαι τὴν αἴσθησιν, ἀλλ᾽ ἀποπεμπομένην ὑπὸ τῆς ψυχῆς ἐπὶ τὰ πράγματα, συντυγχάνειν αὐτοῖς ταχὺ καὶ διαγγέλλειν· εἶτα πάλιν κοσμίως ἐντὸς εἶναι τοῦ λογισμοῦ καὶ προσέχειν αὐτῷ. νῦν δὲ συμβαίνει τὸ τοῦ Σοφοκλέους·

Ἔπειτα δ᾽ Αἰνιᾶνος ἀνδρὸς ἄστομοι
Πῶλοι βίᾳ φοροῦσιν,

*αἱ μὴ τυχοῦσαι παιδαγωγίας (ὥςπερ λέγομεν) ὀρθῆς μηδ' ἀσκήσεως αἰσθήσεις, προεκτρέχουσαι καὶ συνεφελκόμεναι πολλάκις, εἰς ἃ μὴ δεῖ καταβάλλουσι τὴν διάνοιαν. ὅθεν ἐκεῖνο μὲν ψεῦδός ἐστι, τὸ Δημόκριτον ἑκουσίως σβέσαι τὰς ὄψεις ἀπερεισάμενον εἰς ἔσοπτρα πυρωθέντα, καὶ τὴν ἀπ' αὐτῶν ἀνάκλασιν δεξάμενον, ὅπως μὴ παρέχωσι θόρυβον, τὴν διάνοιαν ἔξω καλοῦσαι πολλάκις, ἀλλ' ἐῶσιν ἔνδον οἰκουρεῖν καὶ διατρίβειν πρὸς τοῖς νοητοῖς, ὥςπερ παρόδιαι θυρίδες ἐμφραγεῖσαι· τοῦτο μέντοι παντὸς μᾶλλον ἀληθές ἐστιν, ὅτι τὴν αἴσθησιν ὀλίγα κινοῦσιν οἱ πλεῖστα τῇ διανοίᾳ χρώμενοι. καὶ γὰρ τὰ μουσεῖα πορρωτάτω τῶν πόλεων ἱδρύσαντο, καὶ τὴν νύκτα προςεῖπον εὐφρόνην, μέγα πρὸς εὕρεσιν τῶν ζητουμένων καὶ σκέψιν ἡγούμενοι τὴν ἡσυχίαν καὶ τὸ ἀπερίσπαστον.*

XIII. *Ἀλλὰ μὴν οὐδ' ἐκεῖνο χαλεπὸν καὶ δύςκολον, ἀνθρώπων λοιδορουμένων ἐν ἀγορᾷ καὶ κακῶς λεγόντων ἀλλήλους, μὴ προςελθεῖν· ἢ συνδρομῆς ἐπί τι πλειόνων γενομένης, μεῖναι καθήμενον· ἐὰν δ' ἀκρατῶς ἔχῃς, ἀπελθεῖν ἀναστάντα. χρηστοῦ μὲν γὰρ οὐδενὸς, τοῖς πολυπραγμονοῦσιν ἀναμίξας σεαυτὸν, ἀπολαύσεις· μεγάλα δ' ὠφεληθήσῃ, τὸ πολύπραγμον ἀποστρέψας βίᾳ καὶ κολούσας, ὑπακούειν τῷ λογισμῷ συνεθιζόμενον. ἐκ δὲ τούτου μᾶλλον ἐπιτείνοντα τὴν ἄσκησιν ὀρθῶς ἔχει, καὶ θέατρον ἀκροάματος εὐημεροῦντος παρελθεῖν, καὶ φίλους ἐπ' ὀρχηστοῦ τινος ἢ κωμῳδοῦ θέαν παραλαμβάνοντας διώσασθαι, καὶ βοῆς ἐν σταδίῳ γενομένης*

ἢ ὑποδρόμῳ, μὴ ἐπιστραφῆναι. καθάπερ γὰρ ὁ Σωκράτης παρῄνει φυλάττεσθαι τῶν βρωμάτων ὅσα μὴ πεινῶντας ἐσθίειν ἀναπείθει, καὶ τῶν πομάτων ὅσα πίνειν μὴ διψῶντας· οὕτω χρὴ καὶ ἡμᾶς τῶν θεαμάτων καὶ ἀκουσμάτων φυλάττεσθαι καὶ φεύγειν ὅσα κρατεῖ καὶ προσάγεται τοὺς μηδὲν δεομένους. ὁ δὲ Κῦρος οὐκ ἐβούλετο τὴν Πάνθειαν ἰδεῖν, ἀλλὰ τοῦ Ἀράσπου λέγοντος, ὡς ἄξιον θέας εἴη τὸ τῆς γυναικὸς εἶδος· Οὐκοῦν (ἔφη) διὰ τοῦτο μᾶλλον αὐτῆς ἀφεκτέον· εἰ γὰρ ὑπὸ σοῦ πεισθεὶς ἀφικόμην πρὸς αὐτὴν, ἴσως ἄν με πάλιν ἀναπείσειεν αὐτὴ καὶ μὴ σχολάζοντα φοιτᾶν, θεᾶσθαί τε καὶ παρακαθῆσθαι προέμενον πολλὰ τῶν σπουδῆς ἀξίων. ὁμοίως οὐδ᾽ Ἀλέξανδρος εἰς ὄψιν ἦλθε τῆς Δαρείου γυναικὸς, εὐπρεπεστάτης εἶναι λεγομένης· ἀλλὰ πρὸς τὴν μητέρα φοιτῶν αὐτῆς, πρεσβῦτιν οὖσαν, οὐχ ὑπέμεινε τὴν νέαν καὶ καλὴν ἰδεῖν. ἡμεῖς δὲ τοῖς φορείοις τῶν γυναικῶν ὑποβάλλοντες τὰ ὄμματα, καὶ τῶν θυρίδων ἐκκρεμαννύντες, οὐδὲν ἁμαρτάνειν δοκοῦμεν, οὕτως ὀλισθηρὰν καὶ ῥευστὴν εἰς ἅπαντα τὴν πολυπραγμοσύνην ποιοῦντες.

XIV. Ἔστι τοίνυν καὶ πρὸς δικαιοσύνης ἄσκησιν, ὑπερβῆναί ποτε λῆμμα δίκαιον, ἵνα πόῤῥω τῶν ἀδίκων ἐθίσῃς σεαυτὸν εἶναι· καὶ πρὸς σωφροσύνην ὁμοίως, ἀποσχέσθαι ποτὲ γυναικὸς ἰδίας, ἵνα μηδέποτε κινηθῇς ὑπ᾽ ἀλλοτρίας. τοῦτο δὴ τὸ ἔθος ἐπάγων τῇ πολυπραγμοσύνῃ, πειρῶ καὶ τῶν ἰδίων ἔνια παρακοῦσαί ποτε καὶ παριδεῖν, καὶ βουλομένου τινὸς ἀγγεῖλαί τι τῶν ἐπὶ τῆς οἰκίας, ὑπερβαλέσθαι,

καὶ λόγους περὶ σοῦ λελέχθαι δοκοῦντας ἀπώσασθαι. καὶ γὰρ τὸν Οἰδίποδα τοῖς μεγίστοις κακοῖς ἡ περιεργία περιέβαλε· ζητῶν γὰρ ἑαυτὸν, ὡς οὐκ ὄντα Κορίνθιον, ἀλλὰ ξένον, ἀπήντησε τῷ Λαΐῳ, καὶ τοῦτον ἀνελὼν, καὶ τὴν μητέρα λαβὼν ἐπὶ τῇ βασιλείᾳ γυναῖκα, καὶ δοκῶν εἶναι μακάριος, πάλιν ἑαυτὸν ἐζήτει· καὶ τῆς γυναικὸς οὐκ ἐώσης, ἔτι μᾶλλον ἤλεγχε τὸν συνειδότα γέροντα, πᾶσαν προσφέρων ἀνάγκην· τέλος δὲ τοῦ πράγματος ἤδη περιφέροντος αὐτὸν τῇ ὑπονοίᾳ, καὶ τοῦ γέροντος ἀναβοήσαντος·

Οἴμοι πρὸς αὐτῷ γ' εἰμὶ τῷ δεινῷ λέγειν·

ὅμως ἐξημμένος ὑπὸ τοῦ πάθους καὶ σφαδάζων ἀποκρίνεται·

Κἄγωγ' ἀκούειν· ἀλλ' ὅμως ἀκουστέον.

οὕτω τις ἐστὶ γλυκύπικρος καὶ ἀκατάσχετος ὁ τῆς πολυπραγμοσύνης γαργαλισμὸς, ὥςπερ ἕλκος αἱμάσσων ἑαυτὸν, ὅταν ἀμύσσηται. ὁ δ' ἀπηλλαγμένος τῆς νόσου ταύτης καὶ φύσει πρᾶος, ἀγνοήσας τι τῶν δυσχερῶν, εἴποι ἄν·

Ὦ πότνια λήθη τῶν κακῶν, ὡς εἶ σοφή.

XV. Διὸ καὶ πρὸς ταῦτα συνεθιστέον αὐτοὺς, ἐπιστολὴν κομισθεῖσαν μὴ ταχὺ μηδὲ κατεσπευσμένως λῦσαι· καθάπερ οἱ πολλοὶ ποιοῦσιν, ἂν αἱ χεῖρες βραδύνωσι, τοῖς ὀδοῦσι τοὺς δεσμοὺς διαβιβρώσκοντες· ἀγγέλου ποθὲν ἥκοντος, μὴ προςδραμεῖν, μηδ' ἐξαναστῆναι· φίλου τινὸς εἰπόντος· Ἔχω σοί τι καινὸν εἰπεῖν πρᾶγμα· Μᾶλλον, εἴ τι χρήσιμον ἔχεις, ἢ ὠφέλιμον. ἐμοῦ ποτὲ ἐν Ῥώμῃ διαλεγομέ-

ναοῦ, Ῥούστικος ἐκεῖνος, ὃν ὕστερον ἀπέκτεινε Δομετιανὸς τῇ δόξῃ φθονήσας, ἠκροῦτο, καὶ διὰ μέσου στρατιώτης παρελθὼν ἐπιστολὴν αὐτῷ Καίσαρος ἐπέδωκε· γενομένης δὲ σιωπῆς, κἀμοῦ διαλιπόντος, ὅπως ἀναγνῷ τὴν ἐπιστολὴν, οὐκ ἠθέλησεν, οὐδ᾽ ἔλυσε πρότερον, ἢ διεξελθεῖν ἐμὲ τὸν λόγον, καὶ διαλυθῆναι τὸ ἀκροατήριον· ἐφ᾽ ᾧ πάντες ἐθαύμασαν τὸ βάρος τοῦ ἀνδρός. ὅταν δέ τις οἷς ἔξεστι τρέφων τὸ πολύπραγμον, ἰσχυρὸν ἀπεργάσηται καὶ βίαιον, οὐκέτι ῥᾳδίως πρὸς ἃ κεκώλυται φερομένου διὰ συνήθειαν, κρατεῖν δυνατός ἐστιν· ἀλλ᾽ ἐπιστόλια παραλύουσιν οὗτοι φίλων, συνεδρίοις ἀποῤῥήτοις ἑαυτοὺς παραβάλλουσιν, ἱερῶν, ἃ μὴ θέμις ὁρᾷν, γίνονται θεαταὶ, τόπους ἀβάτους πατοῦσι, πράγματα καὶ λόγους βασιλικοὺς ἀνερευνῶσι.

XVI. Καίτοι τούς γε τυράννους, οἷς ἀνάγκη πάντα γινώσκειν, ἐπαχθεστάτους ποιεῖ τὸ τῶν λεγομένων ὤτων καὶ προσαγωγέων γένος. ὠτακουστὰς μὲν οὖν πρῶτος ἔσχεν ὁ νέος Δαρεῖος, ἀπιστῶν ἑαυτῷ, καὶ πάντας ὑφορώμενος καὶ δεδοικώς· τοὺς δὲ προσαγωγέας οἱ Διονύσιοι ταῖς Συρακουσίοις κατέμιξαν· ὅθεν ἐν τῇ μεταβολῇ τῶν πραγμάτων τούτους πρώτους οἱ Συρακούσιοι συλλαμβάνοντες ἀπετυμπάνιζον. καὶ γὰρ τὸ τῶν συκοφαντῶν γένος ἐκ τῆς τῶν πολυπραγμόνων φρατρίας καὶ ἑστίας ἐστίν. ἀλλ᾽ οἱ μὲν συκοφάνται ζητοῦσιν, εἴ τις ἢ βεβούλευται κακὸν, ἢ πεποίηκεν· οἱ δὲ πολυπράγμονες καὶ τὰς ἀβουλήτους ἀτυχίας τῶν πέλας ἐλέγχοντες, εἰς μέσον ἐκφέρουσι. λέγεται δὲ καὶ τὸν ἀλιτήριον ἐκ

φιλοπραγμοσύνης κατονομασθῆναι τοπρῶτον· λιμοῦ γὰρ, ὡς ἔοικεν, Ἀθηναίοις ἰσχυροῦ γενομένου, καὶ τῶν ἐχόντων πυρὸν εἰς μέσον οὐ φερόντων, ἀλλὰ κρύφα καὶ νύκτωρ ἐν ταῖς οἰκίαις ἀλούντων, περιϊόντες ἐτήρουν τῶν μύλων τὸν ψόφον, εἶτ' ἀλιτήριοι προςηγορεύθησαν. ὁμοίως δὲ καὶ τῷ συκοφάντῃ τοὔνομα γεγενῆσθαι· κεκωλυμένου γὰρ ἐκφέρειν τὰ σῦκα, μηνύοντες καὶ φαίνοντες τοὺς ἐξάγοντας, ἐκλήθησαν συκοφάνται. καὶ τοῦτο οὖν οὐκ ἄχρηςόν ἐστιν ἐννοεῖν τοὺς πολυπράγμονας, ὅπως αἰσχύνωνται τὴν πρὸς τοὺς μισουμένους μάλιστα καὶ δυςχεραινομένους ὁμοιότητα καὶ συγγένειαν τοῦ ἐπιτηδεύματος.

---

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΠΕΡΙ

## ΦΙΛΟΠΛΟΥΤΙΑΣ.

---

Ἱππόμαχος ὁ ἀλείπτης, ἐπαινούντων τινῶν ἄνθρωπον εὐμήκη καὶ μακρὰς ἔχοντα χεῖρας, ὡς πυκτικόν, Εἴπερ (ἔφη) καθελεῖν ἔδει τὸν στέφανον κρεμάμενον. τοῦτ' ἐστὶν εἰπεῖν πρὸς τοὺς τὰ καλὰ χωρία

καὶ τὰς μεγάλας οἰκίας καὶ τὸ πολὺ ἀργύριον ὑπερεκπεπληγμένους καὶ μακαρίζοντας· Εἴγ' ἔδει πωλουμένην πρίασθαι τὴν εὐδαιμονίαν. καίτοι πολλοὺς ἂν ἴδοι τις, οἳ μᾶλλον ἐθέλουσι πλουτεῖν καὶ κακοδαιμονοῦντες, ἢ μακάριοι γενέσθαι δόντες ἀργύριον. ἀλλ' οὐκ ἔστι γε χρημάτων ὤνιον ἀλυπία, μεγαλοφροσύνη, εὐστάθεια, θαῤῥαλεότης, αὐτάρκεια· τῷ πλουτεῖν οὐκ ἔνεστι τὸ πλούτου καταφρονεῖν, οὐδὲ τῷ τὰ περιττὰ κεκτῆσθαι τὸ μὴ δεῖσθαι τῶν περιττῶν.

II. Τίνος οὖν ἀπαλλάττει τῶν ἄλλων κακῶν ὁ πλοῦτος, εἰ μηδὲ φιλοπλουτίας; ἀλλὰ ποτῷ μὲν ἔσβεσαν τὴν τοῦ ποτοῦ ὄρεξιν, καὶ τροφῇ τὴν τῆς τροφῆς ἐπιθυμίαν ἠκέσαντο· κἀκεῖνος ὁ λέγων,

Δὸς χλαῖναν Ἱππώνακτι, κάρτα γὰρ ῥιγῶ·

πλειόνων ἐπιφερομένων, δυσανασχετεῖ καὶ διωθεῖται· φιλαργυρίαν δ' οὐ σβέννυσιν ἀργύριον, οὐδὲ χρυσίον, οὐδὲ πλεονεξία παύεται κτωμένη τὸ πλέον. ἀλλ' ἔστιν εἰπεῖν πρὸς τὸν πλοῦτον, ὡς πρὸς ἰατρὸν ἀλαζόνα·

Τὸ φάρμακόν σου τὴν νόσον μείζω ποιεῖ.

ἄρτου δεομένους καὶ οἴκου καὶ σκέπης μετρίας, καὶ τοῦ τυχόντος ὄψου παραλαβὼν, ἐμπέπληκεν ἐπιθυμίας χρυσοῦ καὶ ἀργύρου καὶ ἐλέφαντος, καὶ σμαράγδων, καὶ κυνῶν καὶ ἵππων, εἰς χαλεπὰ καὶ σπάνια καὶ δυσπόριστα καὶ ἄχρηστα μεταθεὶς ἐκ τῶν ἀναγκαίων τὴν ὄρεξιν. ἐπεὶ τῶν γε ἀρκούντων οὐδεὶς πένης ἐστίν· οὐ δεδάνεισται πώποτε ἀργύριον ἄνθρωπος, ἵνα ἄλφιτα πρίηται, ἢ τυρὸν, ἢ ἄρτον,

ἢ ἐλαίας· ἀλλὰ τὸν μὲν οἰκία πολυτελὴς χρεωφειλέτην πεποίηκε· τὸν δὲ ὁμοροῦν ἐλαιόφυτον, τὸν δὲ σιτῶνες, ἀμπελῶνες, ἄλλον ἡμίονοι Γαλατικαὶ, ἄλλον ἵπποι ζυγοφόροι

Κεῖν' ὄχεα κροτέοντες —

ἐνσεσείκασιν εἰς βάραθρα συμβολαίων καὶ τόκων καὶ ὑποθηκῶν. εἶτα ὥσπερ οἱ πίνοντες μετὰ τὸ μὴ διψῆν, ἢ ἐσθίοντες μετὰ τὸ μὴ πεινῆν, καὶ ὅσα διψῶντες ἢ πεινῶντες ἔλαβον προςεξεμοῦσιν· οὕτως οἱ τῶν ἀχρήςων ἐφιέμενοι καὶ περιττῶν, οὐδὲ τῶν ἀναγκαίων κρατοῦσιν. οὗτοι μὲν οὖν τοιοῦτοι.

III. Τοὺς δὲ μηδὲν ἀποβάλλοντας, ἔχοντας δὲ πολλὰ, πλειόνων δ' ἀεὶ δεομένους, ἔτι μᾶλλον θαυμάσειεν ἄν τις, τοῦ Ἀριστίππου μεμνημένος. ἐκεῖνος γὰρ εἰώθει λέγειν, ὅτι πολλὰ μέν τις ἐσθίων, πολλὰ δὲ πίνων, πληρούμενος δὲ μηδέποτε, πρὸς τοὺς ἰατροὺς βαδίζει, καὶ πυνθάνεται, τί τὸ πάθος, καὶ τίς ἡ διάθεσις, καὶ πῶς ἂν ἀπαλλαγείη· εἰ δέ τις ἔχων πέντε κλίνας, δέκα ζητεῖ, καὶ κεκτημένος δέκα τραπέζας, ἑτέρας συνωνεῖται τοσαύτας, καὶ χωρίων πολλῶν παρόντων, καὶ ἀργυρίου, οὐ γίνεται μεστὸς, ἀλλὰ ἐπ' ἄλλα συντέταται καὶ ἀγρυπνεῖ, καὶ ἀπλήρωτός ἐστι πάντων, οὗτος οὐκ οἴεται δεῖσθαι τοῦ θεραπεύσοντος, καὶ δείξοντος, ἀφ' ἧς αἰτίας τοῦτο πέπονθεν; καίτοι τῶν διψώντων τὸν μὲν οὐ πεπωκότα, προςδοκήσειεν ἄν τις ἀπαλλαγήσεσθαι πιόντα τοῦ διψῆν· τὸν δὲ πίνοντα συνεχῶς καὶ μὴ παυόμενον, οὐ πληρώσεως, ἀλλὰ καθάρσεως οἰόμεθα δεῖσθαι· καὶ κελεύομεν ἐμεῖν, ὡς οὐχ ὑπ' ἐν-

-θείας ὀχλούμενον, ἀλλά τινος δριμύτητος ἢ θερμότητος αὐτῷ παρὰ φύσιν ἐνούσης· οὐκοῦν καὶ τῶν πορίζόντων ὁ μὲν ἐνδεὴς καὶ ἄπορος, παύσεται ἴσως ἑστίαν κτησάμενος, ἢ θυσαυρὸν εὑρὼν, ἢ φίλου βοηθήσαντος, ἐκτίσας καὶ ἀπαλλαγεὶς τοῦ δανειστοῦ· τὸν δὲ πλείω τῶν ἱκανῶν ἔχοντα, καὶ πλειόνων ὀρεγόμενον, οὐ χρυσίον ἐστὶν, οὐδ' ἀργύριον τὸ θεραπεῦον, οὐδ' ἵπποι καὶ πρόβατα καὶ βόες, ἀλλ' ἐκβολῆς δεῖται καὶ καθαρμοῦ. πενία γὰρ οὐκ ἔστιν, ἀλλ' ἀπληστία, τὸ πάθος αὐτοῦ, καὶ φιλοπλουτία, διὰ κρίσιν φαύλην καὶ ἀλόγιστον ἐνοῦσαν· ἣν ἂν μή τις ἐξέληται τῆς ψυχῆς, ὥςπερ ἕλιγμα πλάγιον, οὐ παύσονται δεόμενοι τῶν περιττῶν, τουτέστιν ἐπιθυμοῦντες, ὧν οὐ δέονται.

IV. Ὅταν ἰατρὸς εἰσελθὼν πρὸς ἄνθρωπον ἐῤῥιμμένον ἐν τῷ κλινιδίῳ, καὶ στένοντα, καὶ μὴ βουλόμενον τροφὴν λαβεῖν, ἅψηται καὶ ἀνακρίνῃ καὶ εὕρῃ μὴ πυρέττοντα· Ψυχικὴ νόσος, ἔφη, καὶ ἀπῆλθεν· οὐκοῦν καὶ ἡμεῖς ὅταν ἴδωμεν ἄνδρα τῷ ποριcμῷ προστετηκότα καὶ τοῖς ἀναλώμασιν ἐπιστένοντα, καὶ μηδενὸς εἰς χρηματισμὸν συντελοῦντος αἰσχροῦ, μηδ' ἀνιαροῦ φειδόμενον, οἰκίας δ' ἔχοντα καὶ χώρας καὶ ἀγέλας καὶ ἀνδράποδα σὺν ἱματίοις, τί φήσομεν τὸ πάθος εἶναι τοῦ ἀνθρώπου, ἢ πενίαν ψυχικήν; ἐπεὶ τήν γε χρηματικὴν (ὥς φησιν ὁ Μένανδρος) εἷς ἂν φίλος ἀπαλλάξειεν εὐεργετήσας· τὴν δὲ ψυχικὴν ἐκείνην οὐκ ἂν ἐμπλήσειαν ἅπαντες, οὔτε ζῶντες, οὔτ' ἀποθανόντες. ὅθεν εὖ πρὸς τούτοις λέλεκται ὑπὸ τοῦ Σόλωνος·

*Πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνθρώποισιν.*

ἐπεὶ τοῖς γε νοῦν ἔχουσιν ὁ τῆς φύσεως πλοῦτος ὥρισται, καὶ τὸ τέρμα πάρεστι τῆς χρείας καθάπερ κέντρῳ καὶ διαστήματι περιγραφόμενον. ἀλλὰ καὶ τοῦτο τῆς φιλαργυρίας ἴδιον· ἐπιθυμία γάρ ἐστι μαχομένη πρὸς τὴν αὑτῆς πλήρωσιν· αἱ δ' ἄλλαι καὶ συνεργοῦσιν· οὐδεὶς γοῦν ἀπέχεται χρηστοῦ ὄψου, διὰ φιλοψίαν, οὐδ' οἴνου, δι' οἰνοφλυγίαν, ὡς χρημάτων ἀπέχονται διὰ φιλοχρηματίαν. καίτοι πῶς οὐ μανικὸν οὐδ' οἰκτρὸν τὸ πάθος, εἴ τις ἱματίῳ μὴ χρῆται διὰ τὸ ῥιγοῦν, μηδ' ἄρτῳ διὰ τὸ πεινῆν, μηδὲ πλούτῳ διὰ τὸ φιλοπλουτεῖν; ἀλλ' ἐν τοῖς Θρασωνίδου κακοῖς ἐστιν.

*Παρ' ἐμοὶ γάρ ἐστιν ἔνδον, ἔξεστιν δέ μοι.*
*Καὶ βούλομαι τοῦτ' —*

ὡς οἱ ἐμμανέστατα ἐρῶντες,

*— Οὐ ποιῶ δέ· —*

κατακλείσας δὲ πάντα καὶ κατασφραγισάμενος, καὶ ἀπαριθμήσας τοκισταῖς καὶ πραγματευταῖς, ἄλλα συνάγω καὶ διώκω· καὶ ζυγομαχῶ πρὸς τοὺς οἰκέτας, πρὸς τοὺς γεωργούς, πρὸς τοὺς χρεώστας·

*Ἄπολλον, ἀνθρώπων τίν' ἀθλιώτερον*
*Ἑώρακας, ἄρ' ἐρῶντα δυσποτμώτερον;*

V. Ὁ Σοφοκλῆς ἐρωτηθεὶς, εἰ δύναται γυναικὶ πλησιάζειν· Εὐφήμει, ἄνθρωπε· (εἶπεν) ἐλεύθερος γέγονα, λυττῶντας καὶ ἀγρίους δεσπότας διὰ τὸ γῆρας ἀποφυγών. χάριεν γὰρ ἅμα ταῖς ἡδοναῖς συνεκλιπεῖν τὰς ἐπιθυμίας, ἃς μήτ' ἄνδρα φησὶν Ἀλ-

καῖος διαφυγεῖν, μήτε γυναῖκα. τοῦτο δ' οὐκ ἔστιν ἐπὶ τῆς φιλοπλουτίας· ἀλλ' ὥσπερ βαρεῖα καὶ πικρὰ δέσποινα, κτᾶσθαι μὲν ἀναγκάζει, χρῆσθαι δὲ κωλύει· καὶ τὴν μὲν ἐπιθυμίαν ἐγείρει, τὴν δὲ ἡδονὴν ἀφαιρεῖται. τοὺς μὲν οὖν Ῥοδίους ὁ Στρατόνικος ἐπέσκωπτεν ὡς πολυτελεῖς, οἰκοδομεῖν μὲν ὡς ἀθανάτους λέγων, ὀψωνεῖν δὲ ὡς ὀλιγοχρονίους· οἱ δὲ φιλάργυροι κτῶνται μὲν ὡς πολυτελεῖς, χρῶνται δὲ ὡς ἀνελεύθεροι· καὶ τοὺς μὲν πόνους ὑπομένουσι, τὰς δὲ ἡδονὰς οὐκ ἔχουσιν. ὁ γοῦν Δημάδης ἐπιστὰς ἀριστῶντι ποτὲ Φωκίωνι, καὶ θεασάμενος αὐτοῦ τὴν τράπεζαν αὐστηρὰν καὶ λιτήν· Θαυμάζω σε, ὦ Φωκίων, (εἶπεν) ὅτι, οὕτως ἀριστᾶν δυνάμενος, πολιτεύῃ. αὐτὸς γὰρ εἰς τὴν γαστέρα ἐδημαγώγει, καὶ τὰς Ἀθήνας μικρὸν ἡγούμενος τῆς ἀσωτίας ἐφόδιον, ἐκ τῆς Μακεδονίας ἐπεσιτίζετο· καὶ διὰ τοῦτο Ἀντίπατρος εἶπε, θεασάμενος αὐτὸν γέροντα, καθάπερ ἱερείου διαπεπραγμένου, μηδὲν ἔτι λοιπὸν, ἢ τὴν γλῶσσαν εἶναι καὶ τὴν κοιλίαν. σὲ δ' οὐκ ἄν τις, ὦ κακόδαιμον, θαυμάσειεν, εἰ δυνάμενος οὕτω ζῆν ἀνελευθέρως καὶ ἀπανθρώπως καὶ ἀμεταδότως, καὶ πρὸς φίλους ἀπηνῶς, καὶ πρὸς πόλιν ἀφιλοτίμως, κακοπαθεῖς καὶ ἀγρυπνεῖς, καὶ ἐργολαβεῖς, καὶ κληρονομεῖς, καὶ ὑποπίπτεις, τηλικοῦτον ἔχων τῆς ἀπραγμοσύνης ἐφόδιον, τὴν ἀνελευθερίαν; Βυζάντιόν τινα λέγουσιν ἐπὶ δυσμόρφῳ γυναικὶ μοιχὸν εὑρόντα εἰπεῖν· Ὦ ταλαίπωρε, τίς ἀνάγκη, σαπραγόρα προίξ; ἄγε σὺ κυκᾷς, ὑφάπτεις, ὦ πονηρὲ, τοὺς βασιλεῖς πορίζεσθαι δεῖ, τοὺς ἐπιτρόπους τῶν βασιλέων, τοὺς

ἐν ταῖς πόλεσι πρωτεύειν καὶ ἄρχειν ἐθέλοντας· ἐκείνοις ἀνάγκη διὰ τὴν φιλοτιμίαν καὶ τὴν ἀλαζονείαν καὶ τὴν κενὴν δόξαν ἑστιῶσιν, χαριζομένοις, δορυφοροῦσι, δῶρα πέμπουσι, στρατεύματα τρέφουσι, μονομάχους ὠνουμένοις· σὺ δὲ τοσαῦτα πράγματα συνέχεις καὶ ταράττεις καὶ στροβεῖς σεαυτὸν, κοχλίου βίον ζῶν διὰ τὴν μικρολογίαν, καὶ τὰ δυσχερῆ πάντα ὑπομένεις, οὐδὲν εὖ πάσχων· ὥςπερ ὄνος βαλανέως ξύλα καὶ φρύγανα κατακομίζων, ἀεὶ καπνοῦ καὶ τέφρας ἀναπιμπλάμενος, λουτροῦ δὲ μὴ μετέχων, μηδ᾽ ἀλέας, μηδὲ καθαριότητος.

VI. Καὶ ταῦτα πρὸς τὴν ὀνώδη καὶ μυρμηκώδη λέγω ταύτην φιλοπλουτίαν. ἑτέρα δέ ἐστιν ἡ θηριώδης, συκοφαντοῦσα, καὶ κληρονομοῦσα, καὶ παραλογιζομένη, καὶ πολυπραγμονοῦσα, καὶ φροντίζουσα, καὶ ἀριθμοῦσα τῶν φίλων ἔτι πόσοι ζῶσιν, εἶτα πρὸς μηδὲν ἀπολαύουσα τῶν πανταχόθεν προσποριζομένων. ὥςπερ οὖν ἐχίδνας καὶ κανθαρίδας καὶ φαλάγγια μᾶλλον προβαλλόμεθα καὶ δυσχεραίνομεν ἄρκτων καὶ λεόντων, ὅτι κτείνει καὶ ἀπόλλυσιν ἀνθρώπους μηδὲν χρώμενα τοῖς ἀπολλυμένοις ὑπ᾽ αὐτῶν· οὕτω δεῖ μᾶλλον δυσχεραίνειν τῶν δι᾽ ἀσωτίαν τοὺς διὰ μικρολογίαν καὶ ἀνελευθερίαν πονηρούς. ἀφαιροῦνται γὰρ ἄλλων, οἷς αὐτοὶ χρῆσθαι μὴ δύνανται, μηδὲ πεφύκασιν. ὅθεν ἐκεῖνοι μὲν ἐκεχειρίαν ἄγουσιν, ἐν ἀφθόνοις γενόμενοι, καὶ χορηγίαν ἔχοντες· ὥςπερ ὁ Δημοσθένης ἔλεγε πρὸς τοὺς νομίζοντας, τῆς πονηρίας τὸν Δημάδην πεπαῦσθαι· Νῦν γὰρ (ἔφη) μεστὸν ὁρᾶτε, καθάπερ τοὺς λέον-

τας· τοῖς δ' εἰς μηδὲν ἡδὺ μηδὲ χρήσιμον πολιτευομένοις οὐκ ἔστιν ἀνακωχὴ τοῦ πλεονεκτεῖν, οὐδ' ἀσχολία, κενοῖς οὖσιν ἀεὶ καὶ προςδεομένοις ἁπάντων.

VII. Ἀλλὰ νὴ Δία, φήσει τις, ὅτι παισὶν οὗτοι καὶ κληρονόμοις φυλάττουσι καὶ θησαυρίζουσιν, οἷς ζῶντες οὐδὲν μεταδιδόασιν· ἀλλ' ὥςπερ τῶν μυῶν τῶν ἐν τοῖς μετάλλοις τὴν χρυσῖτιν ἐσθιόντων, οὐκ ἔσται τοῦ χρυσίου μεταλαβεῖν, εἰ μὴ νεκρῶν γενομένων καὶ ἀνατμηθέντων. παισὶ δὲ καὶ κληρονόμοις διὰ τί βούλονται πολλὰ χρήματα καὶ μεγάλην οὐσίαν ἀπολιπεῖν; ἵνα δηλονότι καὶ οὗτοι φυλάττωσιν ἑτέροις, κἀκεῖνοι παισίν. ὥςπερ οἱ κεραμεοῖ σωλῆνες, οὐδὲν ἀναλαμβάνοντες εἰς ἑαυτούς, ἀλλ' ἕκαστος εἰς ἕτερον ἐξ ἑαυτοῦ μεθιείς· ἄχρις ἄν τις ἔξωθεν, ἢ συκοφάντης, ἢ τύραννος, ἐκκόψας τὸν φυλάττοντα καὶ κατάξας ἀλλαχόσε παρατρέψῃ καὶ παροχετεύσῃ τὸν πλοῦτον· ἢ, καθάπερ λέγουσιν, εἷς ὁ πονηρότατος ἐν τῷ γένει γενόμενος, καταφάγῃ τὰ πάντων· οὐ γὰρ μόνον, κατὰ τὸν Εὐριπίδην,

Ἀκόλαστα πάντῃ γίνεται δούλων τέκνα,

ἀλλὰ καὶ μικρολόγων· ὥς που καὶ Διογένης ἐπέσκωψεν, εἰπών· Μεγαρέως ἂν ἀνδρὸς βέλτιον εἶναι κριόν, ἢ υἱόν, γενέσθαι. καὶ γὰρ οὓς δοκοῦσι παιδεύειν, ἀπολλύουσι, καὶ προςδιαστρέφουσιν, ἐμφυτεύοντες τὴν αὐτῶν φιλαργυρίαν καὶ μικρολογίαν, ὥςπερ οὖν τι φρούριον τῆς κληρονομίας ἐνοικοδομοῦντες τοῖς κληρονόμοις. ταῦτα γάρ ἐστιν, ἃ παραινοῦσι καὶ διδάσκουσι· Κέρδαινε καὶ φείδου, καὶ τοσούτου νόμιζε σεαυτὸν ἄξιον, ὅσον ἂν ἔχῃς. τοῦτο

δ' οὐκ ἔστι παιδεύειν, ἀλλὰ σύστέλλειν καὶ ἀποῤῥύπτειν ὥσπερ βαλάντιον, ἵνα στέγειν καὶ φυλάττειν τὸ ἐμβληθὲν δύνηται. καίτοι τὸ μὲν βαλάντιον, ἐμβληθέντος τοῦ ἀργυρίου, γίνεται ῥυπαρὸν καὶ δυσῶδες· οἱ δὲ τῶν φιλαργύρων παῖδες, πρὶν ἢ παραλαμβάνειν τὸν πλοῦτον, ἀναπίμπλανται τῆς φιλοπλουτίας ἀπ' αὐτῶν τῶν πατέρων. καὶ μέντοι τῆς διδασκαλίας καὶ μισθοὺς ἀξίους ἀποτίνουσιν αὐτοῖς, οὐ φιλοῦντες, ὅτι πολλὰ λήψονται, ἀλλὰ μισοῦντες, ὅτι μήπω λαμβάνουσι· μηδὲν γὰρ ἄλλο θαυμάζειν, ἢ τὸν πλοῦτον, μαθόντες, μηδ' ἐπ' ἄλλῳ τινὶ ζῆν, ἢ τῷ πολλὰ κεκτῆσθαι, κώλυσιν τοῦ ἰδίου βίου τὸν ἐκείνων ποιοῦνται, καὶ νομίζουσιν αὐτῶν ἀφαιρεῖσθαι τὸν χρόνον, ὅσον ἐκείνοις προστίθησι. διὸ καὶ ζώντων μὲν ἔτι τῶν πατέρων, λανθάνοντες ἁμωσγέπως παρακλέπτουσι τῆς ἡδονῆς καὶ ἀπολαύουσιν, ὥσπερ ἀλλοτρίων μεταδιδόντες φίλοις, ἀναλίσκοντες εἰς ἐπιθυμίας, ἔτι ἀκούοντες καὶ μανθάνοντες. ὅταν δ' ἀποθανόντων τὰς κλεῖς παραλάβωσι καὶ τὰς σφραγῖδας, ἕτερον βίου σχῆμα αὐτοῖς ἐστι, καὶ πρόσωπον ἀγέλαστον, αὐστηρὸν, ἀνέντευκτον. οὐ κολοφὼν, οὐ σφαῖρα, οὐ τραχηλισμὸς, οὐκ ἀκαδημία, οὐ λύκειον· ἀλλ' οἰκετῶν ἀνάκρισις, καὶ γραμματείων ἐπίσκεψις, καὶ πρὸς οἰκονόμους ἢ χρεώστας διαλογισμὸς, καὶ ἀσχολία καὶ φροντὶς ἀφαιρουμένη τὸ ἄριστον, καὶ συνελαύνουσα νυκτὸς εἰς τὸ βαλανεῖον· γυμνάσια δὲ, οἷσιν ἐνετράφη, Δίρκης τε ὕδωρ παρώδευται· κἂν εἴπῃ τις· Οὐκ ἀκούσῃ τοῦ φιλοσόφου; Πόθεν ἐμοί; (φησὶν) οὐ σχολάζω, τοῦ πατρὸς τε-

*θνηκότος. ὦ ταλαίπωρε, τί σοι τοιοῦτο καταλέλοιπεν, οἷον ἀφῄρηται, τὴν σχολὴν καὶ τὴν ἐλευθερίαν; μᾶλλον δ᾽ οὐδ᾽ ἐκεῖνος, ἀλλ᾽ ὁ πλοῦτος περιχυθεὶς καὶ περικρατήσας, ὥςπερ ἡ παρ᾽ Ἡσιόδῳ γυνὴ*

*Εὕει ἄτερ δαλοῦ, καὶ ἐν ὠμῷ γήραϊ θῆκεν,*

*ὥςπερ ῥυτίδας ἀώρους, ἢ πολιάς, ἐπαγαγὼν τῆς ψυχῆς τὰς φροντίδας ἐκ τῆς φιλαργυρίας καὶ τῆς ἀσχολίας, ὑφ᾽ ὧν μαραίνεται τὸ γαῦρον καὶ τὸ φιλότιμον καὶ τὸ φιλάνθρωπον.*

VIII. *Τί οὖν, (φησί τις) οὐχ ὁρᾷς καὶ χρωμένους ἐνίους δαψιλῶς τοῖς χρήμασι; σὺ δ᾽ οὐκ ἀκούεις (φήσομεν) Ἀριστοτέλους λέγοντος, ὅτι οἱ μὲν οὐ χρῶνται, οἱ δὲ παραχρῶνται; καθάπερ οὐδ᾽ ἑτέρου προςήκοντος· ἀλλ᾽ ἐκείνους μὲν οὐκ ὠφελεῖ τὸ οἰκεῖον οὐδὲ κοσμεῖ, τούτους δὲ καὶ βλάπτει καὶ καταισχύνει· φέρε δὴ σκεψώμεθα τὸ πρῶτον. ἡ χρῆσις αὕτη, δι᾽ ἣν θαυμάζεται ὁ πλοῦτος, τίς; πότερον τῶν ἀρκούντων; οὐδὲν πλέον ἔχουσιν οἱ πλούσιοι τῶν μέτρια κεκτημένων· ἀλλ᾽ ἄπλουτος ὁ πλοῦτός ἐστιν (ὥς φησι Θεόφραστος) καὶ ἄζηλος ἀληθῶς, εἰ Καλλίας πλουσιώτατος Ἀθηναίων, καὶ Ἰσμηνίας εὐπορώτατος Θηβαίων, ἐχρῶντο τούτοις, οἷς Σωκράτης καὶ Ἐπαμινώνδας. ὡς γὰρ Ἀγάθων τὸν αὐλὸν ἀπέπεμψεν ἐκ τοῦ συμποσίου πρὸς τὰς γυναῖκας, οἰόμενος ἀρκεῖν τοὺς λόγους τῶν παρόντων· οὕτως ἀποπέμψειας ἂν καὶ στρωμνὰς ἁλουργοὺς, καὶ τραπέζας πολυτελεῖς, καὶ τὰ περιττὰ πάντα, τοὺς πλουσίους ὁρῶν χρωμένους, οἷς οἱ πένητες· οὐκ*

*Αἶψά κε πηδάλιον μὲν ὑπὲρ καπνοῦ καταθεῖο,*

Ἔργα βοῶν δ' ἀπόλοιτο καὶ ἡμιόνων ταλαεργῶν·

ἀλλὰ χρυσοχόων καὶ τορευτῶν καὶ μυρεψῶν καὶ μαγείρων, καλῆς καὶ σώφρονος γενομένης ξενηλασίας τῶν ἀχρήστων. εἰ δὲ τὰ μὲν ἀρκοῦντα κοινὰ καὶ τῶν πλουσίων καὶ τῶν μὴ πλουσίων ἐστὶ, σεμνύνεται δὲ ὁ πλοῦτος ἐπὶ τοῖς περισσοῖς· καὶ Σκόπαν τὸν Θεσσαλὸν ἐπαινεῖς, ὃς αἰτηθεὶς τι τῶν κατὰ τὴν οἰκίαν, ὡς περιττὸν αὐτῷ καὶ ἄχρηστον· Ἀλλὰ μὴν (ἔφη) τούτοις ἐσμὲν ἡμεῖς εὐδαίμονες καὶ μακάριοι τοῖς περιττοῖς, ἀλλ' οὐκ ἐκείνοις τοῖς ἀναγκαίοις· ὅρα, μὴ πομπὴν ἐπαινοῦντι καὶ πανήγυριν μᾶλλον, ἢ βίον, ἔοικας. ἡ πάτριος τῶν Διονυσίων ἑορτὴ τοπαλαιὸν ἐπέμπετο δημοτικῶς καὶ ἱλαρῶς, ἀμφορεὺς οἴνου καὶ κληματὶς, εἶτα τράγον τις εἷλκεν, ἄλλος ἰσχάδων ἄῤῥιχον ἠκολούθει κομίζων, ἐπὶ πᾶσι δὲ ὁ φαλλός· ἀλλὰ νῦν ταῦτα παρορᾶται καὶ ἠφάνισται, χρυσωμάτων περιφερομένων, καὶ ἱματίων πολυτελῶν καὶ ζευγῶν ἐλαυνομένων καὶ προσωπείων. οὕτως τὰ ἀναγκαῖα τοῦ πλούτου καὶ χρήσιμα τοῖς ἀχρήστοις κατακέχωσται καὶ τοῖς περιττοῖς.

IX. Οἱ δὲ πολλοὶ τὸ τοῦ Τηλεμάχου πάσχομεν· καὶ γὰρ ἐκεῖνος ὑπὸ ἀπειρίας, μᾶλλον δ' ἀπειροκαλίας, τὴν μὲν Νέστορος ἰδὼν οἰκίαν κλίνας ἔχουσαν, τραπέζας, ἱμάτια, στρώματα, οἶνον ἡδὺν, οὐκ ἐμακάριζε τὸν εὐποροῦντα τῶν ἀναγκαίων ἢ καὶ χρησίμων· παρὰ δὲ τῷ Μενελάῳ θεασάμενος ἐλέφαντα καὶ χρυσὸν καὶ ἤλεκτρον, ἐξεπλάγη, καὶ εἶπε·

Ζηνός που τοιήδε γ' Ὀλυμπίου ἔνδοθεν αὐλή·

Ὅσσα τάδ᾽ ἄσπετα πολλά· σέβας μ᾽ ἔχει εἰσορόωντα.

Σωκράτης δ᾽ ἂν εἶπεν, ἢ καὶ Διογένης·

Ὅσσα τά γ᾽ ἄθλια πολλὰ καὶ ἄχρηστα καὶ μάταια·

— γέλως μ᾽ ἔχει εἰσορόωντα.

τί λέγεις, ἀβέλτερε; τῆς γυναικὸς ὀφείλων παρελεῖν τὴν πορφύραν καὶ τὸν κόσμον, ἵνα παύσηται τρυφῶσα καὶ ξενομανοῦσα, τὴν οἰκίαν πάλιν καλλωπίζεις, ὡς θέατρον, ἢ θυμέλην, τοῖς εἰσιοῦσι;

X. Τοιαύτην ὁ πλοῦτος εὐδαιμονίαν ἔχει θεατῶν δεομένην καὶ μαρτύρων, ἢ τὸ μηδὲν οὖσαν. ἀλλ᾽ οὐχ ὅμοιόν γε τὸ σωφρονεῖν, τὸ φιλοσοφεῖν, τὸ γινώσκειν, ἃ δεῖ, περὶ θεῶν, κἂν λανθάνει πάντας ἀνθρώπους· ἴδιον δὲ σέλας ἔχει καὶ φέγγος ἐν τῇ ψυχῇ μέγα, καὶ χαρὰν ποιεῖ σύνοικον αὐτῇ ἐν ἑαυτῇ ἀντιλαμβανομένῃ τἀγαθοῦ· ἄν τ᾽ ἴδῃ τις, ἄν τε λανθάνῃ καὶ θεοὺς καὶ ἀνθρώπους ἅπαντας. τοιοῦτόν ἐστιν ἀρετὴ ἀληθείᾳ, μαθημάτων τε κάλλος γεωμετρικῶν, ἀστρολογικῶν· ὧν τίνι τὰ τοῦ πλούτου φάλαρα ταῦτα καὶ περιδέραια καὶ θεάματα κορασιώδη παραβαλεῖν ἄξιον; μηδενὸς ὁρῶντος, μηδὲ προσβλέποντος, ὄντως τυφλὸς γίνεται καὶ ἀφεγγὴς ὁ πλοῦτος. μόνος γὰρ ὁ πλούσιος δειπνῶν μετὰ τῆς γυναικὸς ἢ τῶν συνήθων, οὔτε ταῖς ἐν θοίναις παρέχει πράγματα τραπέζαις, οὔτε τοῖς χρυσοῖς ἐκπώμασιν, ἀλλὰ χρῆται τοῖς προστυχοῦσι· καὶ ἡ γυνὴ ἄχρυσος καὶ ἀπόρφυρος καὶ ἀφελὴς πάρεστιν· ὅταν δὲ σύνδειπνον, τουτέστι πομπὴ καὶ θέατρον, συγκρο-

κῆται, καὶ ὄψημα πλουσιακὸν εἰσάγηται, νηῶν δ' ἔκφερε λέβητάς τε τρίποδάς τε· τῶν τε λύχνων ἔχονται, καὶ περισπῶνται περὶ τὰς κύλικας, ἀλλάσσουσι τοὺς οἰνοχόους, μεταμφιεννύουσι πάντα, πάντα κινοῦσι, χρυσὸν, ἄργυρον λιθοκόλλητον, ἁπλῶς πλουτεῖν ὁμολογοῦντες. ἀλλὰ εὐφροσύνης γε, κἂν μόνος δειπνῇ, δεῖται καὶ εὐωχίας.

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΠΕΡΙ

## Δ Υ Σ Ω Π Ι Α Σ.

Ἔνια τῶν ἐκ τῆς γῆς φυομένων αὐτὰ μέν ἐστιν ἄγρια τῇ φύσει καὶ ἄκαρπα καὶ βλαβερὰν τοῖς ἡμέροις σπέρμασι καὶ φυτοῖς τὴν αὔξησιν ἔχοντα, σημεῖα δ' αὐτὰ ποιοῦνται χώρας οἱ γεωργοῦντες οὐ πονηρᾶς, ἀλλὰ γενναίας καὶ πίονος· οὕτω δὴ καὶ πάθη ψυχῆς ἐστιν οὐ χρηστὰ, χρηστῆς δὲ φύσεως οἷον ἐξανθήματα, καὶ λόγῳ παρασχεῖν ἐργάσιμον ἑαυτὴν ἐπιεικῶς δυναμένης. ἐν τούτοις τίθεμαι καὶ τὴν λεγομένην δυσωπίαν, σημεῖον μὲν οὐ φαῦλον, αἰτίαν δὲ μοχθηρίας οὖσαν. τὰ γὰρ αὐτὰ τοῖς ἀναισχύντοις οἱ αἰσχυνόμενοι πολλάκις ἁμαρτάνουσι· πλὴν ὅτι τὸ λυπεῖσθαι καὶ ἀλγεῖν, ἐφ' οἷς διαμαρτάνουσι,

τούτοις πρόσεστιν, οὐχ, ὡς ἐκείνοις, τὸ ἥδεσθαι. ἀναλγὴς μὲν γὰρ ὁ ἀναιδὴς πρὸς τὸ αἰσχρόν· εὐπαθὴς δὲ καὶ πρὸς τὸ φαινόμενον αἰσχρὸν ὁ εὐδυσώπητος. ὑπερβολὴ γὰρ τοῦ αἰσχύνεσθαι, τὸ δυσωπεῖσθαι. διὸ καὶ οὕτω κέκληται, τρόπον τινὰ τοῦ προσώπου τῇ ψυχῇ συνδιατρεπομένου καὶ συνεξατονοῦντος. ὡς γὰρ τὴν κατήφειαν ὁρίζονται λύπην κάτω βλέπειν ποιοῦσαν, οὕτω τὴν αἰσχυντηλίαν μέχρι τοῦ μηδ' ἀντιβλέπειν τοῖς δεομένοις ὑπείκουσαν, δυσωπίαν ὠνόμασαν. ὅθεν ὁ μὲν ῥήτωρ τὸν ἀναίσχυντον οὐκ ἔφη κόρας ἐν τοῖς ὄμμασιν ἔχειν, ἀλλὰ πόρνας· ὁ δ' εὐδυσώπητος αὖ πάλιν, ἄγαν τὸ θῆλυ τῆς ψυχῆς καὶ τρυφερὸν ἐμφαίνει διὰ τῆς ὄψεως, τὴν ὑπὸ τῶν ἀναισχύντων ἧτταν, αἰσχύνην ὑποκοριζόμενος. ὁ μὲν οὖν Κάτων ἔλεγε τῶν νέων μᾶλλον ἀγαπᾶν τοὺς ἐρυθριῶντας, ἢ τοὺς ὠχριῶντας· ὀρθῶς ἐθίζων καὶ διδάσκων, τὸν ψόγον μᾶλλον ἢ τὸν ἔλεγχον δεδιέναι, καὶ τὴν ὑποψίαν μᾶλλον ἢ τὸν κίνδυνον. οὐ μὴν ἀλλὰ καὶ τοῦ πρὸς τὸν ψόγον ὑπόπτου καὶ ψοφοδεοῦς τὸ ἄγαν ἀφαιρετέον· ὡς οὐχ ἧττον ἔνιοι πολλάκις ἀκοῦσαι κακῶς ἢ παθεῖν δείσαντες, ἀπεδειλίασαν, καὶ προήκαντο τὸ καλὸν, οὐ δυνηθέντες ὑπομεῖναι τὸ ἄδοξον.

II. Οὔτε δὴ τούτους περιοπτέον οὕτως ἀσθενῶς ἔχοντας, οὔτ' αὖ πάλιν ἐκείνην ἐπαινετέον τὴν ἄτρεπτον καὶ ἀτενῆ διάθεσιν·

Ἐν δὲ τὸ θαῤῥαλέον τε καὶ ἐμμενὲς ὅππη ὁρῶσα
Φαίνετ' Ἀναξάρχου κύνεον μένος.

ἀλλ' ἐμμελῆ τινα μηχανητέον σύγκρασιν ἀμφοῖν, τοῦ

μὲν ἀτενοῖς ἄγαν τὴν ἀναίδειαν, τοῦ δ' ἐπιεικοῦς σφόδρα τὴν ἀσθένειαν ἀφαιροῦσαν· ᾗ καὶ τὸ θεράπευμα δυσχερὲς, καὶ οὐκ ἀκίνδυνος ἡ τῶν τοιούτων πλεονασμῶν κώλυσις. ὡς γὰρ ὁ γεωργὸς ἄγριον μὲν ἐκκόπτων βλάστημα καὶ ἀγεννὲς, αὐτόθεν ἀφειδῶς ἐμβαλὼν τὸ σκαφεῖον, ἀνέτρεψε τὴν ῥίζαν, ἢ πῦρ προσαγαγὼν ἐπέκαυσεν· ἀμπέλῳ δὲ προσιὼν τομῆς δεομένῃ, καὶ μηλέας ἤ τινος ἐλαίας ἁπτόμενος, εὐλαβῶς ἐπιφέρει τὴν χεῖρα, δεδιὼς, μή τι τοῦ ὑγιαίνοντος ἀποτυφλώσῃ· οὕτως ὁ φιλόσοφος, φθόνον μὲν ἐξαιρῶν νέου ψυχῆς, ἀγεννὲς βλάστημα καὶ δυστιθάσσευτον, ἢ φιλαργυρίαν ἄωρον, ἢ φιληδονίαν ἐπικόπτων ἀκόλαστον, αἱμάσσει καὶ πιέζει, καὶ τομὴν ποιεῖ, καὶ οὐλὴν βαθεῖαν· ὅταν δὲ τρυφερῷ μέρει ψυχῆς καὶ ἁπαλῷ κολούοντα προσαγάγῃ λόγον, (οἷόν ἐστι τὸ δυσωπούμενον καὶ διατρεπόμενον) εὐλαβεῖται, μὴ λάθῃ τούτοις συναποκόψας τὸ αἰδούμενον. καὶ γὰρ αἱ τίτθαι τῶν βρεφῶν ἐκτρίβουσαι πολλάκις τὸν ῥύπον, ἑλκοῦσιν ἐνίοτε τὴν σάρκα καὶ βασανίζουσιν. ὅθεν οὐ δεῖ τῶν νέων παντάπασιν ἐν χρῷ τὴν δυσωπίαν ἐκτρίβοντας, ὀλιγώρους ποιεῖν καὶ λίαν ἀτρέπτους. ἀλλ' ὥςπερ οἱ καταλύοντες οἰκίας ἱεροῖς γειτνιώσας, τά γε συνεχῆ καὶ πλησίον ἐῶσι καὶ διερείδουσιν· οὕτω δεῖ τὴν δυσωπίαν κινεῖν, δεδιότας συνεφελκύσασθαι τὰ ὁμοροῦντα τῆς αἰδοῦς καὶ τῆς ἐπιεικείας καὶ τῆς ἡμερότητος, οἷς ὑποδέδυκε καὶ προςπέπλεκται κολακεύουσα τὸν εὐδυσώπητον, ὡς φιλάνθρωπον καὶ πολιτικὸν καὶ κοινὸν ἔχοντα νοῦν, καὶ οὐκ ἄτεγκτον, οὐδ' αὐ-

θίκαστον. ὅθεν εὐθὺς οἱ Στωϊκοὶ καὶ τῷ ῥήματι τὸ αἰσχύνεσθαι καὶ δυσωπεῖσθαι τοῦ αἰδεῖσθαι διέστησαν· ἵνα μηδὲ τὴν ὁμωνυμίαν τῷ πάθει πρόφασιν τοῦ βλάπτειν ἀπολίπωσιν. ἀλλ' ἡμῖν χρῆσθαι τοῖς ὀνόμασιν ἀσυκοφαντήτως δότωσαν, μᾶλλον δὲ Ὁμηρικῶς. καὶ γὰρ ἐκεῖνος εἶπεν·

Αἰδὼς, ἥτ' ἄνδρας μέγα σίνεται, ἠδ' ὀνίνησι·

καὶ οὐ κακῶς τὸ βλάπτειν αὐτῆς πρότερον εἶπε. γίνεται γὰρ ὠφέλιμος ὑπὸ τοῦ λόγου τὸ πλεονάζον ἀφελόντος, καὶ τὸ μέτριον ἀπολιπόντος.

III. Πρῶτον οὖν δεῖ τοῦτο πείθεσθαι τὸν ὑπὸ πολλῆς δυσωπίας βιαζόμενον, ὅτι πάθει βλαβερῷ συνέχεται· καλὸν δὲ τῶν βλαβερῶν οὐδέν· οὐδὲ δεῖ τοῖς ἐπαίνοις κηλούμενον ἥδεσθαι, κομψὸν καὶ ἱλαρὸν ἀντὶ σεμνοῦ καὶ μεγάλου καὶ δικαίου προσαγορευόμενον, μηδ' ὥσπερ ὁ Εὐριπίδου Πήγασος

Ἔπτησσ' ὑπείκων μᾶλλον, ἢ θέλοι,

τῷ Βελλεροφόντῃ, τοῖς δεομένοις ἑαυτὸν ἐκδιδόναι καὶ συνεκταπεινοῦν, φοβούμενον ἀκοῦσαι τὸ, σκληρός γε καὶ ἀπηνής. τῷ μὲν γὰρ Αἰγυπτίῳ Βοκχόριδι, φύσει χαλεπῷ γενομένῳ, τὴν ἀσπίδα λέγουσιν ὑπὸ τῆς Ἴσιδος ἐπιπεμφθεῖσαν, καὶ τῇ κεφαλῇ περιελιχθεῖσαν, ἄνωθεν ἐπισκιάζειν, ἵνα κρίνῃ δικαίως· ἡ δέ τοι δυσωπία τοῖς ἀτόνοις καὶ ἀνάνδροις ἐπικειμένη, καὶ πρὸς μηδὲν ἀνανεῦσαι, μηδ' ἀντειπεῖν ἰσχύουσα, καὶ δικάζοντας ἀποτρέπει τοῦ δικαίου, καὶ συμβουλεύοντας ἐπιστομίζει, καὶ λέγειν πολλὰ καὶ πράττειν ἀναγκάζει τῶν ἀβουλήτων· ὁ δ' ἀγνωμονέστατος ἀεὶ τοῦ τοιούτου δεσπότης ἐστὶ καὶ κρα-

πεῖ, τῷ μὴ αἰδεῖσθαι τὸ αἰδούμενον ἐκβιαζόμενος. ὅθεν ὥσπερ χωρίον ὕπτιον καὶ μαλακὸν ἡ δυσωπία μηδεμίαν ἔντευξιν ἐξῶσαι μηδ᾽ ἀποστρέψαι δυναμένη, τοῖς αἰσχίστοις βάσιμός ἐστι πράγμασι καὶ πάθεσι· κακὴ μὲν γὰρ αὕτη παιδικῆς φρουρὸς ἡλικίας, ὡς ἔλεγε Βροῦτος, οὔ δοκεῖν αὐτῷ καλῶς τὴν ὥραν διατεθεῖσθαι τὸν πρὸς μηδὲν ἀρνούμενον· κακὴ δὲ θαλάμου καὶ γυναικωνίτιδος ἐπίτροπος, ὥς φησιν ἡ παρὰ τῷ Σοφοκλεῖ μετανοοῦσα πρὸς τὸν μοιχόν·

Ἔπεισας, ἐξέθωψας.

ὥστ᾽ ἡ δυσωπία προδιαφθείρασα τὸ ἀκόλαστον, ἀνώχυρα πάντα καὶ ἄκλειστα καὶ κατάντη προδίδωσι τοῖς ἐπιτιθεμένοις. καὶ διδόντες μὲν αἱροῦσι τὰς βδελυρωτάτας τῶν φύσεων· τῷ δὲ πείθειν καὶ δυσωπεῖν πολλάκις κατεργάζονται καὶ τὰς ἐπιεικεῖς. ἐῶ δὴ τὰς εἰς τὰ χρήματα βλάβας ὑπὸ τοῦ δυσωπεῖσθαι, δανειζόντων, οἷς ἀπιστοῦσιν, ἐγγυωμένων, οἷς οὐ θέλουσιν· ἐπαινούντων μὲν τὸ Ἐγγύα, πάρα δ᾽ ἄτα, χρῆσθαι δ᾽ αὐτῷ περὶ τὰ πράγματα μὴ δυναμένων.

IV. Ὅσους δ᾽ ἀνῄρηκε τοῦτο τὸ πάθος, οὐκ ἄν τις ἐξαριθμήσαιτο ῥᾳδίως. καὶ γὰρ ὁ Κρέων, πρὸς τὴν Μήδειαν εἰπών·

Κρεῖσσον δέ μοι νῦν πρός σ᾽ ἀπέχθεσθαι, γύναι,
Ἢ μαλθακισθένθ᾽ ὕστερον μέγα στένειν·

ἄλλοις ἐγνωμολόγησεν· αὐτὸς δὲ τῆς δυσωπίας ἡττων γενόμενος, καὶ μίαν ἡμέραν αἰτουμένῃ δοὺς, ἀπώλεσε τὸν οἶκον. ἔνιοι δὲ καὶ σφαγὰς ὑφορώμενοι καὶ φαρμακείας, διετράπησαν. οὕτω παραπώλετο Δίων, οὐκ ἀγνοήσας ἐπιβουλεύοντα Κάλλιπ-

πον, ἀλλ᾽ αἰσχυνθεὶς φυλάττεσθαι φίλον ὄντα καὶ ξένον. οὕτως Ἀντίπατρος ὁ Κασάνδρου Δημήτριον καλέσας ἐπὶ δεῖπνον, εἶτα κληθεὶς τῇ ὑστεραίᾳ πρὸς αὐτὸν, ᾐδέσθη πεπιστευμένος ἀπιστεῖν, καὶ πορευθεὶς ἐσφάγη μετὰ τὸ δεῖπνον. Ἡρακλέα δὲ, τὸν Ἀλεξάνδρῳ γενόμενον ἐκ Βαρσίνης, ὡμολόγησε μὲν Κασάνδρῳ Πολυσπέρχων ἀναιρήσειν ἐπὶ ταλάντοις ἑκατὸν, εἶτ᾽ ἐπὶ δεῖπνον ἐκάλει· τοῦ δὲ μειρακίου τὴν κλῆσιν ὑφορωμένου καὶ δεδοικότος, ἄλλως δὲ προφασιζομένου μαλακώτερον ἔχειν, ἐλθὼν ὁ Πολυσπέρχων, πρῶτον εἶπεν· Ὦ παῖ, μιμοῦ τοῦ πατρὸς τὸ εὔκολον καὶ φιλέταιρον, εἰ μὴ νὴ Δία δέδοικας ἡμᾶς, ὡς ἐπιβουλεύοντας. αἰδεσθεὶς οὖν ἠκολούθησεν ὁ νεανίσκος· οἱ δὲ δειπνήσαντες αὐτὸν ἐστραγγάλισαν. οὐ γελοῖον οὖν, (ὥς φασί τινες) οὐδ᾽ ἀβέλτερον, ἀλλὰ σοφὸν τὸ τοῦ Ἡσιόδου·

Τὸν φιλέοντ᾽ ἐπὶ δαῖτα καλεῖν, τὸν δ᾽ ἐχθρὸν ἐᾶσαι.

μὴ δυσωποῦ τὸν μισοῦντα, μηδ᾽ ὑπέκβαλε πιστεύειν δοκοῦντα. κληθήσῃ γὰρ καλέσας, καὶ δειπνήσεις, ἂν δειπνίσῃς, ὥσπερ βαφὴν, τὴν φυλάττουσαν ἀπιστίαν μαλαχθεῖσαν αἰσχύνῃ προέμενος.

V. Ὡς οὖν πολλῶν κακῶν αἴτιον τὸ νόσημα ὄν, τοῦτο πειρατέον ἀποβιάζεσθαι τῇ ἀσκήσει, πρῶτον ἀρξαμένους (ὥσπερ οἱ τἄλλα μελετῶντες) ἀπὸ τῶν μικρῶν καὶ μὴ σφόδρα δυσαντιβλέπτων· οἷον, ἐν δείπνῳ προπίνει τις ἄδην ἔχοντι· μὴ δυσωπηθῇς, μηδὲ προσβιάσῃ σαυτὸν, ἀλλὰ κατάθου τὸ ποτήριον. αὖθις ἕτερος παρακαλεῖ κυβεύειν παρὰ πότον·

μὴ δυσωπηθῇς, μηδὲ δείσῃς σκωπτόμενος· ἀλλ᾽ ὥσπερ Ξενοφάνης, Λάσου τοῦ Ἑρμιονέως μὴ βουλόμενον αὐτῷ συγκυβεύειν δειλὸν ἀποκαλοῦντος, ὡμολόγει καὶ πάνυ δειλὸς εἶναι πρὸς τὰ αἰσχρὰ καὶ ἄτολμος. πάλιν, ἀδολέσχῃ συνήντηκας ἐπιλαμβανομένῳ καὶ περιπλεκομένῳ· μὴ δυσωπηθῇς, ἀλλὰ διακόψας ἐπείγου καὶ πέραινε τὸ προκείμενον. αἱ γὰρ τοιαῦται φυγαὶ καὶ διακρούσεις, ἐν ἐλαφραῖς μέμψεσι τὴν μελέτην ἔχουσαι τοῦ ἀδυσωπήτου, προεθίζουσιν ἡμᾶς ἐπὶ τὰ μείζονα. καὶ τὸ τοῦ Δημοσθένους ἐνταῦθα καλῶς ἔχει διαμνημονεύειν. τῶν γὰρ Ἀθηναίων ὡρμημένων Ἁρπάλῳ βοηθεῖν, καὶ κορυσσομένων ἐπὶ τὸν Ἀλέξανδρον, ἐξαίφνης ἐπεφάνη Φιλόξενος, ὁ τῶν ἐπὶ θαλάττῃ πραγμάτων Ἀλεξάνδρου στρατηγός. ἐκπλαγέντος δὲ τοῦ δήμου, καὶ σιωπῶντος διὰ τὸν φόβον, ὁ Δημοσθένης· Τί ποιήσουσιν (ἔφη) τὸν ἥλιον ἰδόντες, οἱ μὴ δυνάμενοι πρὸς τὸν λύχνον ἀντιβλέπειν; τί γὰρ ποιήσεις ἐν πράγμασι μεγάλοις, βασιλέως ἐντυγχάνοντος, ἢ δήμου δυσωποῦντος, εἰ ποτήριον ἀπώσασθαι μὴ δύνασαι προπίνοντος συνήθους, μηδ᾽ ἀδολέσχου λαβὴν διαφυγεῖν, ἀλλὰ παρέχεις ἐμπεριπατεῖν φλυάρῳ σαυτόν, οὐκ εὐτονῶν εἰπεῖν· Ὄψομαί σε αὖθις, νῦν δ᾽ οὐ σχολάζω.

VI. Καὶ μὴν οὐδὲ ἡ πρὸς τοὺς ἐπαίνους τοῦ ἀδυσωπήτου μελέτη καὶ ἄσκησις ἐν μικροῖς καὶ ἐλαφροῖς ἄχρηστός ἐστιν. οἷον, ἐν συμποσίῳ φίλου κιθαρῳδὸς ᾄδει κακῶς, ἢ πολλοῦ κωμῳδὸς ἐωνημένος ἐπιτρίβει Μένανδρον, οἱ δὲ πολλοὶ κροτοῦσι καὶ θαυμάζουσιν· οὐδέν, οἶμαι, χαλεπὸν, οὐδὲ δυσκο-

λον ἀκούειν σιωπῇ, καὶ μὴ παρὰ τὸ φαινόμενον ἀνελευθέρως ἐπαινεῖν. ἐὰν γὰρ ἐν τούτοις μὴ κρατῇς σαυτοῦ, τί ποιήσεις, φίλου ποίημα φαῦλον ἀναγινώσκοντος, ἢ λόγον ἐπιδεικνυμένου γεγραμμένον ἀβελτέρως καὶ γελοίως; ἐπαινέσεις δηλονότι, καὶ συνεπιθορυβήσεις τοῖς κολακεύουσι. πῶς οὖν ἐν πράγμασιν ἁμαρτάνοντος ἐπιλήψῃ; πῶς δὲ περὶ ἀρχὴν ἢ γάμον ἢ πολιτείαν ἀγνωμονοῦντα νουθετήσεις; ἐγὼ μὲν γὰρ οὐδὲ τὸ τοῦ Περικλέους ἀποδέχομαι, πρὸς τὸν ἀξιοῦντα μαρτυρίαν ψευδῆ μαρτυρῆσαι φίλον, ᾗ προσῆν καὶ ὅρκος, εἰπόντος· Μέχρι τοῦ βωμοῦ φίλος εἰμί. λίαν γὰρ ἐγγὺς ἦλθεν. ὁ δὲ πόῤῥωθεν ἑαυτὸν ἐθίσας μήτε λέγοντος ἐπαινεῖν παρὰ γνώμην, μήτ' ᾄδοντος κροτεῖν, μήτε σκώπτοντος ἀφυῶς ἐπιγελᾷν, οὐκ ἐάσει μέχρι τούτου προελθεῖν, οὐδ' εἰπεῖν πρὸς τὸν ἐν ἐκείνοις ἀδυσώπητον· Ὄμοσον ὑπὲρ ἐμοῦ, καὶ τὰ ψευδῆ μαρτύρησον, καὶ ἀπόφηναι παρὰ τὸ δίκαιον.

VII. Οὕτω δὲ δεῖ καὶ πρὸς τοὺς αἰτοῦντας ἀργύριον ἀνταίρειν, προεθιζόμενον ἐν τοῖς μήτε μεγάλοις, μήτε δυςπαραιτήτοις. Ἀρχέλαος μὲν γὰρ, ὁ τῶν Μακεδόνων βασιλεὺς, παρὰ δεῖπνον αἰτηθεὶς ἔκπωμα χρυσοῦν ὑπ' ἀνθρώπου μηδὲν ἡγουμένου καλὸν, ἢ τὸ λαμβάνειν, ἐκέλευσεν Εὐριπίδῃ τὸν παῖδα δοῦναι, καὶ πρὸς τὸν ἄνθρωπον ἐκεῖνον ἀποβλέψας· Σὺ μὲν (εἶπεν) αἰτεῖν ἐπιτήδειος εἶ, καὶ μὴ λαμβάνειν· οὗτος δὲ, λαμβάνειν καὶ μὴ αἰτῶν· ἄριστα τοῦ διδόναι καὶ χαρίζεσθαι κύριον ποιῶν τὸ κρῖνον, ἀλλὰ μὴ τὸ δυσωπούμενον. ἡμεῖς δὲ πολλάκις ἀν-

θρώπους ἐπιεικεῖς καὶ οἰκείους καὶ δεομένους περιορῶντες, ἑτέροις αἰτοῦσιν ἐνδελεχῶς καὶ ἰταμῶς ἐδώκαμεν, οὐ δοῦναι θελήσαντες, ἀλλ' ἀρνήσασθαι μὴ δυνηθέντες. ὥςπερ Ἀντίγονος ὁ γέρων ὑπὸ Βίαντος ἐνοχληθεὶς πολλάκις· Δότε (εἶπε) Βίαντι τάλαντον, καὶ ἀνάγκη. καίτοι τῶν βασιλέων μάλιστα ἐμμελὴς ἦν καὶ πιθανὸς ἀποτρίβεσθαι τὰ τοιαῦτα. κυνικοῦ γάρ ποτε δραχμὴν αἰτήσαντος αὐτόν· Οὐ βασιλικὸν (ἔφη) τὸ δόμα· τοῦ δὲ ὑποτυχόντος· Δὸς οὖν μοι τάλαντον· ἀπήντησεν· Ἀλλ' οὐ κυνικὸν τὸ λῆμμα. Διογένης μὲν οὖν τοὺς ἀνδριάντας ᾔτει περιιὼν ἐν Κεραμεικῷ, καὶ πρὸς τοὺς θαυμάζοντας ἔλεγεν ἀποτυγχάνειν μελετᾶν. ἡμῖν δὲ πρῶτον ἐμμελετητέον ἐστὶ τοῖς φαύλοις, καὶ γυμναστέον περὶ τὰ μικρὰ, πρὸς τὸ ἀρνεῖσθαι τοῖς αἰτοῦσιν οὐ προσηκόντως ληψομένοις· ὡς ἂν μείζοσιν ἀποτεύξεσιν ἐπικουρεῖν ἔχωμεν. οὐδεὶς γὰρ (ὡς ὁ Δημοσθένης φησὶν) εἰς ἃ μὴ δεῖ καταναλώσας τὰ παρόντα, τῶν μὴ παρόντων εὐπορήσει πρὸς ἃ δεῖ. γίγνεται δὲ ἡμῖν πολλαπλάσιον τὸ αἰσχρὸν, ὅταν ἐλλίπωμεν εἰς τὰ καλὰ, πλεονάσαντες τοῖς περιττοῖς.

VIII. Ἐπεὶ δ' οὐ χρημάτων μόνον ἡ δυσωπία κακὴ καὶ ἀγνώμων ἐστὶν οἰκονόμος, ἀλλὰ καὶ περὶ τὰ μείζονα παραιρεῖται τὸ συμφέρον τοῦ λογισμοῦ· καὶ γὰρ ἰατρὸν νοσοῦντες οὐ παρακαλοῦμεν τὸν ἔμπειρον, αἰσχυνόμενοι τὸν συνήθη· καὶ παισὶ διδασκάλους ἀντὶ τῶν χρηστῶν τοὺς παρακαλοῦντας αἱρούμεθα· καὶ δίκην ἔχοντες πολλάκις οὐκ ἐῶμεν εἰπεῖν τὸν ὠφέλιμον καὶ ἀγοραῖον, ἀλλ' οἰκείου τινὸς

ἢ συγγενοῦς υἱῷ χαριζόμενοι, παρεδώκαμεν ἐμπανηγυρίσαι· τέλος δὲ πολλούς ἐστιν ἰδεῖν καὶ τῶν φιλοσοφεῖν λεγομένων, Ἐπικουρείους καὶ Στωϊκοὺς ὄντας, οὐχ ἑλομένους, οὐδὲ κρίναντας, ἀλλὰ προςθεμένους δυσωποῦσιν οἰκείοις καὶ φίλοις· φέρε δὴ καὶ πρὸς ταῦτα πόῤῥωθεν ἐν τοῖς ἐπιτυχοῦσι καὶ μικροῖς γυμνάζωμεν ἑαυτοὺς, ἐθίζοντες μήτε κουρεῖ, μήτε γναφεῖ, κατὰ δυσωπίαν χρῆσθαι, μήτε καταλύειν ἐν φαύλῳ πανδοκείῳ, βελτίονος παρόντος, ὅτι πολλάκις ὁ πανδοκεὺς ἠσπάσατο ἡμᾶς· ἀλλ' ἔθους ἕνεκα, κἂν ᾖ παρὰ μικρὸν, αἱρεῖσθαι τὸ βέλτιον· ὥσπερ οἱ Πυθαγορικοὶ παρεφύλαττον ἀεὶ μηδέποτε τῷ δεξιῷ μηρῷ τὸν εὐώνυμον ἐπιτιθέναι, μηδὲ τὸν ἄρτιον ἀντὶ τοῦ περιττοῦ λαβεῖν, τῶν ἄλλων ἐπίσης ἐχόντων. ἐθιστέον δὲ, καὶ θυσίαν ποιούμενον, ἢ γάμον, ἤ τινα ἄλλην τοιαύτην ὑποδοχὴν, μὴ τὸν ἀσπασάμενον καλεῖν, ἢ προςδραμόντα, μᾶλλον, ἢ τὸν εὔνουν καὶ χρηστόν. ὁ γὰρ οὕτως ἐθισθεὶς καὶ ἀσκήσας, δυσάλωτος ἔσται, μᾶλλον δὲ ὅλως ἀνεπιχείρητος ἐν τοῖς μείζοσι.

IX. Περὶ μὲν οὖν ἀσκήσεως ἱκανὰ καὶ ταῦτα· τῶν δὲ χρησίμων ἐπιλογισμῶν πρῶτός ἐστιν ὁ διδάσκων καὶ ὑπομιμνήσκων, ὅτι πᾶσι μὲν τοῖς πάθεσιν ἀκολουθεῖ καὶ τοῖς νοσήμασιν, ἃ φεύγειν δι' αὐτῶν δοκοῦμεν, ἀδοξίαι φιλαδοξίαις, καὶ λῦπαι φιληδονίαις, καὶ πόνοι μαλακίαις, καὶ φιλονεικίαις ἧτται καὶ καταδίκαι· τῇ δὲ δυσωπίᾳ συμβέβηκεν ἀτεχνῶς φευγούσῃ καπνὸν ἀδοξίας, εἰς πῦρ ἐμβάλλειν ἑαυτήν. αἰσχυνόμενοι γὰρ ἀντιλέγειν τοῖς ἀγνωμόνως

δυσωποῦσιν, ὕστερον δυσωποῦνται τοὺς δικαίως ἐγκαλοῦντας· καὶ δεδιότες μέμψιν ἐλαφρὰν, πολλάκις αἰσχύνην ὁμολογουμένην ὑπομένουσι. καὶ γὰρ αἰτοῦντος ἀργύριον φίλου, δυσωπηθέντες ἀντειπεῖν, οὐκ ἔχοντες, ἀσχημονοῦσι μετ' ὀλίγον ἐξελεγχόμενοι· καὶ βοηθήσειν ὁμολογήσαντες ἐνίοις, δίκην ἔχουσιν, εἶτα τοὺς ἑτέρους διατραπέντες, ἀποκρύπτονται καὶ δραπετεύουσι. πολλοὺς δὲ καὶ περὶ γάμου ἢ (περὶ) θυγατρὸς ἢ ἀδελφῆς εἰς ὁμολογίαν ἀλυσιτελῆ καταχλείσασα δυσωπία, ψεύδεσθαι πάλιν ἀναγκάζει μετατιθεμένους.

X. Ὁ μὲν γὰρ εἰπὼν, ὅτι πάντες οἱ τὴν Ἀσίαν κατοικοῦντες ἑνὶ δουλεύουσιν ἀνθρώπῳ διὰ τὸ μὴ δύνασθαι μίαν εἰπεῖν τὴν Οὒ συλλαβὴν, οὐκ ἐσπούδασεν, ἀλλ' ἔσκωψε· τοῖς δὲ δυσωπουμένοις, κἂν μηδὲν εἴπωσιν, ἔξεστιν ὀφρῦν ἐπάρασι μόνον, ἢ κάτω κύψασι, πολλὰς ἀβουλήτους καὶ ἀτόπους ὑπουργίας διαφεύγειν. τὴν γὰρ σιωπὴν ὁ μὲν Εὐριπίδης φησὶ τοῖς σοφοῖς ἀπόκρισιν εἶναι· κινδυνεύομεν δὲ μᾶλλον αὐτῆς δεῖσθαι πρὸς τοὺς ἀγνώμονας· ἐπεὶ τοὺς χαρίεντας ἔστι καὶ παρηγορῆσαι· καὶ πρόχειρά γε δεῖ καὶ συχνὰ τῶν ἐπιφανῶν καὶ ἀγαθῶν ἀνδρῶν ἔχειν ἀποφθέγματα, καὶ μνημονεύειν πρὸς τοὺς δυσωποῦντας· οἷον τὸ Φωκίωνος πρὸς Ἀντίπατρον· Οὐ δύνασαί μοι καὶ φίλῳ χρῆσθαι καὶ κόλακι. καὶ πρὸς τοὺς Ἀθηναίους, ἐπιδοῦναι κελεύοντας αὐτὸν ἐν ἑορτῇ, καὶ κροτοῦντας· Αἰσχύνομαι (εἶπεν) ὑμῖν μὲν ἐπιδιδοὺς, τούτῳ δὲ μὴ ἀποδιδοὺς· Καλλικλέα δείξας τὸν δανειστὴν αὐτοῦ. πενίαν γὰρ οὐχ ὁμο-

λογῳ μὲν αἰσχρόν, (ὡς ὁ Θουκυδίδης φησὶν) ἀλλ' ἔργῳ μὴ διαφεύγειν αἴσχιον. ὁ δ' ἀβελτηρίᾳ καὶ μαλακίᾳ πρὸς τὸν αἰτοῦντα δυσωπούμενος εἰπεῖν·

Οὐκ ἔστ' ἐν ἄντροις λευκός, ὦ ξένε, ἄργυρος·

εἶτα, ὥσπερ ἐνέχυρον, προέμενος τὴν ἐπαγγελίαν,

Αἰδοῦς ἀχαλκεύτοισιν ἔζευκται πέδαις.

Ὁ δὲ Περσαῖος ἀργύριόν τινι τῶν γνωρίμων δανείζων, δι' ἀγορᾶς καὶ τραπέζης ἐποιεῖτο τὸ συμβόλαιον· μεμνημένος δηλονότι τοῦ Ἡσιόδου λέγοντος·

Καί τε κασιγνήτῳ γελάσας ἐπὶ μάρτυρα θέσθαι.

Θαυμάσαντος δ' ἐκείνου καὶ εἰπόντος· Οὕτως, ὦ Περσαῖε, νομικῶς; Ναί (εἶπεν) ἵνα φιλικῶς ἀπολάβω, καὶ μὴ νομικῶς ἀπαιτήσω. πολλοὶ γὰρ ἐν ἀρχῇ διὰ δυσωπίαν προέμενοι τὸ πιστόν, ὕστερον ἐχρήσαντο τοῖς νομίμοις μετ' ἔχθρας.

XI. Πάλιν ὁ Πλάτων Ἑλίκωνι τῷ Κυζικηνῷ διδοὺς πρὸς Διονύσιον ἐπιστολήν, ἐπῄνεσεν αὐτόν, ὡς ἐπιεικῆ καὶ μέτριον· εἶτα προσέγραψε τῇ ἐπιστολῇ τελευτώσῃ· Γράφω δέ σοι ταῦτα περὶ ἀνθρώπου, ζώου φύσει εὐμεταβόλου. Ξενοκράτης δέ, καίπερ αὐστηρὸς ὢν τὸν τρόπον, ὅμως ὑπὸ δυσωπίας ἐκάμφθη, καὶ συνέστησε Πολυπέρχοντι δι' ἐπιστολῆς ἄνθρωπον οὐ χρηστόν, ὡς τὸ ἔργον ἔδειξε. δεξιουμένου δ' αὐτὸν τοῦ Μακεδόνος, καὶ πυνθανομένου, μή τινος ἔχοι χρείαν, ᾔτησε τάλαντον· ὁ δ' ἐκείνῳ μὲν ἔδωκε, Ξενοκράτει δ' ἔγραψε, παραινῶν ἐπιμελέστερον τὸ λοιπὸν ἐξετάζειν, οὓς συνίστησιν. ὁ μὲν οὖν Ξενοκράτης ἠγνόησεν· ἡμεῖς δὲ καὶ πάνυ πολλάκις ἐπιστάμενοι τοὺς πονηρούς, καὶ γράμματα προϊέμε-

θαι καὶ χρήματα, βλάπτοντες ἑαυτοὺς, οὐ μεθ᾽ ἡδονῆς, ὥσπερ οἱ ταῖς ἑταίραις χαριζόμενοι καὶ τοῖς κόλαξιν, ἀλλὰ δυσχεραίνοντες καὶ βαρυνόμενοι τὴν ἀπαίδευσιν ἀνατρέπουσαν ἡμῶν καὶ καταβιαζομένην τὸν λογισμόν. εἰ γὰρ πρὸς ἄλλο τι, καὶ πρὸς τοὺς δυσωποῦντας ἔξεστιν εἰπεῖν τό·

— Μανθάνω μὲν, οἷα δρᾷν μέλλω κακά,

τὰ ψευδῆ μαρτυρῶν, ἢ τὰ μὴ δίκαια κρίνων, ἢ τὰ μὴ συμφέροντα χειροτονῶν, ἢ δανειζόμενος ὑπὲρ τοῦ μὴ ἀποδώσοντος.

XII. Διὸ τῶν παθῶν μάλιστα τοῦ δυσωπεῖσθαι τὸ μετανοεῖν οὐχ ὕστερον, ἀλλ᾽ εὐθὺς ἐν οἷς πράττει, πάρεστι. καὶ γὰρ διδόντες ἀχθόμεθα, καὶ μαρτυροῦντες αἰσχυνόμεθα, καὶ συνεργοῦντες ἀδοξοῦμεν, καὶ μὴ παρέχοντες ἐλεγχόμεθα. πολλὰ γὰρ, ὑπ᾽ ἀσθενείας τοῦ ἀντιλέγειν, καὶ τῶν ἀδυνάτων ἡμῖν ὑπισχνούμεθα τοῖς ἀεὶ παροῦσιν· ὡς συστάσεις ἐν αὐλαῖς, καὶ πρὸς ἡγεμόνας ἐντεύξεις, μὴ βουλόμενοι, μηδ᾽ εὐτονοῦντες εἰπεῖν· Οὐκ οἶδεν ἡμᾶς ὁ βασιλεὺς, ἀλλ᾽ ἑτέρους ὁρᾷ μᾶλλον. ὡς Λύσανδρος Ἀγησιλάῳ προσκεκρουκὼς, ἀξιούμενος δὲ μέγιστον δύνασθαι παρ᾽ αὐτῷ διὰ τὴν δόξαν, οὐκ ᾐσχύνετο παραιτεῖσθαι τοὺς ἐντυγχάνοντας, ἀπιέναι πρὸς ἑτέρους κελεύων, καὶ πειρᾶσθαι τῶν μᾶλλον αὐτοῦ παρὰ τῷ βασιλεῖ δυναμένων. οὐ γὰρ αἰσχρὸν τὸ μὴ πάντα δύνασθαι· τὸ δὲ, μὴ δυναμένους, ἢ μὴ πεφυκότας, ἀναδέχεσθαι τὰ τοιαῦτα καὶ παραβιάζεσθαι, πρὸς τῷ αἰσχρῷ καὶ λυπηρότατόν ἐστιν.

XIII. Ἀπ᾽ ἄλλης δ᾽ ἀρχῆς· τὰ μὲν μέτρια καὶ

πρέποντα δεῖ προθύμως ὑπουργεῖν τοῖς ἀξιοῦσι, μὴ δυσωπουμένους, ἀλλ' εἴκοντας· ἐν δὲ τοῖς βλαβεροῖς καὶ ἀτόποις τὸ τοῦ Ζήνωνος ἀεὶ πρόχειρον ἔχειν· ὡς ἀπαντήσας τινὶ νεανίσκῳ τῶν συνήθων παρὰ τὸ τεῖχος ἡσυχῇ βαδίζοντι, καὶ πυθόμενος, ὅτι φεύγει φίλον ἀξιοῦντα μαρτυρεῖν αὐτῷ τὰ ψευδῆ· Τί λέγεις, (φησὶν) ἀβέλτερε; σὲ μὲν ἐκεῖνος ἀγνωμονῶν καὶ ἀδικῶν οὐ δέδιεν, οὐδ' αἰσχύνεται· σὺ δ' ἐκεῖνον ὑπὲρ τῶν δικαίων οὐ θαῤῥεῖς ὑποστῆναι; ὁ μὲν γὰρ εἰπών· Ποτὶ τὸν πονηρὸν οὐκ ἄχρηστον ὅπλον ἁ πονηρία· κακῶς ἐθίζει μιμούμενον ἀμύνεσθαι τὴν κακίαν· τὸ δὲ τοὺς ἀναιδῶς καὶ ἀδυσωπήτως ἐνοχλοῦντας ἀποτρίβεσθαι τῷ ἀδυσωπήτῳ, καὶ μὴ χαρίζεσθαι τὰ αἰσχρὰ τοῖς ἀναισχύντοις αἰσχυνόμενον, ὀρθῶς καὶ δικαίως γινόμενόν ἐστιν ὑπὸ τῶν νοῦν ἐχόντων.

XIV. Ἔτι τοίνυν τῶν δυσωπούντων ταῖς μὲν ἀδόξοις καὶ ταπεινοῖς καὶ μηδενὸς ἀξίοις οὐ μέγα ἔργον ἀντισχεῖν· ἀλλὰ καὶ μετὰ γέλωτος ἔνιοι καὶ μετὰ σκώμματος ἐκκλίνουσι τοὺς τοιούτους· ὡς Θεόκριτος, δυεῖν παρ' αὐτοῦ ἐν βαλανείῳ στλεγγίδα κεχρημένων, τοῦ μὲν ξένου, τοῦ δὲ γνωρίμου κλέπτου, μετὰ παιδιᾶς ἀμφοτέρους διεκρούσατο, εἰπών· Σὲ μὲν οὐκ οἶδα, σὲ δὲ οἶδα. Λυσιμάχη δὲ Ἀθήνησιν, ἡ τῆς Πολιάδος ἱέρεια, τῶν τὰ ἱερὰ προσαγαγόντων ὀρεωκόμων ἐγχέαι κελευόντων· Ἀλλ' ὀκνῶ, (εἶπε) μὴ καὶ τοῦτο πάτριον γένηται. καὶ Ἀντίγονος πρός τινα νεανίσκον, γεγονότα μὲν ἐκ λοχαγοῦ χαρίεντος, αὐτὸν δ' ἄτολμον ὄντα καὶ μαλακὸν, ἀξιοῦντα δὲ προ-

ἀχθῆναι· *Παρ' ἐμοὶ*, (φησὶν) *ὦ μειράκιον, ἀνδραγαθίας εἰσὶν, οὐ πατραγαθίας, τιμαί.*

XV. *Καὶ μὴν ἐάνπερ ὁ δυσωπῶν ἔνδοξος ᾖ καὶ δυνατὸς*, (οἳ δὴ μάλιστα καὶ δυσπαραίτητοι καὶ δυσαπότρεπτοι περὶ τὰς κρίσεις καὶ τὰς χειροτονίας ἐντυγχάνοντες εἰσὶν) ἃ μὲν ἔπραξεν ὁ *Κάτων*, νέος ἔτι ὢν, πρὸς *Κάτλον*, οὐκ ἄν τινι φανείη ῥᾴδιον, ἴσως, οὐδ' ἀναγκαῖον. ὁ γὰρ *Κάτλος* ἦν μὲν ἐν ἀξιώματι τῶν *Ῥωμαίων* μεγίστῳ, καὶ τότε τὴν τιμητικὴν ἀρχὴν εἶχεν· ἀνέβη δὲ πρὸς τὸν *Κάτωνα* τεταγμένον ἐπὶ τοῦ δημοσίου ταμιείου, παραιτησόμενός τινα τῶν ἐζημιωμένων ὑπ' αὐτοῦ, καὶ λιπαρὴς ἐγίνετο ταῖς δεήσεσι προσβιαζόμενος· ἄχρις οὗ δυσανασχετήσας ἐκεῖνος· *Αἰσχρόν ἐστιν*, (ἔφη) *Κάτλε, σὲ, τὸν τιμητὴν, ἀπαλλαγῆναι μὴ βουλόμενον ἐντεῦθεν ὑπὸ τῶν ἐμῶν ὑπηρετῶν ἕλκεσθαι*· καὶ ὁ *Κάτλος* αἰσχυνθεὶς, πρὸς ὀργὴν ἀπῆλθε. σκόπει δὲ μὴ τὸ τοῦ *Ἀγησιλάου*, καὶ τὸ τοῦ *Θεμιστοκλέους* ἐπιεικέστερόν ἐστι καὶ μετριώτερον. ὁ μὲν γὰρ *Ἀγησίλαος* ὑπὸ τοῦ πατρὸς κελευόμενος κρῖναι τινὰ δίκην παρὰ τὸν νόμον· *Ἀλλ' ὑπὸ σοῦ*, (ἔφη) *πάτερ, πείθεσθαι τοῖς νόμοις ἐδιδασκόμην ἀπ' ἀρχῆς· διὸ καὶ νῦν σοι πείθομαι μηδὲν ποιεῖν παράνομον*. ὁ δὲ *Θεμιστοκλῆς* πρὸς τὸν *Σιμωνίδην*, ἀξιοῦντά τι τῶν μὴ δικαίων· *Οὔτ' ἂν σὺ ποιητὴς ἀγαθὸς εἴης*, (ἔφη) *παρὰ μέλος ᾄδων, οὔτ' ἂν ἐγὼ χρηστὸς ἄρχων, παρὰ νόμον κρίνων*.

XVI. Καίτοι οὐ διὰ τὴν τοῦ ποδὸς πρὸς τὴν λύραν ἀμετρίαν, ὡς *Πλάτων* ἔλεγε, καὶ πόλεις πόλεσι,

καὶ φίλοι φίλοις διαφερόμενοι τὰ κάκιστα δρῶσί τε καὶ πάσχουσιν, ἀλλὰ διὰ τὴν περὶ τὰ νόμιμα καὶ δίκαια πλημμέλειαν. ἀλλ' ὅμως ἔνιοι τὴν ἐν μέλεσι καὶ γράμμασι καὶ μέτροις ἀκρίβειαν αὐτοὶ φυλάττοντες, ἑτέρους ἐν ἀρχαῖς καὶ κρίσεσι καὶ πράξεσιν ἀξιοῦσιν ὀλιγωρεῖν τοῦ καλῶς ἔχοντος. διὸ καὶ τούτῳ μάλιστα χρηστέον πρὸς αὐτούς. ἐντυγχάνει σοι δικάζοντι ῥήτωρ, ἢ βουλεύοντι δημαγωγός· ὁμολόγησον, ἐὰν ἐκεῖνος σολοικίσῃ προοιμιαζόμενος, ἢ βαρβαρίσῃ διηγούμενος· οὐ γὰρ ἐθελήσει διὰ τὸ φαινόμενον αἰσχρόν· ἐνίους γοῦν ὁρῶμεν οὐδὲ συγκροῦσαι φωνήεντι φωνῆεν ἐν τῷ λέγειν ὑπομένοντας. ἕτερον πάλιν δυσωποῦντα τῶν ἐπιφανῶν καὶ ἐνδόξων, κέλευσον ὀρχούμενον δι' ἀγορᾶς ἐξελθεῖν, ἢ διαστρέψαντα τὸ πρόσωπον· ἐὰν δ' ἀρνῆται, σός ἐστιν ὁ καιρὸς εἰπεῖν, καὶ πυθέσθαι, τί αἴσχιόν ἐστι, τὸ σολοικίσαι καὶ διαστρέψαι τὸ πρόσωπον, ἢ τὸ λῦσαι τὸν νόμον, καὶ παραβῆναι τὸν ὅρκον, καὶ πλέον νεῖμαι τῷ πονηρῷ τοῦ ἀγαθοῦ παρὰ τὸ δίκαιον. ἔτι τοίνυν, ὥςπερ Νικόστρατος ὁ Ἀργεῖος, Ἀρχιδάμου παρακαλοῦντος αὐτὸν ἐπὶ χρήμασι πολλοῖς καὶ γάμῳ γυναικός, ἧς βούλεται, Λακαίνης παραδοῦναι Κρώμνον, οὐκ ἔφη γεγονέναι τὸν Ἀρχίδαμον ἀφ' Ἡρακλέους· ἐκεῖνον μὲν γὰρ ἀποκτιννύναι περιϊόντα τοὺς πονηρούς, τοῦτον δὲ, τοὺς χρηστοὺς ποιεῖν πονηρούς· οὕτω καὶ ἡμῖν πρὸς ἄνθρωπον ἀξιοῦντα καλὸν κἀγαθὸν λέγεσθαι, ῥητέον, ἂν βιάζηται καὶ δυσωπῇ, μὴ πρέποντα ποιεῖν μηδ' ἄξια τῆς περὶ αὐτὸν εὐγενείας τε καὶ ἀρετῆς.

XVII. Ἐπὶ δὲ τῶν φαύλων ὁρᾶν δεῖ καὶ διανοεῖσθαι, τὸν φιλάργυρον εἰ δυσωπήσεις ἄνευ συμβολαίου δανεῖσαί σοι τάλαντον, ἢ τὸν φιλότιμον πείσεις ἐκστῆναι τῆς προεδρίας, ἢ τὸν φίλαρχον τῆς παραγγελίας, ἐπίδοξον ὄντα κρατήσειν. δεινὸν γὰρ ἂν ἀληθῶς φανείη, τούτους μὲν ἐν νοσήμασι καὶ παθήμασιν ἀκάμπτους διαμένειν καὶ ἐχυροὺς καὶ δυσμεταθέτους, ἡμᾶς δὲ, βουλομένους καὶ φάσκοντας εἶναι φιλοκάλους καὶ φιλοδικαίους, μὴ κρατεῖν ἑαυτῶν, ἀλλ' ἀνατρέπεσθαι καὶ προΐεσθαι τὴν ἀρετήν. καὶ γὰρ, εἰ μὲν οἱ δυσωποῦντες ἐπὶ δόξῃ καὶ δυνάμει τοῦτο ποιοῦσιν, ἄτοπόν ἐστι, κοσμοῦντας ἑτέρους καὶ αὔξοντας, ἀσχημονεῖν αὐτοὺς καὶ κακῶς ἀκούειν· ὥςπερ οἱ παραβραβεύοντες ἐν τοῖς ἀγῶσι, καὶ χαριζόμενοι περὶ τὰς χειροτονίας, ἐξ οὗ προσηκόντων ἀρχεῖα καὶ στεφάνους ἄλλοις καὶ δόξαν, ἀφαιροῦνται τὸ ἔνδοξον αὐτῶν καὶ τὸ καλόν· εἰ δὲ χρημάτων ἕνεκα προσκείμενον ὁρῶμεν τὸν δυσωποῦντα, πῶς οὐ παρίσταται δεινὸν εἶναι τὸ τῆς ἰδίας δόξης καὶ ἀρετῆς ἀφειδεῖν, ἵνα τὸ τοῦ δεῖνος βαλάντιον βαρύτερον γένηται; καίτοι παρίσταταί γε τοῖς πολλοῖς τὰ τοιαῦτα, καὶ οὐ λανθάνουσιν ἑαυτοὺς ἐξαμαρτάνοντες· ὥςπερ οἱ τὰς μεγάλας κύλικας ἐκπίνειν ἀναγκαζόμενοι, μόλις, καὶ στένοντες, καὶ τὰ πρόςωπα διαστρέφοντες, ἐκτελοῦσι τὸ προστασσόμενον.

XXVIII. Ἀλλ' ἔοικεν ἡ τῆς ψυχῆς ἀτονία σώματος κράσει καὶ πρὸς ἀλέαν κακῶς πεφυκυίᾳ καὶ πρὸς κρύος· ἐπαινούμενοί τε γὰρ ὑπὸ τῶν δυσωπούντων,

παντάπασι θρύπτονται καὶ χαλῶνται, πρός τε τὰς μέμψεις καὶ ὑφοράσεις τῶν ἀποτυγχανόντων ψοφοδεῶς καὶ δειλῶς ἔχουσι. δεῖ δ' ἀντισχυρίζεσθαι πρὸς ἀμφότερα, μήτε τοῖς δεδιττομένοις, μήτε τοῖς κολακεύουσιν ἐνδιδόντας. ὁ μὲν οὖν Θουκυδίδης, ὡς ἀναγκαίως ἑπομένου τῷ δύνασθαι τοῦ φθονεῖσθαι, καλῶς φησὶ βουλεύεσθαι τὸν ἐπὶ μεγίστοις λαμβάνοντα τὸ ἐπίφθονον· ἡμεῖς δὲ τὸν μὲν φθόνον διαφεύγειν οὐ χαλεπὸν ἡγούμενοι, τὸ δὲ μέμψει μὴ περιπεσεῖν, μηδὲ λυπηρόν τινι γενέσθαι τῶν χρωμένων, ἀδύνατον παντάπασιν ὁρῶντες, ὀρθῶς βουλευσόμεθα, τὰς τῶν ἀγνωμόνων ἀπεχθείας ἐκδεχόμενοι μᾶλλον, ἢ τὰς τῶν δικαίως ἐγκαλούντων, ἐὰν ἐκείνοις μὴ δικαίως ὑπουργῶμεν. καὶ μὴν ἔπαινόν γε τὸν παρὰ τῶν δυσωπούντων, κίβδηλον ὄντα παντάπασι, δεῖ φυλάττεσθαι, καὶ μὴ πάθος πάσχειν ὑώδες, ὑπὸ κνησμοῦ καὶ γαργαλισμοῦ παρέχοντα χρῆσθαι ῥᾷστα τῷ δεομένῳ, καὶ καταβάλλειν ἑαυτὸν ὑποκατακλινόμενον. οὐδὲν γὰρ διαφέρουσι τῶν τὰ σκέλη τοῖς ὑποσπῶσι παρεχόντων, οἱ τὰ ὦτα τοῖς κολακεύουσι παραδιδόντες· ἀλλ' αἴσχιον ἀνατρέπονται καὶ πίπτουσιν· οἱ μὲν, ἔχθρας καὶ κολάσεις ἀνιέντες ἀνθρώποις πονηροῖς, ἵν' ἐλεήμονες καὶ φιλάνθρωποι καὶ συμπαθεῖς κληθῶσιν· οἱ δὲ τοὐναντίον, ἀπεχθείας καὶ κατηγορίας οὐκ ἀναγκαίας οὐδ' ἀκινδύνους ἀναδέξασθαι πεισθέντες, ὑπὸ τῶν ἐπαινούντων ὡς μόνους ἄνδρας καὶ μόνους ἀκολακεύτους, καὶ νὴ Δία στόματα καὶ φωνὰς προσαγορευόντων. διὸ καὶ Βίων ἀπείκαζε τοὺς τοιούτους ἀμφο-

ῥεῦσιν, ἀπὸ τῶν ὤτων ῥᾳδίως μεταφερομένοις. ὥσπερ Ἀλεξῖνον ἱστοροῦσι τὸν σοφιστὴν πολλὰ φαῦλα λέγειν ἐν τῷ περιπάτῳ περὶ Στίλπωνος τοῦ Μεγαρέως· εἰπόντος δέ τινος τῶν παρόντων· Ἀλλὰ μὴν ἐκεῖνός σε πρῴην ἐπῄνει· Νὴ Δία, φάναι· βέλτιστος γὰρ ἀνδρῶν ἐστι καὶ γενναιότατος. ἀλλὰ Μενέδημος τοὐναντίον, ἀκούσας, ὡς Ἀλεξῖνος αὐτὸν ἐπαινεῖ πολλάκις· Ἐγὼ δὲ (εἶπεν) ἀεὶ ψέγω Ἀλεξῖνον· ὥστε κακός ἐστιν ἄνθρωπος, ἢ κακὸν ἐπαινῶν, ἢ ὑπὸ χρηστοῦ ψεγόμενος. οὕτως ἄτρεπτος ἦν καὶ ἀνάλωτος ὑπὸ τῶν τοιούτων, καὶ κρατῶν ἐκείνης τῆς παραινέσεως, ἣν Ἀντισθένειος Ἡρακλῆς παρῄνει, τοῖς παισὶ διακελευόμενος, μηδενὶ χάριν ἔχειν ἐπαινοῦντι αὐτούς· τοῦτο δ' ἦν οὐδὲν ἄλλο, ἢ μὴ δυσωπεῖσθαι, μηδ' ἀντικολακεύειν τοὺς ἐπαινοῦντας. ἀρκεῖ γὰρ (οἶμαι) τὸ τοῦ Πινδάρου, πρὸς τὸν λέγοντα πανταχοῦ καὶ πρὸς πάντας ἐπαινεῖν αὐτὸν, εἰπόντος· Κἀγώ σοι χάριν ἀποδίδωμι· ποιῶ γάρ σε ἀληθεύειν.

XIX. Ὃ τοίνυν πρὸς πάντα τὰ πάθη χρήσιμόν ἐστι, τούτου δεῖ μάλιστα τοῖς εὐδυσωπήτοις, ὅταν ἐκβιασθέντες ὑπὸ τοῦ πάθους, παρὰ γνώμην ἁμάρτωσι καὶ διατραπῶσιν, ἰσχυρῶς μνημονεύειν, καὶ τὰ σημεῖα τοῦ δηγμοῦ καὶ τῆς μεταμελείας θεμένους ἐν ἑαυτοῖς, ἀναλαμβάνειν καὶ φυλάττειν ἐπὶ πλεῖστον χρόνον. ὡς γὰρ οἱ λίθῳ προσπταίσαντες ὁδοιπόροι, ἢ περὶ ἄκραν ἀνατραπέντες κυβερνῆται, ἂν μνημονεύωσιν, οὐκ ἐκεῖνα μόνον ἀλλὰ καὶ τὰ προσόμοια φρίττοντες καὶ φυλαττόμενοι διατελοῦσιν· οὕτως οἱ τὰ τῆς δυσωπίας αἰσχρὰ καὶ βλαβερὰ συνεχῶς

τῷ μετανοοῦντι καὶ δακνομένῳ προσβάλλοντες, ἀντιλήψονται πάλιν ἑαυτῶν ἐν τοῖς ὁμοίοις, καὶ οὐ προήσονται ῥᾳδίως ὑποφερομένους.

# ΠΛΟΥΤΑΡΧΟΥ
## ΠΕΡΙ
## ΦΘΟΝΟΥ ΚΑΙ ΜΙΣΟΥΣ.

Οὕτω δὴ καὶ δοκεῖ μηθὲν τοῦ μίσους διαφέρειν ὁ φθόνος, ἀλλ᾽ ὁ αὐτὸς εἶναι. καθ᾽ ὅλου μὲν γὰρ ὥσπερ πολυάγκιστρον ἡ κακία, τοῖς ἐξηρτημένοις αὐτῆς πάθεσι κινουμένη δεῦρο κἀκεῖσε, πολλὰς πρὸς ἄλληλα συναφὰς καὶ περιπλοκὰς ἐνδίδωσι· ταῦτα δὲ ὥσπερ νοσήματα συμπαθεῖ ταῖς ἀλλήλων φλεγμοναῖς. ὁ γὰρ εὐτυχῶν, ὁμοίως καὶ τὸν μισοῦντα λυπεῖ καὶ τὸν φθονοῦντα. διὸ καὶ τὴν εὔνοιαν ἀμφοτέροις νομίζομεν ἀντικεῖσθαι, βούλησιν οὖσαν ἀγαθῶν τοῖς πλησίον· καὶ τῷ μισεῖν τὸ φθονεῖν ταυτὸ εἶναι, ὅτι τὴν ἐναντίαν τῷ φιλεῖν ἔχει προαίρεσιν. ἐπεὶ δ᾽ οὐχ οὕτω ταυτὸν αἱ ὁμοιότητες, ὡς ἕτερον αἱ διαφοραὶ ποιοῦσι, κατὰ ταύτας ζητῶμεν, ἐὰν μεταδιώξωμεν, ἀπὸ τῆς γενέσεως ἀρξάμενοι τῶν παθῶν.

II. *Γεννᾶται τοίνυν τὸ μῖσος ἐκ φαντασίας τοῦ ὅτι πονηρὸς, ἢ κοινῶς, ἢ πρὸς αὑτόν ἐστιν ὁ μισούμενος· καὶ γὰρ ἀδικεῖσθαι δόξαντες αὐτοὶ, πεφύκασι μισεῖν, καὶ τοὺς ἄλλως ἀδικητικοὺς ἢ πονηροὺς, προβάλλονται καὶ δυσχεραίνουσι· φθονοῦσι δὲ ἁπλῶς τοῖς εὖ πράττειν δοκοῦσιν. ὅθεν ἔοικεν ὁ μὲν φθόνος ἀόριστος εἶναι, καθάπερ ὀφθαλμια πρὸς ἅπαν τὸ λαμπρὸν ἐκταρασσόμενος· τὸ δὲ μῖσος ὡρισται καθ' ὑποκειμένων ἀεί τινων ἀπερειδόμενον πρὸς αὐτόν.*

III. *Δεύτερον δὲ τὸ μισεῖν γίνεται καὶ πρὸς ἄλογα ζῶα· καὶ γὰρ γαλᾶς καὶ κανθαρίδας ἔνιοι μισοῦσι, καὶ φρύνους, καὶ ὄφεις· Γερμανικὸς δ' ἀλεκτρυόνος οὔτε φωνὴν, οὔτ' ὄψιν ὑπέμεινεν· οἱ δὲ Περσῶν μάγοι τοὺς μῦς ἀπεκτίννυσαν, ὡς αὐτοί τε μισοῦντες καὶ τοῦ θεοῦ δυσχεραίνοντος τὸ ζῶον. ὁμοῦ τε γὰρ πάντες Ἄραβες καὶ Αἰθίοπες μυσάττονται· τὸ μέντοι φθονεῖν πρὸς μόνον ἄνθρωπον ἀνθρώπῳ γίνεται.*

IV. *Κἂν τοῖς θηρίοις δὲ φθόνον μὲν οὐκ εἰκὸς ἐγγίνεσθαι πρὸς ἄλληλα· τοῦ γὰρ εὖ πράττειν ἢ κακῶς ἕτερον, φαντασίαν οὐ λαμβάνουσιν, οὐδὲ ἅπτεται τὸ ἔνδοξον ἢ ἄδοξον αὐτῶν, οἷς ὁ φθόνος ἐκτραχύνεται μάλιστα· μισοῦσι δ' ἄλληλα καὶ ἀπεχθάνονται κἂι πολεμοῦσιν ὥςπερ ἀπίστους τινὰς, πολεμοῦσι δ' ἀετοὶ καὶ δράκοντες, κορῶναι καὶ γλαῦκες, αἰγιθαλλοὶ καὶ ἀκανθυλλίδες· ὥστε τούτων γε φασὶ μηδὲ τὸ αἷμα κίρνασθαι σφαττομένων, ἀλλὰ κἂν μίξῃς, ἰδίᾳ πάλιν ἀποῤῥεῖ διακρινόμενον. εἰκότως*

δὲ καὶ τῷ λέοντι πρὸς τὸν ἀλεκτρυόνα, καὶ τῷ ἐλέφαντι πρὸς τὴν ὗν μῖσος ἰσχυρὸν γεγεννηκέναι τὸν φόβον. ὃ γὰρ δεδίασι, καὶ μισεῖν πεφύκασιν, ὥστε καὶ ταύτῃ φαίνεσθαι διαφέροντα τοῦ μίσους τὸν φθόνον, τὸ μὲν δεχομένης τῆς τῶν θηρίων φύσεως, τὸν δὲ μὴ δεχομένης.

V. Ἔτι τοίνυν τὸ μὲν φθονεῖν πρὸς οὐδένα γίνεται δικαίως· οὐδεὶς γὰρ ἀδικεῖ τῷ εὐτυχεῖν, ἐπὶ τούτῳ δὲ φθονοῦνται· μισοῦνται δὲ πολλοὶ δικαίως, ὡς οὓς ἀξιομισήτους καλοῦμεν, ἂν μὴ φεύγωσι τοὺς τοιούτους, μηδὲ βδελύττωνται καὶ δυσχεραίνωσι. μέγα δὲ τούτου τεκμήριον, ὅτι μισεῖν μὲν πολλοὺς ὁμολογοῦσιν ἔνιοι, φθονεῖν δ᾽ οὐδενὶ λέγουσι. καὶ γὰρ ἡ μισοπονηρία τῶν ἐπαινουμένων ἐστί· καὶ τὸν ἀδελφιδοῦν τοῦ Λυκούργου, Χάριλλον, βασιλεύοντα τῆς Σπάρτης, ἐπιεικῆ δ᾽ ὄντα καὶ πρᾶον, ἐπαινούντων τινῶν, ὁ συνάρχων· Καὶ πῶς (ἔφη) χρηστός ἐστι Χάριλλος, ὃς οὐδὲ τοῖς πονηροῖς χαλεπός ἐστι; καὶ τοῦ Θερσίτου ὁ ποιητὴς τὴν μὲν τοῦ σώματος κακίαν πολυμερῶς καὶ περιωδευμένως ἐξεμόρφωσε, τὴν δὲ τοῦ ἤθους μοχθηρίαν συντομώτατα καὶ δι᾽ ἑνὸς ἔφρασεν·

Ἔχθιστος δ᾽ Ἀχιλῆϊ μάλιστ᾽ ἦν ἠδ᾽ Ὀδυσῆϊ.

ὑπερβολὴ γάρ τις φαυλότητος, τὸ τοῖς κρατίστοις ἐχθρὸν εἶναι. καὶ φθονεῖν δ᾽ ἀρνοῦνται· κἂν ἐλέγχωνται, μυρίας σκήψεις προΐσχονται, ὀργίζεσθαι λέγοντες, ἢ φοβεῖσθαι τὸν ἄνθρωπον, ἢ μισεῖν· ὅ τι ἂν τύχωσιν ἄλλο τῷ φθόνῳ τοῦ πάθους ὄνομα

περιβάλλοντες, καὶ καλύπτοντες ὡς μόνον τοῦτο τῶν ψυχῆς νοσημάτων ἀπόῤῥητον.

VI. Ἀνάγκη τοίνυν τὰ πάθη ταῦτα τοῖς αὐτοῖς ὥςπερ τὰ φυτὰ καὶ τρέφεσθαι καὶ αὔξεσθαι καὶ ἐπιγίνεσθαι πέφυκεν ἀλλήλοις. μισοῦσι μέν γε μᾶλλον τοὺς μᾶλλον εἰς πονηρίαν ἐπιδιδόντας, φθονοῦσι δὲ μᾶλλον τοῖς μᾶλλον ἐπ' ἀρετῇ προϊέναι δοκοῦσι. διὸ καὶ Θεμιστοκλῆς, ἔτι μειράκιον ὤν, οὐδὲν ἔφη πράττειν λαμπρόν· οὔπω γὰρ φθονεῖσθαι. καθάπερ γὰρ αἱ κανθαρίδες ἐμφύονται μάλιστα τῷ ἀκμάζοντι σίτῳ, καὶ τοῖς εὐθαλέσι ῥόδοις· οὕτως ὁ φθόνος ἅπτεται μάλιστα τῶν χρηστῶν καὶ αὐξομένων πρὸς ἀρετὴν καὶ δόξαν ἠθῶν καὶ προσώπων· καὶ τοὐναντίον αὖ πάλιν αἱ μὲν ἄκρατοι πονηρίαι συνεπιτείνουσι τὸ μῖσος. τοὺς γοῦν Σωκράτη συκοφαντήσαντας, ὡς εἰς ἔσχατον κακίας ἐληλακότας, οὕτως ἐμίσησαν οἱ πολῖται καὶ ἀπεστράφησαν, ὡς μήτε πῦρ αὔειν, μήτ' ἀποκρίνεσθαι πυνθανομένοις, μὴ λουομένοις κοινωνεῖν ὕδατος, ἀλλ' ἀναγκάζειν ἐκχεῖν ἐκεῖνο τοὺς παραχύτας, ὡς μεμιασμένον, ἕως ἀπήγξαντο μὴ φέροντες τὸ μῖσος. αἱ δὲ τῶν εὐτυχημάτων ὑπεροχαὶ καὶ λαμπρότητες πολλάκις τὸν φθόνον κατασβεννύουσιν. οὐ γὰρ εἰκὸς Ἀλεξάνδρῳ τινὰ φθονεῖν, οὐδὲ Κύρῳ, κρατήσασι καὶ γενομένοις κυρίοις ἁπάντων. ἀλλ' ὥςπερ ὁ ἥλιος, ἂν ἂν ὑπὲρ κορυφῆς γένηται καταχεόμενος τὸ φῶς, ἢ παντάπασι τὴν σκιὰν ἀνεῖλεν, ἢ μικρὰν ἐποίησεν, οὕτω πολὺ τῶν εὐτυχημάτων ὕψος λαβόντων καὶ γενομένων κατὰ κεφαλῆς τοῦ φθόνου, συστέλλεται καὶ ἀναχωρεῖ

καταλαμπόμενος. τὸ μέντοι μῖσος οὐκ ἀνίησιν ἡ τῶν ἐχθρῶν ὑπεροχὴ καὶ δύναμις. ὁ γοῦν Ἀλέξανδρος φθονοῦντα μὲν οὐδένα εἶχε, μισοῦντας δὲ πολλοὺς, ὑφ᾽ ὧν τέλος ἐπιβουλευθεὶς ἀπέθανεν. ὁμοίως τοίνυν καὶ τὰ δυστυχήματα τοὺς μὲν φθονοῦντας παύει, τὰς δ᾽ αὖ ἔχθρας οὐκ ἀναιρεῖ. μισοῦσι γὰρ καὶ ταπεινοὺς, τοὺς ἐχθροὺς γενομένους· φθονεῖ δ᾽ οὐδεὶς τῷ δυστυχοῦντι. ἀλλὰ καὶ τὸ ῥηθὲν ὑπό τινος τῶν καθ᾽ ἡμᾶς σοφιστῶν, ὅτι ἥδιστα οἱ φθονοῦντες ἐλεοῦσιν, ἀληθές ἐστιν· ὥστε καὶ ταύτην μεγάλην εἶναι τῶν παθῶν διαφορὰν, ὡς τὸ μὲν μῖσος οὔτ᾽ εὐτυχούντων, οὔτε δυστυχούντων, ἀφίστασθαι πέφυκεν· ὁ δὲ φθόνος πρὸς τὴν ἀμφοῖν ὑπερβολὴν ἀπαγορεύει.

VII. Ἔτι τοίνυν καὶ μᾶλλον οὕτως ἀπὸ τῶν εναντίων τὸ αὐτὸ σκοπῶμεν. λύουσι γὰρ ἔχθρας καὶ μῖσος, ἢ πεισθέντες μηδὲν ἀδικεῖσθαι· ἢ δόξαν ὡς χρηστῶν, οὓς ἐμίσουν ὡς πονηροὺς, λαβόντες· ἢ τρίτον, εὖ παθόντες. Ἡ γὰρ τελευταία χάρις (ὥς Θουκυδίδης φησὶ) κἂν ἐλάττων ᾖ, καιρὸν ἔχουσα, δύναται μεῖζον ἔγκλημα λῦσαι. τούτων δὲ τὸ μὲν πρῶτον οὐ λύει τὸν φθόνον· πεπεισμένοι γὰρ ἐξ ἀρχῆς μηδὲν ἀδικεῖσθαι, φθονοῦσι· τὰ δὲ λοιπὰ καὶ παροξύνει· τοῖς τε γὰρ δοκοῦσι χρηστοῖς βασκαίνουσι μᾶλλον, ὡς δὴ τὸ μέγιστον ἀγαθὸν τὴν ἀρετὴν ἔχουσι· κἂν εὖ πάσχωσιν ὑπὸ τῶν εὐτυχούντων, ἀνιῶνται, φθονοῦντες αὐτοῖς καὶ τῆς προαιρέσεως καὶ τῆς δυνάμεως. τὸ μὲν γὰρ ἀρετῆς ἐστι, τὸ δ᾽ εὐτυχίας· ἀγαθὰ δ᾽ ἀμφότερα. διὸ παντελῶς ἕτερόν ἐστι τοῦ

μίσους πάθος ὁ φθόνος, εἰ, δι' ὧν ἐκεῖνο πραΰνεται, τοῦτο λυπεῖται καὶ παροξύνεται.

VIII. Ἤδη τοίνυν καὶ τὴν προαίρεσιν αὐτὴν ἑκατέρου πάθους σκοπῶμεν. ἔστι δὲ μισοῦντος μὲν προαίρεσις, κακῶς ποιῆσαι· καὶ τὴν δύναμιν οὕτως ὁρίζονται, διάθεσίν τινα καὶ προαίρεσιν ἐπιτηρητικὴν τοῦ κακῶς ποιῆσαι. τῷ φθόνῳ δὲ τοῦτο γοῦν ἄπεστι. πολλοὺς οἱ φθονοῦντες τῶν συνήθων καὶ οἰκείων ἀπολέσθαι μὲν οὐκ ἂν ἐθέλοιεν, οὐδὲ δυστυχῆσαι, βαρύνονται δ' εὐτυχοῦντας· καὶ κολούουσι μὲν, εἰ δύνανται, τὴν δόξαν αὐτῶν καὶ λαμπρότητα, συμφορὰς δ' ἀνηκέστους οὐκ ἂν προσβάλλοιεν· ἀλλ' ὥσπερ οἰκίας ὑπερεχούσης, τὸ ἐπισκοτοῦν αὐτῆς καθελόντες, ἀρκοῦνται.

# ΠΛΟΥΤΑΡΧΟΥ
## ΠΕΡΙ
## ΤΟΥ ΕΑΥΤΟΝ ΕΠΑΙΝΕΙΝ ΑΝΕΠΙΦΘΟΝΩΣ

Τὸ περὶ ἑαυτοῦ λέγειν ὥς τι ὄντος ἢ δυναμένου πρὸς ἑτέρους, ὦ Ἡρκλανέ, λόγῳ μὲν ἐπαχθὲς ἀποφαίνουσι πάντες καὶ ἀνελεύθερον, ἔργῳ δ' οὐ πολ-

λοὶ τὴν ἀηδίαν αὐτοῦ διαπεφεύγασιν οὐδὲ τῶν ψεγόντων. ὁ γοῦν Εὐριπίδης εἰπών·

*Εἰ δ' ἦσαν ἀνθρώποισιν ὠνητοὶ λόγοι,*
*Οὐδεὶς ἂν αὑτὸν εὖ λέγειν ἐβούλετο·*
*Νῦν δ' ἐκ βαθείας γὰρ πάρεστιν αἰθέρος*
*Λαβεῖν ἀμισθὶ, πᾶς τις ἥδεται λέγων*
*Τά τ' ὄντα καὶ μή· ζημίαν γὰρ οὐκ ἔχει·*

φορτικωτάτῃ κέχρηται μεγαλαυχίᾳ, συγκαταπλέκων τοῖς τραγῳδουμένοις πάθεσι καὶ πράγμασι μηδὲν προσήκοντα τὸν περὶ αὑτοῦ λόγον. ὁμοίως ὁ Πίνδαρος φήσας

—— καὶ
*Τὸ καυχᾶσθαι παρὰ καιρὸν,*
*Μανίαις ὑποκρέκειν,*

οὐ παύεται μεγαληγορῶν περὶ τῆς ἑαυτοῦ δυνάμεως, ἀξίας μὲν ἐγκωμίων οὔσης· τίς γὰρ οὔ φησιν; ἀλλὰ καὶ τοὺς στεφανουμένους ἐν τοῖς ἀγῶσιν, ἕτεροι νικῶντας ἀναγορεύουσι, τὴν ἀηδίαν τῆς περιαυτολογίας ἀφαιροῦντες. ἢ καὶ τὸν Τιμόθεον ἐπὶ τῇ κατὰ Φρύνιδος νίκῃ γράφοντα· Μακάριος ἦσθα, Τιμόθεε, ὅτε κάρυξ εἶπε· Νικᾷ Τιμόθεος ὁ Μιλήσιος τὸν Κάρβωνος τὸν ἰωνοκάμπταν· εἰκότως δυσχεραίνομεν ὡς ἀμούσως καὶ παρανόμως ἀνακηρύττοντα τὴν ἑαυτοῦ νίκην. αὐτῷ μὲν γὰρ ὁ παρ' ἄλλων ἔπαινος ἥδιστον ἀκουσμάτων ἐστὶν, ὥσπερ ὁ Ξενοφῶν εἴρηκεν· ἑτέροις δὲ ὁ περὶ αὑτοῦ, λυπηρότατον. πρῶτον μὲν γὰρ ἀναισχύντους ἡγούμεθα τοὺς ἑαυτοὺς ἐπαινοῦντας, αἰδεῖσθαι προσῆκον αὐτοῖς, κἂν ὑπ' ἄλλων ἐπαινῶνται· δεύτερον δὲ ἀδίκους, ἃ

λαμβάνειν ἔδει παρ' ἑτέρων, αὐτοῖς διδόντας· τρίτον, ἢ σιωπῶντες ἄχθεσθαι καὶ φθονεῖν δοκοῦμεν, ἢ τοῦτο δεδοικότες, ἀναγκαζόμεθα συνεφάπτεσθαι παρὰ γνώμην τῶν ἐπαίνων, καὶ συνεπιμαρτυρεῖν, πρᾶγμα κολακείᾳ μᾶλλον ἀνελευθέρῳ προσῆκον, ἢ τιμῇ, τὸ ἐπαινεῖν παρόντας, ὑπομένοντες.

II. Οὐ μὴν ἀλλὰ καίπερ, τούτων οὕτως ἐχόντων, ἔστιν ᾗ παρακινδυνεύσειεν ἂν ὁ πολιτικὸς ἀνὴρ ἅψασθαι τῆς καλουμένης περιαυτολογίας πρὸς οὐδεμίαν αὑτοῦ δόξαν ἢ χάριν, ἀλλὰ καιροῦ καὶ πράξεως ἀπαιτούσης, ὥσπερ ἄλλο τι, καὶ περὶ αὑτοῦ λεχθῆναι τῶν ἀληθῶν· μάλιστα δὲ ὅταν ᾖ τὰ πεπραγμένα καὶ προσόντα χρηστὰ, δεῖ μὴ φεισάμενον εἰπεῖν διαπράξασθαί τι τῶν ὁμοίων. καλὸν γὰρ ὁ τοιοῦτος ἔπαινος ἐκφέρει καρπὸν, ὥσπερ ἀπὸ σπέρματος πλειόνων ἑτέρων ἀπ' αὐτοῦ καὶ κρειττόνων φυομένων ἐπαίνων. καὶ γὰρ τὴν δόξαν ὁ πολιτικὸς ἀνὴρ οὐχ ὥς τινα μισθὸν ἢ παραμυθίαν τῆς ἀρετῆς ἀπαιτεῖ, καὶ ἀγαπᾷ ταῖς πράξεσι παροῦσαν· ἀλλ' ὅτι τὸ πιστεύεσθαι καὶ δοκεῖν χρηστὸν εἶναι πλειόνων καὶ καλλιόνων πράξεων ἀφορμὰς δίδωσι. πειθομένους γὰρ ἅμα καὶ φιλοῦντας ἡδὺ καὶ ῥᾴδιον ὠφελεῖν· πρὸς δὲ ὑποψίαν καὶ διαβολὴν οὐκ ἔστι χρήσασθαι τῇ ἀρετῇ φεύγοντας εὖ παθεῖν προσβιαζόμενον. εἰ δὲ καὶ δι' ἑτέρας τινὰς αἰτίας ὁ πολιτικὸς ἂν αὑτὸν ἐπαινέσειε, σκεπτέον, τίνες εἰσὶν αὗται, ὅπως ἐξευλαβούμενοι τὸ κενὸν καὶ δυσχεραινόμενον, εἴ τι χρήσιμον ἔχει, μὴ παραλίπωμεν.

III. Ἔστιν οὖν κενὸς ἔπαινος, ὁ τῶν ἑαυτοὺς ἐπαινεῖν, ὅπως ἐπαινεθῶσι, δοκούντων· καὶ καταφρονεῖται μάλιστα, φιλοτιμίας ἕνεκα γίνεσθαι καὶ δόξης ἀκαίρου φαινόμενος· ὡς γὰρ οἱ τροφῆς ἀποροῦντες, ἐξ αὐτοῦ τοῦ σώματος ἀναγκάζονται παρὰ φύσιν τρέφεσθαι, καὶ τοῦτο τοῦ λιμοῦ τέλος ἐστίν· οὕτως οἱ πεινῶντες ἐπαίνων, ἂν μὴ τύχωσιν ἑτέρων ἐπαινούντων, αὐτοὶ τῇ φιλοδοξίᾳ παρ᾽ αὐτῶν ἐπαρκεῖν τι βούλεσθαι καὶ συνεισφέρειν δοκοῦντες, ἀσχημονοῦσιν. ὅταν δὲ μηδὲ ἁπλῶς καὶ καθ᾽ ἑαυτοὺς ἐπαινεῖσθαι ζητῶσιν, ἀλλ᾽, ἁμιλλώμενοι πρὸς ἀλλοτρίους ἐπαίνους, ἔργα καὶ πράξεις ἀντιπαραβάλλωσιν αὐτῶν, ὡς ἀμαυρώσοντες ἑτέρους, πρὸς τῷ κενῷ βάσκανον πρᾶγμα καὶ κακόηθες ποιοῦσι. τὸν μὲν γὰρ ἐν ἀλλοτρίῳ χορῷ πόδα τιθέντα, περίεργον ἡ παροιμία καὶ γελοῖον ἀποδείκνυσι· τὴν δ᾽ ἐν ἀλλοτρίοις ἐπαίνοις εἰς μέσον ὑπὸ φθόνου καὶ ζηλοτυπίας ἐξωθουμένην περιαυτολογίαν εὖ μάλα δεῖ φυλάττεσθαι, καὶ μηδ᾽ ἑτέρων ὑπομένειν ἐπαινούντων αὐτὸν, ἀλλὰ παραχωρεῖν τοῖς τιμωμένοις, ἂν ἄξιοι ὦσιν· ἂν δ᾽ ἀνάξιοι καὶ φαῦλοι δόξωσιν εἶναι, μὴ τοῖς ἰδίοις ἐπαίνοις ἀφαιρώμεθα τοὺς ἐκείνων, ἀλλ᾽ ἄντικρυς ἐλέγχοντες, καὶ δεικνύντες οὐ προσηκόντως εὐδοκιμοῦντας. ταῦτα μὲν οὖν δῆλον ὅτι φυλακτέον.

IV. *Αὐτὸν* δ᾽ ἐπαινεῖν ἀμέμπτως ἐστὶ, πρῶτον μὲν, ἂν ἀπολογούμενος τοῦτο ποιῇς πρὸς διαβολὴν, ἢ κατηγορίαν, ὡς ὁ *Περικλῆς*· *Καίτοι* ἐμοὶ τοιούτῳ ἀνδρὶ ὀργίζεσθε, ὃς οὐδενὸς ἧσσων οἴομαι εἶναι

γνῶναί τε τὰ δέοντα, καὶ ἑρμηνεῦσαι ταῦτα, φιλόπολίς τε καὶ χρημάτων κρείσσων. οὐ γὰρ μόνον ἀλαζονείαν καὶ κενότητα καὶ φιλοτιμίαν ἐκπέφευγε τῷ λέγειν τηνικαῦτα περὶ αὑτοῦ σεμνὸν, ἀλλὰ καὶ φρόνημα καὶ μέγεθος ἀρετῆς διαδείκνυσι, τῷ μὴ ταπεινοῦσθαι ταπεινούσης καὶ χειρουμένης τὸν φθόνον. οὐδὲ γὰρ κρίνειν ἔτι τοὺς τοιούτους ἀξιοῦσιν, ἀλλ' ἐπαίρονται καὶ γάννυνται καὶ συνενθουσιῶσι ταῖς μεγαλαυχίαις, ἄνπερ ὦσι βέβαιοι καὶ ἀληθεῖς· ὡς ἐπιμαρτυρεῖ τὰ γινόμενα. Θηβαῖοι γοῦν, ἐγκαλουμένων τῶν στρατηγῶν, ὅτι, τοῦ χρόνου τῆς Βοιωταρχίας ἐξήκοντος αὐτοῖς, οὐκ εὐθὺς ἐπανῆλθον, ἀλλ' εἰς τὴν Λακωνικὴν ἐνέβαλον, καὶ τὰ περὶ Μεσσήνην διῴκησαν, Πελοπίδαν μὲν ὑποπίπτοντα καὶ δεόμενον μόλις ἀπέλυσαν· Ἐπαμινώνδου δὲ πολλὰ περὶ τῶν πεπραγμένων μεγαληγορήσαντος, τέλος δὲ φήσαντος, ὡς ἕτοιμός ἐστιν ἀποθνήσκειν, ἂν ὁμολογήσωσιν, ὅτι τὴν Λακωνικὴν διεπόρθησε, καὶ τὴν Μεσσήνην ᾤκισε, καὶ συνέστησεν Ἀρκαδίαν, ἀκόντων ἐκείνων, οὐδὲ τὰς ψήφους ἀναλαβεῖν ἐπ' αὐτὸν ὑπέμειναν, ἀλλὰ θαυμάζοντες τὸν ἄνδρα, καὶ χαίροντες ἅμα καὶ γελῶντες ἀπηλλάγησαν. ὅθεν οὐδὲ τοῦ Ὁμηρικοῦ Σθενέλου παντάπασιν αἰτιατέον, τό·

Ἡμεῖς τοι πατέρων μέγ' ἀμείνονες εὐχόμεθ' εἶναι·
μεμνημένους τοῦ·

Ὤμοι, Τυδέος υἱὲ δαΐφρονος ἱπποδάμοιο,
Τί πτώσσεις, τί δ' ὀπιπτεύεις πολέμοιο γεφύρας;

οὐδὲ γὰρ αὐτὸς ἀκούσας κακῶς, ἀλλ' ὑπὲρ τοῦ φίλου λοιδορηθέντος ἠμύνατο, τῇ περιαυτολογίᾳ παῤῥησίαν συγγνώμονα τῆς αἰτίας διδούσης. ἀλλὰ μὴν καὶ Ῥωμαῖοι Κικέρωνι μὲν ἐδυσχέραινον ἐγκωμιάζοντι πολλάκις ἑαυτοῦ τὰς περὶ Κατιλίναν πράξεις· Σκιπίωνι δ' εἰπόντι, μὴ πρέπειν αὐτοῖς κρίνειν περὶ Σκιπίωνος, δι' ὃν ἔχουσι τὸ κρίνειν πᾶσιν ἀνθρώποις, στεφανωσάμενοι συνανέβησαν εἰς τὸ Καπιτώλιον, καὶ συνέθυσαν. ὁ μὲν γὰρ οὐκ ἀναγκαίως, ἀλλ' ὑπὲρ δόξης, ἐχρῆτο τοῖς ἐπαίνοις· τοῦ δ' ἀφῄρει τὸν φθόνον ὁ κίνδυνος.

V. Οὐ μόνον δὲ κρινομένοις καὶ κινδυνεύουσιν, ἀλλὰ καὶ δυστυχοῦσι, μᾶλλον ἁρμόζει μεγαλαυχία καὶ κόμπος, ἢ εὐτυχοῦσιν. οἱ μὲν γὰρ οἷον ἐπιδράττεσθαι τῆς δόξης καὶ ἀπολαύειν, χαριζόμενοι τῷ φιλοτίμῳ δοκοῦσιν· οἱ δὲ, πόῤῥω φιλοτιμίας διὰ τὸν καιρὸν ὄντες, ἐξαναφέρειν πρὸς τὴν τύχην καὶ ὑπερείδειν τὸ φρόνημα, καὶ φεύγειν ὅλως τὸ ἐλεεινὸν καὶ συνεπιθρηνοῦν τοῖς ἀβουλήτοις καὶ ταπεινούμενον. ὥσπερ οὖν τοὺς ἐν τῷ περιπατεῖν ἐπαιρομένους καὶ ὑψαυχενοῦντας, ἀνοήτους ἡγούμεθα καὶ κενούς· ἂν δὲ πυκτεύοντες ἢ μαχόμενοι διεγείρωσι καὶ ἀναγάγωσιν ἑαυτοὺς, ἐπαινοῦμεν· οὕτως ἀνὴρ ὑπὸ τύχης σφαλλόμενος, ἑαυτὸν εἰς ὀρθὸν καθιστὰς καὶ ἀντίπαλον,

Πύκτης ὅπως εἰς χεῖρας —,

ἐκ τοῦ ταπεινοῦ καὶ οἰκτροῦ τῇ μεγαλαυχίᾳ μεταφέρων εἰς τὸ γαῦρον καὶ ὑψηλὸν, οὐκ ἐπαχθὴς οὐδὲ

θρασὺς, ἀλλὰ μέγας εἶναι δοκεῖ καὶ ἀήττητος· ὡς που καὶ τὸν Πάτροκλον ὁ ποιητὴς μέτριον καὶ ἀνεπίφθονον ἐν τῷ κατορθοῦν, ἐν δὲ τῷ τελευτᾷν μεγαλήγορον πεποίηκε λέγοντα·

Τοιοῦτοι δ' εἴπερ μοι ἐείκοσιν ἀντεβόλησαν.

καὶ Φωκίων τἄλλα μὲν πρᾶος ἦν· μετὰ δὲ τὴν καταδίκην ἄλλοις τε πολλοῖς διεδείκνυε τὴν μεγαλοφροσύνην, καὶ πρὸς ἕνα τῶν συναποθνησκόντων ὀδυρόμενον καὶ δυσανασχετοῦντα· Τί λέγεις· (εἶπεν) οὗτος, οὐκ ἀγαπᾷς ἀποθνήσκων μετὰ Φωκίωνος;

VI. Ἔτι τοίνυν οὐχ ἧττον, ἀλλὰ καὶ μᾶλλον ἀδικουμένῳ τῷ πολιτικῷ δέδοται τὸ λέγειν τι περὶ αὑτοῦ πρὸς τοὺς ἀγνωμονοῦντας· ὥσπερ ὁ Ἀχιλλεὺς ἄλλως μὲν ὑφίετο τῷ θείῳ τῆς δόξης, καὶ μέτριος ἦν λέγων·

— — αἴκέ ποθι Ζεὺς
Δῷσι πόλιν Τροίην εὐτείχεον ἐξαλαπάξαι·

ὑβρισθεὶς δὲ παρ' ἀξίαν καὶ προπηλακισθεὶς, ἐφίησι τὴν μεγαλαυχίαν τῇ ὀργῇ·

Δώδεκα γὰρ σὺν νηυσὶ πόλεις ἀλάπαξ' ἀνθρώπων.

καί·

— — οὐ γὰρ ἐμῆς κόρυθος λεύσσουσι μέτωπον
Ἐγγύθι λαμπομένης. — —

δέχεται γὰρ ἡ παῤῥησία, μέρος οὖσα τῆς δικαιολογίας, τὴν μεγαληγορίαν. ἀμέλει δὲ καὶ Θεμιστοκλῆς, οὐδὲν ἐπὶ τῶν πράξεων εἰπὼν οὐδὲ ποιήσας ἐπαχθὲς, ὁπηνίκα τοὺς Ἀθηναίους ἑώρα μεστοὺς ὄντας αὐτοῦ

καὶ περιορῶντας, οὐκ ἐφείδετο λέγειν· Τί, ὦ μακάριοι, κοπιᾶτε, πολλάκις ὑπὸ τῶν αὐτῶν εὖ πάσχοντες; καὶ ὅτι, χειμαζόμενοι μὲν, ὥςπερ ὑπὸ δένδρον ὑποφεύγετε, γενομένης δ᾽ εὐδίας, τίλλετε παρεξιόντες;

VII. Οὗτοι μὲν οὖν ἄλλως ἀδικούμενοι, τῶν κατορθουμένων ἐμέμνηντο πρὸς τοὺς ἀγνωμονοῦντας. ὁ δ᾽ ἐπ᾽ αὐτοῖς ψεγόμενος, οἷς κατώρθωκε, καὶ παντάπασι σύγγνωστός ἐστι καὶ ἄμεμπτος, ἐγκωμιάζων τὰ πεπραγμένα· δοκεῖ γὰρ οὐκ ὀνειδίζειν, ἀλλ᾽ ἀπολογεῖσθαι. τοῦτο γοῦν λαμπρὰν τῷ Δημοσθένει παῤῥησίαν ἐδίδου, καὶ τὸν κόρον ἀφῄρει τῶν ἐπαίνων, οἷς παρὰ πάντα τὸν λόγον ὁμοῦ τι τὸν ὑπὲρ τοῦ στεφάνου κέχρηται, σεμνυνόμενος οἷς ἐνεκαλεῖτο περὶ τοῦ πολέμου πρεσβεύμασι καὶ ψηφίσμασιν.

VIII. Οὐ πόῤῥω δὲ τούτου τεταγμένον ἔχει τινὰ χάριν τὸ τῆς ἀντιθέσεως, ὅταν, ἐφ᾽ ᾧ τις ἐγκαλεῖται, τούτου τοὐναντίον αἰσχρὸν ἀποδεικνύῃ καὶ φαῦλον. ὡς ὁ Λυκοῦργος ἐν Ἀθήναις ἐπὶ τῷ πεπεικέναι τὸν συκοφάντην ἀργυρίου λοιδορούμενος· Εἶτα (ἔφη) ποῖός τις ὑμῖν δοκῶ εἶναι πολίτης, ὃς τοσοῦτον χρόνον τὰ δημόσια πράττων παρ᾽ ὑμῖν, διδοὺς μᾶλλον ἀδίκως, ἢ λαμβάνων, εἴλημμαι; καὶ ὁ Κικέρων, τοῦ Μετέλλου πρὸς αὐτὸν εἰπόντος, ὅτι πλείονας ἀνῄρηκε καταμαρτυρήσας, ἢ συνηγορήσας σέσωκε· Τίς δὲ (εἶπεν) οὐ φησὶν ἐν ἐμοὶ πλέον εἶναι πίστεως, ἢ δεινότητος; καὶ τὰ Δημοσθένους τοιαῦτα· Τίς δ᾽ οὐκ ἂν ἀπέκτεινέ με δικαίως, εἴ τι

τῶν τῇ πόλει καλῶν ὑπαρχόντων λόγῳ μόνον αἰσχύνειν ἐπεχείρησα; καὶ· Τί ἂν οἴεσθε λέγειν τοὺς μιαροὺς τούτους ἀνθρώπους, εἰ τότε, μου περὶ τούτων ἀκριβολογουμένου, ἀπῆλθον αἱ πόλεις; καὶ ὅλως ὁ περὶ τοῦ στεφάνου λόγος εὐφυέστατα ταῖς ἀντιθέσεσι καὶ λύσεσι τῶν αἰτιῶν ἐπεισάγει τοὺς ἐπαίνους.

IX. Οὐ μὴν ἀλλὰ καὶ τοῦτο χρήσιμόν ἐστιν ἐν ἐκείνῳ τῷ λόγῳ καταμαθεῖν, ὅτι μιγνύων ἐμμελέστατα τῷ περὶ αὑτοῦ λόγῳ τὸν περὶ τῶν ἀκουόντων ἔπαινον, ἀνεπίφθονον ἐποίει καὶ ἀφίλαυτον· οἵους μὲν Εὐβοεῦσιν οἱ Ἀθηναῖοι αὑτοὺς παρέσχον, οἵους δὲ Θηβαίοις, ὅσα δὲ Βυζαντίους ἀγαθὰ καὶ Χεῤῥονησίτας ἐποίησαν· αὑτῷ δὲ τῆς διακονίας μετεῖναι φάσκων. λανθάνει γὰρ οὕτω τὸν ἀκροατὴν, τοῖς ἰδίοις ἐπαίνοις συνυποδυόμενον τὸ τοῦ λέγοντος ἡδέως προςδεχόμενον· καὶ χαίρει μὲν ἐφ᾽ οἷς κατώρθωσε λεγομένοις, τῷ δὲ χαίρειν εὐθὺς ἕπεται τὸ θαυμάζειν καὶ ἀγαπᾶν, δι᾽ ὧν κατώρθωσεν. ὅθεν καὶ Ἐπαμινώνδας, Μενεκλείδου ποτὲ χλευάζοντος αὐτὸν, ὡς μεῖζον τοῦ Ἀγαμέμνονος φρονοῦντα· Δι᾽ ὑμᾶς γε, (εἶπεν) ὦ ἄνδρες Θηβαῖοι, μεθ᾽ ὧν μόνων ἐν ἡμέρᾳ μιᾷ κατέλυσα τὴν Λακεδαιμονίων ἀρχήν.

X. Ἐπεὶ δὲ τῷ μὲν ἑαυτὸν ἐπαινοῦντι πολεμοῦσιν οἱ πολλοὶ καὶ ἄχθονται σφόδρα, τῷ δὲ ἕτερον, οὐχ ὁμοίως, ἀλλὰ καὶ χαίρουσι πολλάκις καὶ συνεπιμαρτυροῦσι προθύμως· εἰώθασιν ἔνιοι τοὺς ταυτὰ προαιρουμένους καὶ πράττοντας αὐτοῖς, καὶ ὅλως ὁμοιοτρόπους, ἐπαινοῦντες ἐν καιρῷ, συνοικειοῦν

καὶ συνεπιστρέφειν πρὸς ἑαυτοὺς τὸν ἀκροατήν· ἐπιγινώσκει γὰρ εὐθὺς ἐν τῷ λέγοντι, κᾂν περὶ ἄλλου λέγηται, τὴν ὁμοιότητα ἀρετῆς, τῶν αὐτῶν ἀξίαν ἐπαίνων οὖσαν. ὡς γὰρ ὁ λοιδορῶν ἕτερον, οἷς αὐτὸς ἔνοχός ἐστιν, οὐ λανθάνει λοιδορῶν μᾶλλον ἑαυτὸν, ἢ ἐκεῖνον, οὕτως οἱ ἀγαθοὶ τοὺς ἀγαθοὺς τιμῶντες, ἀναμιμνήσκουσιν αὑτῶν τοὺς συνειδότας· ὥστ' εὐθὺς ἐπιφωνεῖν· Σὺ γὰρ ὁ τοιοῦτος; Ἀλέξανδρος μὲν οὖν Ἡρακλέα τιμῶν, καὶ πάλιν Ἀλέξανδρον Ἀνδρόκοπος, ἑαυτοὺς εἰς τὸ τιμᾶσθαι προῆγον ἀπὸ τῶν ὁμοίων. Διονύσιος δὲ, τὸν Γέλωνα διασύρων, καὶ γέλωτα τῆς Σικελίας ἀποκαλῶν, ἐλάνθανεν ὑπὸ φθόνου καθαιρῶν τὸ μέγεθος καὶ τὸ ἀξίωμα τῆς περὶ αὑτὸν δυνάμεως.

XI. Ταῦτα μὲν οὖν καὶ ἄλλως ἐπίστασθαι καὶ παραφυλάττειν τῷ πολιτικῷ προσήκει. τοὺς δ' ἀναγκασθέντας ἐπαινεῖν αὑτοὺς, ἐλαφροτέρους παρέχει καὶ τὸ μὴ πάντα προςποιεῖν ἑαυτοῖς, ἀλλ' ὥςπερ φορτίου τῆς δόξης, τὸ μὲν εἰς τὴν τύχην, τὸ δ' εἰς τὸν θεὸν ἀποτίθεσθαι. διὸ καλῶς μὲν ὁ Ἀχιλλεύς, Ἐπειδὴ τόνδ' ἄνδρα θεοὶ δαμάσασθαι ἔδωκαν· καλῶς δὲ Τιμολέων, ἐν Συρακούσαις Αὐτοματίας βωμὸν ἱδρυσάμενος ἐπὶ ταῖς πράξεσι, καὶ τὴν οἰκίαν Ἀγαθῷ Δαίμονι καθιερώσας· ἄριστα δὲ Πύθων ὁ Αἴνιος, ἐπειδὴ Κότυν ἀποκτείνας ἧκεν εἰς Ἀθήνας, καὶ τῶν δημαγωγῶν διαμιλλωμένων τοῖς ἐγκωμίοις αὐτοῦ πρὸς τὸν δῆμον, ᾔσθετο βασκαίνοντας ἐνίους καὶ βαρυνομένους, παρελθών· Ταῦτα (εἶπεν), ὦνδρες

Ἀθηναῖοι, θεῶν τις ἔπραξεν, ἡμεῖς δὲ τὰς χεῖρας ἐχρήσαμεν. ἀφῄρει δὲ καὶ Σύλλας τὸν φθόνον, ἀεὶ τὴν τύχην ἐπαινῶν· καὶ τέλος, Ἐπαφρόδιτον ἑαυτὸν ἀνηγόρευσε. μᾶλλον γὰρ εὐτυχίας, ἢ ἀρετῆς, ἡττᾶσθαι βούλονται· τὸ μὲν ἀλλότριον ἀγαθὸν ἡγούμενοι, τὸ δ' οἰκεῖον ἔλλειμμα καὶ παρ' αὐτοὺς γενόμενον. οὐχ ἥκιστα γοῦν λέγουσιν ἀρέσαι Λοκροῖς τὴν Ζαλεύκου νομοθεσίαν, ὅτι τὴν Ἀθηνᾶν ἔφασκεν αὐτῷ φοιτῶσαν εἰς ὄψιν ἑκάστοτε, τοὺς νόμους ὑφηγεῖσθαι καὶ διδάσκειν, αὐτοῦ δὲ μηδὲν εἶναι διανόημα, μηδὲ βούλευμα τῶν εἰσφερομένων.

XII. Ἀλλὰ ταῦτα μὲν ἴσως πρὸς τοὺς παντάπασι χαλεποὺς καὶ βασκάνους ἀνάγκη τὰ φάρμακα καὶ τὰ παρηγορήματα μηχανᾶσθαι. πρὸς δὲ τοὺς μετρίους οὐκ ἄτοπόν ἐστι χρῆσθαι καὶ ταῖς ἐπανορθώσεσι τῶν ἐπαίνων· εἴ τις ὡς λόγιον, ἢ πλούσιον, ἢ δυνατὸν ἐπαινοίη, κελεύοντα μὴ ταῦτα περὶ αὐτοῦ λέγειν, ἀλλὰ μᾶλλον, εἰ χρηστὸς καὶ ἀβλαβὴς καὶ ὠφέλιμος. οὐ γὰρ εἰσφέρει τὸν ἔπαινον ὁ τοῦτο ποιῶν, ἀλλὰ μετατίθησιν· οὐδὲ χαίρειν δοκεῖ τοῖς ἐγκωμιάζουσιν αὐτὸν, ἀλλὰ μᾶλλον ὅτι μὴ προσηκόντως, μηδ' ἐφ' οἷς δεῖ, δυσχεραίνειν καὶ ἀποκρύπτειν τὰ φαυλότερα τοῖς βελτίοσιν, οὐκ ἐπαινεῖσθαι βουλόμενος, ἀλλ' ἐπαινεῖν, ὡς χρὴ, διδάσκων. τὸ γάρ· Οὐ λίθοις ἐτείχισα τὴν πόλιν, οὐδὲ πλίνθοις ἐγώ· ἀλλ' ἐὰν τὸν ἐμὸν τειχισμὸν βούλῃ σκοπεῖν, εὑρήσεις καὶ ὅπλα καὶ ἵππους καὶ συμμάχους, τοιούτου τινὸς ἔοικεν ἅπτεσθαι· καὶ τὸ τοῦ Περικλέ-

*ους ἔτι μᾶλλον. ὀλοφυρόμενοι γὰρ, ὡς ἔοικεν, ἤδη καταστρέφοντος αὐτοῦ, καὶ δυσφοροῦντες, οἱ ἐπιτήδειοι τῶν στρατηγιῶν ἐμέμνηντο καὶ τῆς δυνάμεως, καὶ ὅσα δὴ τρόπαια καὶ νίκας καὶ πόλεις Ἀθηναίοις κτησάμενος ἀπολέλοιπεν· ὁ δὲ, μικρὸν ἐπαναστὰς, ἐμέμψατο αὐτοὺς, ὡς κοινὰ πολλῶν, καὶ τῆς τύχης ἔνια μᾶλλον, ἢ τῆς ἀρετῆς, ἐγκώμια λέγοντας· τὸ δὲ κάλλιστον καὶ μέγιστον καὶ ἴδιον αὐτοῦ παραλιπόντας, ὅτι δι᾽ αὐτὸν οὐδεὶς Ἀθηναίων μέλαν ἱμάτιον ἀνείληφε. τοῦτο δὴ τὸ παράδειγμα καὶ ῥήτορι δίδωσιν, ἄνπερ ᾖ χρηστὸς, ἐπαινουμένῳ περὶ λόγου δεινότητα, μεταθεῖναι τὸν ἔπαινον ἐπὶ τὸν βίον καὶ τὸ ἦθος· καὶ στρατηγῷ θαυμαζομένῳ δι᾽ ἐμπειρίαν πολεμικὴν ἢ δι᾽ εὐτυχίαν, περὶ πρᾳότητός τε καὶ δικαιοσύνης αὐτοῦ παῤῥησιάσασθαι· καὶ τοὐναντίον αὖ πάλιν, ὑπερφυῶν τινων λεγομένων ἐπαίνων, (οἷα πολλοὶ κολακεύοντες ἐπίφθονα λέγουσιν) εἰπεῖν·*

*Οὔτις τοι θεός εἰμι· τί μ᾽ ἀθανάτοισιν ἐΐσκεις; ἀλλ᾽ εἴ με γινώσκεις ἀληθῶς, ἐπαίνει τὸ ἀδωροδόκητον, ἢ τὸ σῶφρον, ἢ τὸ εὔγνωμον, ἢ τὸ φιλάνθρωπον. ὁ γὰρ φθόνος οὐκ ἀηδῶς τῷ τὰ μείζονα παραιτουμένῳ τὰ μετριώτερα δίδωσι, καὶ τὸ ἀληθὲς ἐγκώμιον οὐκ ἀφαιρεῖται τῶν τὰ ψευδῆ καὶ κενὰ μὴ προσδεχομένων. διὸ καὶ τῶν βασιλέων τοὺς μὴ θεοὺς μηδὲ παῖδας θεῶν ἀναγορεύεσθαι θέλοντας, ἀλλὰ φιλαδέλφους, ἢ φιλομήτορας, ἢ εὐεργέτας, ἢ θεοφιλεῖς, οὐκ ἤχθοντο ταῖς καλαῖς μὲν, ἀνθρωπικαῖς δὲ*

ταύταις προσηγορίαις τιμῶντες. ὥσπερ αὖ καὶ τῶν γραφόντων καὶ λεγόντων βαρυνόμενοι τοὺς τῆς σοφίας ἐπιγραφομένους ὄνομα, χαίρουσι τοῖς φιλοσοφεῖν, ἢ προκόπτειν, ἤ τι τοιοῦτο περὶ αὑτῶν ἀνεπίφθονον καὶ μέτριον λέγουσιν. οἱ δὲ ῥητορικοὶ σοφισταὶ, τὸ θείως καὶ τὸ δαιμονίως καὶ τὸ μεγάλως ἐν ταῖς ἐπιδείξεσι προσδεχόμενοι, καὶ τὸ μετρίως καὶ τὸ ἀνθρωπίνως προσαπολλύουσι.

XIII. Καὶ μὴν ὥσπερ οἱ τοὺς ὀφθαλμιῶντας ἐνοχλεῖν φυλαττόμενοι, τοῖς ἄγαν λαμπροῖς σκιάν τινα παραμιγνύουσιν· οὕτως ἔνιοι τοὺς αὑτῶν ἐπαίνους μὴ παντελῶς λαμπροὺς μηδ' ἀκράτους προσφέροντες, ἀλλά τινας ἐλλείψεις, ἢ ἀποτεύξεις, ἢ ἁμαρτίας ἐλαφρὰς ἐμβάλλοντες, ἀφαιροῦσι τὸ ἐπαχθὲς αὐτῶν καὶ νεμεσητόν. ὥσπερ ὁ Ἐπειὸς, οὐ μέτρια περὶ τῆς πυκτικῆς εἰπὼν καὶ θρασυνόμενος, ὡς

Ἀντικρὺ χρόα τε ῥήξει, —

Ἦ οὐχ ἅλις, (φησὶν) ὅτι μάχης ἐπιδεύομαι; —

ἀλλ' οὗτος μὲν ἴσως γελοῖος, ἀθλητικὴν ἀλαζονείαν δειλίας καὶ ἀνανδρίας ἐξομολογήσει παραμυθούμενος. ἐμμελὴς δὲ καὶ χαρίεις ὁ λήθην τινὰ καθ' αὑτοῦ λέγων, ἢ ἄγνοιαν, ἢ φιλοτιμίαν, ἢ πρός τινα μαθήματα καὶ λόγους ἀκρόασιν· ὡς Ὀδυσσεὺς,

— — αὐτὰρ ἐμὸν κῆρ
Ἤθελ' ἀκουέμεναι, λῦσαι δ' ἐκέλευον ἑταίρους
Ὀφρύσι νευστάζων.

καὶ πάλιν·

Ἀλλ' ἐγὼ οὐ πιθόμην· ἦτ' ἂν πολὺ κέρδιον ἦεν,

Ὄφρ' αὐτόν τε ἴδοιμι, καί εἴ μοι ξείνια δοίη. καὶ ὅλως ὅσαι μὴ παντάπασιν αἰσχραὶ μηδ' ἀγεννεῖς ἁμαρτίαι, παρατιθέμεναι τοῖς ἐπαίνοις, τὸν φθόνον ἀφαιροῦσι. πολλοὶ δὲ καὶ πενίας καὶ ἀπειρίας, καὶ νὴ Δία δυσγενείας ἐξομολόγησιν ἔστιν ὅτε τοῖς ἐγκωμίοις παρεμβάλλοντες, ἀμβλυτέρῳ τῷ φθόνῳ χρῶνται. καθάπερ Ἀγαθοκλῆς χρυσᾶ ποτήρια καὶ τορευτὰ τοῖς νέοις προπίνων, ἐκέλευσε καὶ κεραμεᾶ κομισθῆναι· καί· Τοιοῦτόν ἐστιν (ἔφη) τὸ ἐνδελεχὲς καὶ φιλόπονον καὶ ἀνδρεῖον· ἡμεῖς πάλαι ταῦτα, νῦν δ' ἐκεῖνα ποιοῦμεν. ἐδόκει γὰρ ἐν κεραμείῳ τεθράφθαι διὰ δυσγένειαν καὶ πενίαν ὁ Ἀγαθοκλῆς, εἶτα συμπάσης ὀλίγου δεῖν ἐβασίλευσε Σικελίας.

XIV. Καὶ ταῦτα μὲν ἔξωθέν ἐστιν ἐπεισάγεσθαι φάρμακα τῆς περιαυτολογίας, ἕτερα δ' αὐτοῖς τρόπον τινὰ τοῖς ἐπαινουμένοις ἔνεστιν· οἷς καὶ Κάτων ἐχρῆτο, φθονεῖσθαι λέγων, ὅτι τῶν ἰδίων ἀμελεῖ, καὶ τὰς νύκτας ἀγρυπνεῖ διὰ τὴν πατρίδα· καὶ τό·

Πῶς δ' ἂν φρονοίην, ᾧ παρῆν ἀπραγμόνως
Ἐν τοῖσι πολλοῖς ἠριθμημένῳ στρατοῦ,
Ἴσον μετασχεῖν τῷ σοφωτάτῳ τύχης·

καὶ τό·

Ὀκνῶ δὲ μόχθων τῶν πρὶν ἐκχέαι χάριν,
Καὶ τοὺς παρόντας οὐκ ἀπωθοῦμαι πόνους.

ὡς γὰρ οἰκίαν καὶ χωρίον, οὕτω καὶ δόξαν οἱ πολλοὶ καὶ ἀρετὴν, τοῖς προῖκα καὶ ῥᾳδίως ἔχειν δοκοῦσιν, οὐ τοῖς πριαμένοις πόνων πολλῶν καὶ κινδύνων φθονοῦσιν.

XV. Ἐπεὶ δ' οὐ μόνον ἀλύπως καὶ ἀνεπιφθόνως, ἀλλὰ καὶ χρησίμως καὶ ὠφελίμως προσοιστέον ἐστὶ τοὺς ἐπαίνους, ἵνα μὴ τοῦτο πράττειν, ἀλλ' ἕτερόν τι διὰ τούτου δοκῶμεν· ὅρα πρῶτον, εἰ προτροπῆς ἕνεκα καὶ ζήλου καὶ φιλοτιμίας τῶν ἀκουόντων αὐτὸν ἄν τις ἐπαινέσειεν. ὥσπερ ὁ Νέστωρ, τὰς ἑαυτοῦ διηγούμενος ἀριστείας καὶ μάχας, τόν τε Πάτροκλον παρώρμησε, καὶ τοὺς ἐννέα πρὸς τὴν μονομαχίαν ἀνέστησεν. ἡ γὰρ ἔργον ὁμοῦ καὶ λόγον ἔχουσα προτροπὴ καὶ παράδειγμα καὶ ζῆλον οἰκεῖον, ἔμψυχός ἐστι, καὶ κινεῖ καὶ παροτρύνει, καὶ μεθ' ὁρμῆς καὶ προαιρέσεως ἐλπίδας ὡς ἐφικτῶν καὶ οὐκ ἀδυνάτων παρίστησι. διὸ καὶ τῶν ἐν Λακεδαίμονι χορῶν ᾄδουσιν οἱ μὲν τῶν γερόντων·

Ἄμμες ποτ' ἦμες ἄλκιμοι νεανίαι·

οἱ δὲ τῶν παίδων·

Ἄμμες δέ γ' ἐσσόμεσθα πολλῷ κάῤῥονες·

οἱ δὲ τῶν νεανίσκων·

Ἄμμες δέ γ' εἰμέν· αἰ δὲ λῇς, αὐγάσδεο·

καλῶς καὶ πολιτικῶς τοῦ νομοθέτου τὰ πλησίον καὶ οἰκεῖα παραδείγματα τοῖς νέοις δι' αὐτῶν τῶν εἰργασμένων ἐκτιθέντος.

XVI. Οὐ μὴν ἀλλὰ καὶ καταπλήξεως ἐνιαχοῦ καὶ συστολῆς ἕνεκα καὶ τοῦ ταπεινῶσαι καὶ λαβεῖν ὑποχείριον τὸν αὐθάδη καὶ ἰταμόν, οὐ χεῖρόν ἐστι κομπάσαι τι περὶ αὐτοῦ καὶ μεγαληγορῆσαι. καθάπερ αὖ πάλιν ὁ Νέστωρ·

Ἤδη γάρ ποτ' ἐγὼ καὶ ἀρείοσιν, ἠέπερ ὑμῖν,

*Ἀνδράσιν ὡμίλησα, καὶ οὔ ποτέ μ' οἵ γ' ἀθέριζον.*
οὕτω δὲ καὶ πρὸς Ἀλέξανδρον ὁ Ἀριστοτέλης, οὐ μόνον ἔφη τοῖς πολλῶν κρατοῦσιν ἐξεῖναι μέγα φρονεῖν, ἀλλὰ καὶ τοῖς περὶ θεῶν δόξας ἀληθεῖς ἔχουσι. χρήσιμα δὲ καὶ πρὸς πολεμίους καὶ πρὸς ἐχθροὺς τὰ τοιαῦτα·

*Δυστήνων δέ τε παῖδες ἐμῷ μένει ἀντιόωσι.*
καὶ περὶ τοῦ Περσῶν βασιλέως, μεγάλου δὲ καλουμένου, ὁ Ἀγησίλαος· Τί δ' ἐμοῦ γε μείζων ἐκεῖνος, εἰ μὴ καὶ δικαιότερος; καὶ πρὸς τοὺς Λακεδαιμονίους τῶν Θηβαίων κατηγοροῦντας ὁ Ἐπαμινώνδας· Ἡμεῖς μέντοι ὑμᾶς βραχυλογοῦντας ἐπαύσαμεν. ἀλλὰ ταῦτα μὲν πρὸς ἐχθροὺς καὶ πολεμίους· τῶν δὲ φίλων καὶ πολιτῶν οὐ μόνον ἐστὶ τοὺς θρασυνομένους καταστορέσαι καὶ ποιῆσαι ταπεινοτέρους, ἀλλὰ καὶ τοὺς περιφόβους καὶ καταπλῆγας ἐξᾶραι πάλιν καὶ παρορμῆσαι, χρησάμενον ἐν δέοντι μεγαλαυχίᾳ. καὶ γὰρ ὁ Κῦρος παρὰ τὰ δεινὰ καὶ τὰς μάχας ἐμεγαληγόρει, ἄλλοτε δ' οὐ μεγαλήγορος ἦν. καὶ Ἀντίγονος ὁ δεύτερος τἆλλα μὲν ἦν ἄτυφος καὶ μέτριος, ἐν δὲ τῇ περὶ Κῶν ναυμαχίᾳ, τῶν φίλων τινὸς εἰπόντος· Οὐχ ὁρᾷς, ὅσῳ πλείους εἰσὶν αἱ πολέμιαι νῆες; Ἐμὲ δέ γε αὐτὸν (εἶπε) πρὸς πόσας ἀντιτάττετε; καὶ τοῦτο δ' ἔοικε συνιδεῖν Ὅμηρος. τὸν γὰρ Ὀδυσσέα πεποίηκεν, ἀποδειλιώντων τῶν ἑταίρων πρὸς τὸν ψόφον καὶ τὸν κλύδωνα τὸν περὶ τὴν Χάρυβδιν, ἀναμιμνήσκοντα τῆς αὐτοῦ δεινότητος καὶ ἀνδρείας·

*Οὐ μὲν δὴ τό γε μεῖζον ἔπι κακὸν, ἢ ὅτε Κύκλωψ*
*Εἴλει ἐνὶ σπῆϊ γλαφυρῷ κρατερῇ γε βίηφι·*
*Ἀλλὰ καὶ ἔνθεν ἐμῇ ἀρετῇ βουλῇ τε νόῳ τε*
*Ἐκφύγομεν.* — —

οὐ γάρ ἐστι δημαγωγοῦντος, οὐδὲ σοφιστιῶντος ὁ τοιοῦτος ἔπαινος, οὐδὲ κρότον οὐδὲ ποππυσμὸν αἰτοῦντος, ἀλλὰ τὴν ἀρετὴν καὶ τὴν ἐπιστήμην ἐνέχυρον τοῦ θαῤῥεῖν τοῖς φίλοις διδόντος. μέγα γὰρ ἐν καιροῖς ἐπισφαλέσι πρὸς σωτηρίαν δόξα καὶ πίστις ἀνδρὸς ἡγεμονικὴν ἐμπειρίαν καὶ δύναμιν ἔχοντος.

XVII. Ὅτι μὲν οὖν τὸ πρὸς ἔπαινον ἀλλότριον καὶ δόξαν ἀντιπαραβάλλειν ἑαυτὸν, ἥκιστα πολιτικὸν, εἴρηται πρότερον· οὐ μὴν ἀλλ' ὅπου βλάπτει καὶ διαφθείρει, ζῆλον ἐμποιῶν πρὸς τὰ φαῦλα καὶ προαίρεσιν πονηρὰν ἐν πράγμασι μεγάλοις ἡμαρτημένος ἔπαινος, οὐκ ἄχρηστόν ἐστιν ἐκκροῦσαι, μᾶλλον δ' ἀποστρέψαι τὸν ἀκροατὴν ἐπὶ τὰ κρείττω, τὴν διαφορὰν ἐνδεικνύμενον. ἀγαπήσειε γὰρ ἄν τις (οἶμαι) λοιδορουμένης κακίας καὶ ψεγομένης ἐθέλοντας ἀπέχεσθαι τοὺς πολλοὺς ὁρῶν· εἰ δὲ προσλάβοι δόξαν ἡ κακία, καὶ τῷ καθ' ἡδονὰς αὐτῆς ἢ πλεονεξίας ἄγοντι προσγένοιτο τιμὴ καὶ τὸ εὐδοκιμεῖν, οὐκ ἔστιν εὐτυχὴς οὕτως, οὐδ' ἰσχυρὰ φύσις, ἧς οὐκ ἂν κρατήσειε. διὸ δεῖ μὴ τοῖς τῶν ἀνθρώπων ἐπαίνοις, ἀλλὰ τοῖς τῶν πραγμάτων, ἄνπερ ᾖ φαῦλα, πολεμεῖν τὸν πολιτικόν· οὗτοι γὰρ διαστρέφουσι, καὶ τούτοις τὸ μιμεῖσθαι τὰ αἰσχρὰ καὶ ζηλοῦν, ὡς καλὰ, συνεισέρχεται. μάλιστα δ' ἐξελέγχονται

τοῖς ἀληθινοῖς παρατιθεμένοις· οἷον ὁ τῶν τραγῳδιῶν ὑποκριτὴς, Θεόδωρος, εἰπεῖν ποτε πρὸς τὸν κωμικὸν λέγεται Σάτυρον, ὡς οὐ θαυμαστόν ἐστι τὸ γελᾶν ποιεῖν τοὺς θεατὰς, ἀλλὰ τὸ δακρύειν καὶ κλαίειν. ἄμεινον δ᾽ οἶμαι, ἂν πρὸς τοῦτον αὐτὸν εἴπῃ φιλόσοφος ἀνήρ· Ἀλλ᾽ οὐ τὸ ποιεῖν, ὦ βέλτιστε, κλαίειν καὶ δακρύειν, τὸ δὲ παύειν λυπουμένους καὶ κλαίοντας, σεμνόν ἐστιν. ἐπαινῶν γὰρ ἑαυτὸν ὠφελεῖ τὸν ἀκούοντα, καὶ μετατίθησι τὴν κρίσιν. οὕτω καὶ ὁ Ζήνων πρὸς τὸ πλῆθος τῶν Θεοφράστου μαθητῶν· Ὁ ἐκείνου χορὸς (ἔφη) μείζων, ὁ ἐμὸς δὲ συμφωνότερος. καὶ ὁ Φωκίων, ἔτι τοῦ Λεωσθένους εὐημεροῦντος, ὑπὸ τῶν ῥητόρων ἐρωτώμενος, τί τὴν πόλιν αὐτὸς ἀγαθὸν πεποίηκεν· Οὐδὲν, (εἶπεν) ἀλλ᾽ ἢ τοῦτο, τὸ, ὑμᾶς, ἐμοῦ στρατηγοῦντος, ἐπιτάφιον λόγον μὴ εἰπεῖν, ἀλλὰ πάντας ἐν τοῖς πατρῴοις μνήμασι θάπτεσθαι τοὺς ἀποθνήσκοντας. πάνυ δὲ χαριέντως καὶ ὁ Κράτης πρὸς τὸ·

Ταῦτ᾽ ἔχω, ὅσσ᾽ ἔφαγον, καὶ ἐφύβρισα, καὶ μετ᾽ ἔρωτος
Τέρπν᾽ ἔπαθον·

ἀντέγραψε τό·

Ταῦτ᾽ ἔχω, ὅσσ᾽ ἔμαθον, καὶ ἐφρόντισα, καὶ μετὰ Μουσῶν
Σέμν᾽ ἐδάην.

καλὸς γὰρ ὁ τοιοῦτος ἔπαινος καὶ ὠφέλιμος καὶ διδάσκων τὰ χρήσιμα καὶ τὰ συμφέροντα θαυμάζειν καὶ ἀγαπᾷν ἀντὶ τῶν κενῶν καὶ περιττῶν. διὰ τοῦ-

το μὲν συγκατατετάχθω τοῖς εἰρημένοις εἰς τὸ πρόβλημα.

XVIII. Λείπεται δὲ ἡμῖν, τοῦ λόγου τὸ ἐφεξῆς ἀπαιτοῦντος καὶ παρακαλοῦντος, εἰπεῖν, ὅπως ἂν ἕκαστος ἐκφύγοι τὸ ἐπαινεῖν ἀκαίρως ἑαυτόν. μέγα γὰρ ἡ περιαυτολογία τὴν φιλαυτίαν ὁρμητήριον ἔχουσα, καὶ τοῖς πάνυ δοκοῦσι μετρίως ἔχειν πρὸς δόξαν, ἐμφύεται πολλάκις ἐπιτιθεμένη. καθάπερ γὰρ τῶν ὑγιεινῶν ἓν ἐστι παραγγελμάτων τὸ τὰ νοσώδη χωρία φυλάττεσθαι παντάπασιν, ἢ προσέχειν μᾶλλον αὐτῷ γινόμενον ἐν αὐτοῖς, οὕτως ἔχει τινὰς ἡ περιαυτολογία καιροὺς καὶ λόγους ὀλισθηρούς, καὶ περιφέροντας εἰς αὐτὴν ἐκ πάσης προφάσεως. πρῶτον μὲν γὰρ ἐν τοῖς ἀλλοτρίοις ἐπαίνοις (ὥςπερ εἴρηται) τὸ φιλότιμον ἐξανθεῖ τὴν περιαυτολογίαν· καί τις αὐτὸ καταλαμβάνει δακνόμενον καὶ γαργαλιζόμενον οἷον ὑπὸ κνησμοῦ, δυσκαρτέρητος ἐπιθυμία καὶ ὁρμὴ πρὸς δόξαν· ἄλλως τε, κἂν ἐπὶ τοῖς ἴσοις ἕτερος ἢ τοῖς ἐλάττοσιν ἐπαινῆται. καθάπερ γὰρ οἱ πεινῶντες, ἑτέρων ἐσθιόντων ἐν ὄψει, μᾶλλον ἐρεθίζονται καὶ παροξύνονται τὴν ὄρεξιν· οὕτως ὁ τοῦ πλησίον ἔπαινος ἐκκαίει τῇ ζηλοτυπίᾳ τοὺς πρὸς δόξαν ἀκρατῶς ἔχοντας.

XIX. Δεύτερον, αἱ τῶν εὐτυχῶς καὶ κατὰ νοῦν πεπραγμένων διηγήσεις, λανθάνουσι πολλοὺς εἰς μεγαλαυχίαν ὑπὸ χαρᾶς ἐκφέρουσαι καὶ κόμπον· ἐμπεσόντες γὰρ εἰς τὸ λέγειν νίκας τινὰς ἑαυτῶν, ἢ κατορθώσεις ἐν πολιτεύμασιν, ἢ παρ᾽ ἡγεμόσι πράξεις,

καὶ λόγους εὐδοκιμήσαντας, οὐ κρατοῦσιν, οὐδὲ μετριάζουσιν. ᾧ γένει μάλιστα τῆς περιαυτολογίας τὸ καυτικὸν ἰδεῖν ἐστι καὶ στρατιωτικὸν ἁλισκόμενον. συμβαίνει δὲ καὶ τοῖς ἐκ τόπων ἡγεμονικῶν καὶ πραγμάτων μεγάλων ἐπανήκουσι, ταὐτὸ πάσχειν ἐπιεικῶς· μεμνημένοι γὰρ ἀνδρῶν ἐπιφανῶν καὶ βασιλικῶν, συγκαταπλέκουσι περὶ αὐτῶν εὐφημίας τινὰς ὑπ᾽ ἐκείνων εἰρημένας, καὶ νομίζουσιν οὐχ αὑτοὺς ἐπαινεῖν, ἀλλ᾽ ἑτέρων ἐπαίνους διηγεῖσθαι περὶ αὑτῶν γενομένους. οἱ δὲ ὅλως οἴονται λανθάνειν τοὺς ἀκούοντας, ὅταν βασιλέων καὶ αὐτοκρατόρων δεξιώσεις καὶ προσαγορεύσεις καὶ φιλοφροσύνας ἀπαγγέλλωσιν, ὡς οὐχ αὑτῶν ἐπαίνους, ἀποδείξεις δὲ τῆς ἐκείνων ἐπιεικείας καὶ φιλανθρωπίας διεξιόντες. ὅθεν εὖ μάλα δεῖ προσέχειν ἑαυτοῖς περὶ τοὺς ἑτέρων ἐπαίνους, ὅπως καθαροὶ καὶ ἀνύποπτοι φιλαυτίας καὶ περιαυτολογίας ὦσι· καὶ μὴ δοκῶμεν Πάτροκλον πρόφασιν, σφᾶς δ᾽ αὐτοὺς δι᾽ ἐκείνων ἐπαινεῖν.

XX. Ἀλλὰ μὴν καὶ τὸ περὶ τοὺς ψόγους καὶ τὰς καταιτιάσεις γένος ἐπισφαλές ἐστι, καὶ παρέχον ἐκτροπὰς τοῖς περὶ δόξαν νοσοῦσιν. ᾧ μάλιστα περιπίπτουσιν οἱ γέροντες, ὅταν εἰς τὸ νουθετεῖν ἑτέρους καὶ κακίζειν ἔθη φαῦλα καὶ πράξεις ἡμαρτημένας προαχθῶσι, μεγαλύνοντες αὑτοὺς, ὡς περὶ ταῦτα θαυμασίους δή τινας γενομένους. τούτοις μὲν οὖν, ἂν μὴ μόνον ἔχωσιν ἡλικίαν, ἀλλὰ καὶ δόξαν καὶ ἀρετὴν, δοτέον· οὐ γὰρ ἀνωφελές. ἀλλὰ

μέγα, ζῆλον ἐμποιοῦν ἅμα καὶ φιλοτιμίαν τινὰ τοῖς οὕτω κολαζομένοις. οἱ δ' ἄλλοι σφόδρα φυλάττεσθαι καὶ δεδιέναι τὴν ἐκτροπὴν ταύτην ὀφείλομεν. ἀνιαροῦ γὰρ ὄντος ἄλλως καὶ μόλις ἀνεκτοῦ τοῦ τῶν πλησίον ἐλέγχου, καὶ δεομένου πολλῆς εὐλαβείας, ὁ μιγνύων ἔπαινον ἴδιον ἀλλοτρίῳ ψόγῳ, καὶ δι' ἀδοξίας ἑτέρου δόξαν αὑτῷ θηρώμενος, ἐπαχθὴς παντάπασι καὶ φορτικός ἐστιν, ὡς ἐνευδοκιμεῖν ἀσχημονοῦσιν ἄλλοις βουλόμενος.

XXI. Ἔτι τοίνυν τοῖς μὲν πρὸς τοὺς γέλωτας εὐκαταφόροις φύσει καὶ προχείροις μάλιστα φεύγειν προσήκει καὶ φυλάττεσθαι τοὺς γαργαλισμοὺς καὶ τὰς ψηλαφήσεις, ἐν αἷς τὰ λειότατα τοῦ σώματος ὀλισθαίνοντα καὶ συῤῥέοντα κινεῖ καὶ συνεξορμᾷ τὸ πάθος· ὅσοι δὲ πρὸς δόξαν ἐμπαθέστεροι ἐῤῥυήκασι, τούτοις ἄν τις οὐχ ἥκιστα παραινέσειεν ἀπέχεσθαι τοῦ σφᾶς αὐτοὺς ἐπαινεῖν, ὅταν ὑπ' ἄλλων ἐπαινῶνται. δεῖ γὰρ ἐρυθριᾶν ἐπαινούμενον, οὐκ ἀπερυθριᾶν, καὶ καταστέλλειν τοὺς μέγα τι περὶ αὐτῶν λέγοντας, οὐκ ἐλέγχειν, ὡς ἐνδεέστερον ἐπαινοῦντας· ὅπερ οἱ πολλοὶ ποιοῦσιν, ὑπομιμνήσκοντες αὐτοὶ, καὶ προσεμφοροῦντες ἄλλας τινὰς πράξεις καὶ ἀνδραγαθίας, ἄχρις οὗ τὸν παρ' αὑτῶν καὶ τὸν παρ' ἑτέρων ἔπαινον διαφθείρωσιν. ἔνιοι μὲν οὖν κολακεύοντες αὐτοὺς, ὥσπερ γαργαλίζουσι καὶ φυσῶσιν· ἔνιοι δὲ, κακοήθως οἷόν τι δέλεαρ μικρὸν εὐλογίας ὑποβάλλοντες, ἐκκαλοῦνται τὴν περιαυτολογίαν· οἱ δὲ προσπυνθάνονται καὶ διερωτῶσιν,

ὡς, παρὰ τῷ Μενάνδρῳ τὸν στρατιώτην ἵνα γελάσωσι,

— Πῶς τὸ τραῦμα τοῦτ' ἔχεις;
Μεσαγκύλῳ. πῶς πρὸς θεῶν; ἐπὶ κλίμακα
Πρὸς τεῖχος ἀναβαίνων. ἐγὼ μὲν δεικνύω
Ἐσπουδακώς, οἱ δὲ πάλιν ἐπεμυκτήρισαν.

XXII. Ἐν ἅπασιν οὖν τούτοις εὐλαβητέον ὡς ἔνι μάλιστα, μήτε συνεκπίπτοντα τοῖς ἐπαίνοις, μήτε ταῖς ἐρωτήσεσιν ἑαυτὸν προϊέμενον. ἐντελεστάτη δὲ τούτων εὐλάβεια καὶ φυλακή, τὸ προσέχειν ἑτέροις ἑαυτοὺς ἐπαινοῦσι, καὶ μνημονεύειν, ὡς ἀηδὲς τὸ πρᾶγμα καὶ λυπηρὸν ἅπασι, καὶ λόγος ἄλλος οὐδεὶς οὕτως ἐπαχθὴς, οὐδὲ βαρύς. οὐδὲ γὰρ ἔχοντες εἰπεῖν, ὅτι πάσχομεν ἄλλο κακὸν ὑπὸ τῶν αὑτοὺς ἐπαινούντων, ὥσπερ φύσει βαρυνόμενοι τὸ πρᾶγμα καὶ φεύγοντες, ἀπαλλαγῆναι καὶ ἀναπνεῦσαι σπεύδομεν· ὅπου κόλακι καὶ παρασίτῳ καὶ δεομένῳ δύσοιστον ἐν χρείᾳ καὶ δυσκαρτέρητον ἑαυτὸν ἐγκωμιάζων πλούσιός τις, ἢ σατράπης, ἢ βασιλεύς· καὶ συμβολὰς ταύτας ἀποτίνειν μεγίστας λέγουσιν, ὡς ὁ παρὰ Μενάνδρῳ·

Σφάττει με, λεπτὸς γίνομ' εὐωχούμενος,
Τὰ σκώμμαθ' οἷα τὰ σοφά τε καὶ στρατηγικὰ,
Οἷος δ' ἀλαζών ἐστιν ἀλιτήριος.

ταῦτα γὰρ οὐ πρὸς στρατιώτας, οὐδὲ νεοπλούτους μόνον, εὔπαρυφα καὶ σοβαρὰ διηγήματα περαίνοντας, ἀλλὰ καὶ πρὸς σοφιστὰς καὶ φιλοσόφους καὶ στρατηγοὺς, ὀγκουμένους ἐφ' ἑαυτοῖς καὶ μεγαληγο-

ροῦντας, εἰωθότες φάσκειν καὶ λέγειν, ἂν μνημονεύωμεν, ὅτι τοῖς ἰδίοις ἐπαίνοις ἀλλότριος ἕπεται ψόγος ἀεὶ, καὶ γίνεται τέλος ἀδοξία τῆς κενοδοξίας ταύτης, καὶ τὸ λυπεῖν τοὺς ἀκούοντας (ὥς ὁ Δημοσθένης φησὶ) περίεστιν, οὐ τὸ δοκεῖν εἶναι τοιούτους, ἀφεξόμεθα τοῦ λέγειν περὶ αὑτῶν, ἂν μή τινα μεγάλα μέλλωμεν ὠφελεῖν ἑαυτοὺς, ἢ τοὺς ἀκούοντας.

AUG 27 1934